μεγάλειον

θείου καὶ ἱεροῦ

[illegible]ίνου, Ἐπισκόπου

Ἱππῶνος



ΤΟ

ΚΕΚΡΑΓΑΡΙΟΝ

ΤΟΥ

ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ

ΑΥΓΟΥΣΤΙΝΟΥ·

ΕΠΙΣΚΟΠΟΥ ΙΠΠΩΝΟΣ.

ΗΤΟΙ:

Βιβλία τέσσαρα· Α. Αἱ Μελέται. Β. Τὰ Μονολόγια. Γ. Τὸ περὶ τῆς τȣ̃ Χριςȣ̃ Θεωρίας. Δ. Τὸ περὶ συντριβῆς καρδίας. Ἐν οἷς περιέχονται αἰνέσεις τε, καὶ δεήσεις, καὶ εὐχαριςίαι θερμόταται, ἅς ὁ θεσπέσιος Πατὴρ πρὸς Θεὸν ἀναπέμπων ἐνδελεχῶς

ΕΚΕΚΡΑΓΕΝ.

Ὑπὸ μὲν τοῦ Α. Ε. τοῦ Β. ἐξερμηνευθεῖσαι, ὑπὸ δὲ τῆς πανεντίμου Τετρακτύους τῶν Αὐταδέλφων Κυρίων ΖΩΣΙΜΑΔΩΝ, Α. καὶ Ν. καὶ Ζ. καὶ Μ. ἰδίᾳ φιλοτίμῳ δαπάνῃ τύποις ἐκδοθεῖσαι.


Β'. ΕΚΔΟΣΙΣ.

ΕΝ ΜΟΣΧΑΙ,
ΕΝ ΤΩΙ ΤΥΠΟΓΡΑΦΕΙΩΙ ΑΥΓΟΥΣΤΟΥ ΤΟΥ ΣΕΜΕΝΟΥ.
αωκδ. 1824



Печатать дозволяется съ тѣмъ, чтобы по напечатаніи, до выпуска въ публику, представлены были въ Ценсурный Комитетъ: одинъ экземпляръ сей книги для Ценсурнаго Комитета, другой для Департамента Министерства Духовныхъ дѣлъ и Народнаго Просвѣщенія, два экземпляра для ИМПЕРАТОРСКОЙ публичной Библіотеки и одинъ для ИМПЕРАТОРСКОЙ Академіи Наукъ. Апрѣля 22 дня, 1820 года. Книгу сію разсматривалъ Адъюнктъ, Надворный Совѣтникъ и Кавалеръ

СЕМЕНЪ ИВАШКОВСКІЙ.





ΤΩΝ

ΚΕΦΑΛΑΙΩΝ Ο ΠΙΝΑΞ

ΤΟΥ

ΚΕΚΡΑΓΑΡΙΟΥ.

ΒΙΒΛ. Α.

Σελίδι.






Σελίδι.



ΒΙΒΛ. Β.





Σελίδι.



ΒΙΒΛ. Γ.

Σελίδι.

Σελίδι.

ΒΙΒΛ Δ.



Τέλος τοῦ τῶν Κεφαλαίων Πίνακος.



ΜΕΛΕΤΑΙ

ΤΟΥ

ΘΕΙΟΥ ΚΑΙ

ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ.

ΚΕΦ. Α.

Ψυχή, Θεὸν τὸν πάντα ἰσχύοντα ἐπικαλουμένη, πρὸς ἠθῶν τε καὶ βίου τοῦ ἑαυτῆς ἐπανόρθωσιν.

Κύριε ὁ Θεός μου, χάρισαί μοι ἐξ ὅλης μοῦ τῆς καρδίας σὲ ποθεῖν· ποθοῦντι, σὲ ζητεῖν· ζητοῦντι σὲ εὑρεῖν· εὑρόντι, σὲ ἀγαπᾷν· ἀγαπήσαντι δὲ, τῶν ἐν ἐμοὶ κακῶν ἀπαλλαχθῆναι· ἀπαλλαχθέντι δὲ, μηκέτι πάλιν ἐπὶ τὰ αὐτὰ ἐπιστρέψαι.

Δὸς, Κύριε ὁ Θεός μου, μετάνοιαν τῇ ψυχῇ μου, κατάνυξιν τῇ καρδίᾳ μου, πηγὴν δακρύων τοῖς ὀφθαλμοῖς μου, καὶ ταῖς χερσί μου ἐλεημοσύνης δαψίλειαν.

Ὁ Βασιλεύς μου, ἀπόσβεσον τὰς ἐν ἐμοὶ ἀναφλεγομένας τῆς σαρκὸς ὀρέξεις, καὶ τὸ πῦρ τῆς σῆς ἀγάπης ἐπάναψον·

Ὁ ῥύστης μου, ἀποσκέδασον ἀπ᾽ ἐμοῦ πνεῦμα ὑπερηφανείας, καὶ ἵλεως μοι μετάδος τοῦ πλούτου τῆς σῆς χρηστότητος.

Ὁ σωτήρ μου, ἀπόστρεψον ἀπ᾽ ἐμοῦ τὸν θυμὸν τῆς ὀργῆς σου, καὶ κατοικτείρας, τῷ τῆς ὑπομονῆς θυρεῷ με κατάφραξον.

Ὁ πλάστης μου, ἔκτιλόν μου ἀπὸ τῆς ψυχῆς ἅπασαν σαπρώδη πικρίαν, καὶ γλυκασμὸν ἐπιεικείας τῇ ἐμῇ διανοίᾳ πρυτάνευσον.

Ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους, δώρησαί μοι πίστιν ἀσάλευτον, ἐλπίδα ἀκαταίσχυντον, ἀγάπην ἀδιάλειπτον.

Ὁ ὁδηγήτωρ μου, ἀπότρεψον ἀπ᾽ ἐμοῦ πᾶσαν ματαιότητα, φρενὸς ἀκαταστασίαν, καρδίας ῥεμβασμὸν, στόματος ἀδολεσχίαν, ὀφθαλμῶν ἔπαρσιν, γαστρὸς ἀπληστίαν, κατεξονείδισιν τοῦ πλησίον, ἀθεσμίαν καταλαλιῶν, κνησμὸν περιεργείας, ὄρεξιν πλουτισμοῦ, ἁρπαγμὸν καταδυναστεύσεως, ἔφεσιν κενοδοξίας, ὑποκρίσεως πονηρίαν, κολακείας δολερότητα, ὀλιγωρίαν πενήτων, ἀδυνάτων ἐπικατάθλιψιν, φιλαργυρίας φλόγωσιν, βασκανίας ἰὸν, βλασφημίας θάνατον.

Ὁ Ποιητής μου, ἀπέκκοψον ἀπ᾽ ἐμοῦ ἀπόνοιαν, ἀγνωμοσύνην, πεισμονὴν, ἀνησυχίαν, ὀκνηρίαν, νυσταγμὸν, ἀκηδίαν, διανοίας ἀπονάρκωσιν, καρδίας πώρωσιν, φρενῶν ἰταμότητα, τρόπων ἀπήνειαν, καὶ ὠμότητα· τὴν πρὸς τὰ καλὰ δυσπείθειαν, τὴν πρὸς τὰς παραινέσεις ἀντίβασιν, τὸ τῆς γλώσσης ἀχάλινον, τὴν ἀποσκύλευσιν τῶν ἐν ἐνδείᾳ, τὴν τῶν ἐν ἀπορίᾳ κατάθλιψιν, τὴν κατὰ τῶν ἀνεγκλήτων διαβολὴν, τὴν τῶν ὑπ᾽ ἐμὲ τελούντων κατολιγώρησιν, τὴν περὶ τοὺς οἰκέτας χαλεπότητα, τὴν πρὸς τοὺς συνήθεις ἀστοργίαν, τὴν πρὸς τοὺς πέλας τραχύτητα.

Ὁ Θεός μου, τὸ ἔλεός μου! σοὶ προσπίπτων διὰ τοῦ ἀγαπητοῦ υἱοῦ σου, καθικετεύω πράξεις ἐλεημοσύνης παράσχου· δός μοι τὸ ἐπιεικὲς τοῦ τρόπου ἐπιμελῶς πρὸς ἅπαντας ἐπασκεῖν· τοῖς θλιβομένοις συμπάσχειν, τοῖς ἐξαπατωμένοις τὰ δέοντα παραινεῖν, τοῖς ἐν ταλαιπωρίᾳ ἐπιβοηθεῖν, τοῖς ἐν ἐνδείᾳ ἐπαρκεῖν, τοὺς ἐν λύπαις παραμυθῆσθαι, πιεζουμένους ἀπελαφρύνειν, πενομένους παρηγορεῖν, δεδακρυμένους ψυχαγωγεῖν· τοῖς ἐμοῖς ὀφειλέταις ἀφιέναι, τοῖς εἰς ἐμὲ ἐξαμαρτάνουσι συγγινώσκειν, τοὺς ἐμὲ μισοῦντας φιλεῖν, καὶ ἀντὶ κακῶν, ἀγαθὰ αὐτοῖς ἀντιμετρεῖν· μηδενὸς καταφρονεῖν, πάντας τιμᾶν, τοὺς χρηστοὺς ἐκμιμεῖσθαι, ἀπὸ

τῶν πονηρῶν ἀπεκκλίνειν· ἀρετὴν μὲν μετιέναι, μοχθηρίας δ᾽ ἀπέχεσθαι. Δὸς ἐν ἀτυχήμασιν ὑπομονὴν, ἐν δ᾽ εὐτυχήμασι σωφροσύνην. « Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. » Παράσχου μοι καταπατεῖν μὲν τὰ ἐπὶ γῆς, διψῆν δὲ τὰ ἐν Οὐρανοῖς.

ΚΕΦ. Β.

Ἄνθρωπος ἑαυτῷ αὐτοκατήγορος, καὶ τῷ παρὰ τῷ Θεῷ ἐλέει ἑαυτὸν θερμῶς ἐπισυνιστῶν.

Ἰδοὺ ὁ πλάστης μου· πολλὰ μὲν ᾐτησάμην, ὁ μηδὲ ὀλίγων τυχεῖν ἄξιος ὤν. Ὁμολογῶ (ἰούμοι!) ὁμολογῶ, οὐχ ὅπως ὧν προσαιτοῦμαι χαρίτων ὑπάρχειν ἀνάξιος, ἀλλὰ τοὐναντίον, καὶ πολλῶν τε καὶ δεινῶν κολάσεων εἶναι ὑπεύθυνος· ἀλλ᾽ ὅμως ἐπιθαῤῥεῖν ἐνάγουσί με οἱ τελῶναι, καὶ αἱ πόρναι, καὶ οἱ λησταὶ, οἵ, ἀπὸ τῶν τοῦ πολεμίου φαρύγγων ἀπεκσπασθέντες, εἴσω τῶν τοῦ ποιμνίου περιβόλων εἰσήχθησαν· Σὺ γὰρ, ὁ Δημιουργὸς τῶν πάντων Θεὸς, ὁ Θαυμαστὸς ἐν πᾶσι τοῖς ἔργοις σου, Θαυμαστότερος ἔτι εἶ ἐν τῷ ποιεῖν ἔλεος· διὸ καὶ περὶ σεαυτοῦ, διά τινος τῶν σῶν Θεραπόντων εἴρηκας τὸ ῥηθέν· « ὅτι οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. » Καὶ σὲ περὶ τοῦ ἑνὸς εἰπόντα, περὶ παντὸς εἰρηκέναι τοῦ λαοῦ σου πεποίθαμεν. « Τὸ ἔλεός μου οὐμὴ διασκεδάσω ἀπ᾽ αὐτοῦ. » Οὐδενὸς γὰρ ὀλιγωρεῖς, οὐδένα ἀποβάλλεις, οὐδένα ἀποστρέφῃ, εἰμὴ τὸν ἀπὸ σοῦ ἐν ἀφροσύνῃ ἀποστρεφόμενον.

Οὐκοῦν οὐ μόνον παροργιζόμενος οὐχὶ παραυτίκα πατάσσεις, ἀλλὰ καὶ τοῖς παροξύνουσί σε δωρεὰς, ἐάν ποτέ σε ἀπαιτήσωσιν,

ἐπιδίδως· Ὁ Θεός μου! τὸ κέρας τῆς σωτηρίας μου! ὁ ἀντιλήπτωρ μου! ἐγὼ ὁ τάλας, ἐγώ σε παρώργισα· ἐγὼ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, τὸν θυμόν σου παρώξυνα, τῆς σῆς ὀργῆς ἄξιος ἐγενόμην. Ἥμαρτον, καὶ ἠνέσχου, ἠνόμησα καὶ ἔτι μακροθυμεῖς· ἐὰν μεταγνῶ, φείδῃ· ἐὰν ἐπιστρέψω, προσίεσαι· τὸ δ' ἔτι πλέον, καὶ ἀναβάλλοντά με περιμένεις· πλανώμενον ἐπανακαλεῖς· προσεπικράζεις δὲ καὶ ἐνιστάμενον, ἐκδέχῃ ὀκνοῦντα, περιβάλλῃ ἐπανιόντα, διδάσκεις ἀσυνετοῦντα, ἐπιθέλγεις ἀθυμοῦντα, ἀνορθοῖς πίπτοντα, πεσόντα ἐπαναλαμβάνεις, αἰτοῦντι δωρῆσαι, ἐκζητοῦντι πάρει, ἀνοίγεις κρούοντι· Ἰδοὺ, Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, τί ἀντιβάλω, οὐκ οἶδα· πῶς ἀποκριθῶ, οὐκ ἐπίσταμαι· Οὐδεμία ἀποφυγὴ ἀπὸ σοῦ· οὐκ ἔστιν ἀπὸ σοῦ οὐδαμῇ κρυβῆναι· ἀλλ' ὑπέδειξάς μοι τὴν ἐπὶ τὸ εὖ βιοῦν τρίβον· ἐδίδαξάς με ὅπως δέον αὐτὴν βηματίζειν· γέενναν μοι προηπείλησας, καὶ τὴν ἐν τῷ παραδείσῳ τρυφὴν ἀνθυπέσχου.

Νῦν οὖν ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, » καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου » ἵνα διαπτοηθεὶς τὰς σὰς ἀπειλὰς διεκφύγω· καὶ « ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου » ὡς ἂν ἐν τῇ ἀγάπῃ τῇ σῇ κατεστηριγμένος, ἀπολαύσαιμι ὧν ἐμοὶ καθυπέσχου. « Κύριε ἡ ἰσχύς μου! Κύριε τὸ στερέωμά μου! » Κύριε ὁ Θεός μου, ἡ καταφυγή μου, ὁ ῥύστης μου! Φώτισόν με τί με δέον περὶ σοῦ νοεῖν· δίδαξόν με τίσι ῥήμασι δεῖ με ἐπικαλεῖσθαί σε· ὁποίαις πράξεσι σοὶ εὐαρεστεῖν· Οἶδα καὶ γὰρ, ὅτι σὺ εὐίλατος εἶ· τουτὶ πρῶτον οἶδα· καὶ δεύτερον, ὅτι οὐδένα περιορᾷς. Παρὰ σοὶ γὰρ, τὸ πνεῦμα τὸ κατανενυγμένον τε καὶ κατώδυνον, θυσία ἐστί· καὶ σὺ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην προσίεσαι. Ταύταις δὴ ὁ Θεός μου, ὁ βοηθός μου, ταύταις με ταῖς χάρισι καταπλούτισον, τούτοις με τοῖς ὀχυρώμασι κατὰ τοῦ πολεμίου κατάφραξον, ταύτῃ με τῇ δρόσῳ κατὰ τῆς φλογὸς τῶν ἐμῶν πλημμελημάτων ἀνάψυξον, τουτί μοι ἐπὶ ταῖς τῶν ὀρέξεων προσπαθήσεσι τὸ καταφύγιον ἀναπέτασον.


Ποίησον, Κύριε, ἡ δύναμις τῆς σωτηρίας μου, ὅπως μὴ ἐνάριθμος γένωμαι τοῖς πρὸς καιρὸν μὲν πιστεύουσιν, ἐν δὲ καιρῷ πειρασμοῦ ὑποχωροῦσιν. Ἐπισκίασον ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου· γενοῦ μοι ἐλπὶς ἐν ἡμέρᾳ θλίψεως, καὶ σωτηρία ἐν ἡμέρᾳ ἀνάγκης.

Ἰδοὺ δὴ, Κύριε, ὁ φωτισμός μου καὶ ὁ σωτήρ μου, ᾐτησάμην ὧν χρήζω· ἐξηγγειλάμην, ἃ δέδοικα· ἀλλ' ὑποδάκνει με τὸ συνειδὸς, ὑπεξελέγχει με τὰ κρύφια τῆς καρδίας· καὶ ὃ καθυποβάλλει μοι ὁ πόθος, ἀποσκεδάννυσιν ὁ φόβος. Ὁ μὲν ζῆλος παρορμᾷ, ἡ δὲ δειλία ἐκκρούει. Τὰ μὲν ἔργα πτοεῖσθαι, ἡ δὲ ἐν σοὶ εὐσπλαγχνία ἐπιθαῤῥεῖν με ἐνάγει· ἡ ἐν σοὶ χρηστότης ὀτρύνει, ἀλλ' ἡ ἐν ἐμοὶ φαυλότης καὶ κακοήθεια ἐπιβραδύνει. Καὶ ἵν', ὅπερ ἐστὶν, ὁμολογήσω, προσπίπτουσί μοι τῇ μνήμῃ μοχθηριῶν τινα φαντάσματα, δι' ὧν τὸ τῶν ἐν προλήψει ψυχῶν θράσος ἀποῤῥαπίζεται.

ΚΕΦ. Γ.

Ἄνθρωπος ἐπιποτνιώμενος, διὰ τὸ ὡς παρήκοος ὑπὸ τοῦ Κυρίου μὴ εἰσακούεσθαι.

Ὁ γὰρ μισεῖσθαι ἄξιος, ὅτῳ ποτὲ προσώπῳ χάριν ζητεῖ; ὁ κολάσει ἔνοχος, ὅσῃ δὴ τῇ θρασύτητι ἀπαιτεῖ δοξασθῆναι; ὕβριν τῷ δικαστῇ ἐπιφέρει, ὁ πρὶν ἢ ἐφ' οἷς ἥμαρτεν ἱκανοποιήσηται, ἀξιῶν καὶ βραβεύεσθαι. Ἐπεμβαίνει πως τῷ βασιλεύοντι ὁ ὑπεύθυνος, ἔτι καὶ γέρας προσαξιῶν ἀπενέγκασθαι, τὸ μηδαμῶς οἱ ὀφειλόμενον· καὶ στοργὴν δὲ πατρὸς γλυκερὰν ἄφρων υἱὸς παροξύνει, ὁ μεθ' ἃς ἐπήντλησε κατ' αὐτοῦ λοιδορίας, μηδὲ μεταγνοὺς τὸ παράπαν, καὶ εἰς κλῆρον ἐπεισενεχθῆναι προσέτι διατεινόμενος. Ἀλλ', ὦ πάτερ, μέμνημαι αὐτὸς ὧν ἐποίησα· Θάνατος ἐπὶ τούτοις ἀπόκειταί μοι,



ἐγὼ δὲ ζωὴν ἀπαιτῶ. Παρεπίκρανα τὸν ἐμὸν Δεσπότην, καὶ νῦν ὁ ἀναιδὴς τὴν ἐξ αὐτοῦ ἀντίληψιν ἐπιβοώμενος ἀνακράζω. Τὸν ἐμὸν δικαστὴν ὑπερεῖδον, ὃν ἤδη ἐπικαλοῦμαι συλλήπτορα. Ἀλαζονευσάμενος παρήκουσα τοῦ πατρός μου, ὃν τέως ἕξειν ὑπείληφα καὶ κληροδότην.

Οἴμοι! ὡς ὀψὲ ἔρχομαι! Ἰοὺ ἰούμοι! ὡς βραδὺς ἥκω! Οὐαί μοι τῷ μετὰ τὰ τραύματα σπεύδοντι, καὶ μὴ προελομένῳ ἀτρώτῳ ἔτι, τὰ τοξεύματα προφυλάξασθαι. Οὐκ ἐμέλησέ μοι προϊδέσθαι τὰ βέλεμνα, νῦν δὲ περὶ τοῦ θανάτου μεριμνῶ τοῦ πελάζοντος· τραύματα ἐπὶ τραύμασι προσενέτριψα, ὅτι ἀνομήματα ἐπ' ἀνομήμασι προσθεῖναι οὐκ ἔδεισα· τῇ λύμῃ τῇ προσφάτῳ οὐλὰς προσεπέθηκα· ἐπὶ γὰρ τὰ πάλαι μοι ἐξημαρτημένα καινοτέροις ἐν ἁμαρτήμασιν ἐπανέκαμψα· καὶ ἅ μοι ἡ παρὰ Θεοῦ συνούλωσεν ἴασις, ὁ κνησμὸς τῆς ἐμῆς ἀφροσύνης αὖθις διέλυσε· τὸ τοῖς μώλωψί μου ἐπανενεχθῆναι φθάσαν δέρμα, καὶ τὴν κάκωσιν ἀποκρύψαι, προσεπαναῤῥυέντος τοῦ πύου καὶ τοῦ ἰχῶρος, διασέσηπε καὶ ἐξώζεσεν· ἐπαναληφθεῖσα καὶ γὰρ ἡ ἀνομία τὸν ἐμοὶ προδεδωρημένον ἔλεον φροῦδον ἀνέδειξεν. Οἶδα γὰρ ὃ γέγραπται· « Ἐν τῷ ἀποστρέφειν δίκαιον » ἀπὸ τῶν δικαιωσυνῶν αὐτοῦ. . . . οὐ μὴ μνησθῶσιν αἱ δικαιωσύ- » ναι αὐτοῦ. Εἴπερ γοῦν ἡ τοῦ δικαίου παραπίπτοντος ἐξίτηλος γίνεται δικαιωσύνη, πόσῳ δὴ μᾶλλον ἡ τοῦ ἐξημαρτηκότος μετάνοια, τοῦ ἐπὶ τὰ αὐτὰ παλινδρομήσαντος; τοῦ ἐπὶ τὸν ἴδιον αὐτοῦ ἔμετον, ὥσπερ ὁ κύων ἐπανιόντος, καὶ ὡσεὶ ὗς ἐπανακυλιομένου ἐπὶ τὸν αὐτὸν βόρβορον;

Ὁμολογῶ, ὅτι οὐδ' ἐπιμνησθῆναι μοι ῥάδιον, ὅσους ἐγὼ τῶν πληθιωτέρων ἐξαμαρτάνειν ὑπεδίδαξα, πλημμελεῖν ἀναβαλλομένους συνέπεισα, προσισταμένους κατήπειξα, προθεμένοις συνήνεσα· Πόσοις μὴ κακῶς διαπορευομένοις παγίδα ὑπέστησα, τὴν εὐθεῖαν χωροῦσι βόθρον ὑπώρυξα! ὥς δὲ οὐδὲ ποιῆσαι ταῦτα ὀῤῥώδησα, οὕτως οὐδ' ἐπιλαθέσθαι οὐκ ἔπτηξα. Ἀλλ' ὁ δίκαιος σὺ Κριτής, ὁ ἐπισημειῶν ἀνομίας, τὰς ἐμὰς τρίβους ἁπάσας ὡς ἐν φυλακῷ συνεπετή-

ρησας, καὶ τὰ ἐμὰ διαβήματα πάντα ἐξαριθμήσας ἀεὶ ἐσιώπησας, ὑπεσίγησας, ἐμακροθύμησας· οὐαί μοι! φθέγξῃ δὴ τέως, ὡς ὅτε ἐγγίζει τοῦ τεκεῖν ἡ ὠδίνουσα.

ΚΕΦ. Δ.

Ὁ τοῦ Κριτοῦ φόβος.

Ὁ Θεὸς τῶν Θεῶν! Κύριε, οὗ τὸν παντέφορον ὀφθαλμὸν μοχθηρία τις οὐκ ἄν ποτε διαλάθοι! Οἶδα ὅτι ἐμφανῶς ἥξεις· «Οἶδα » ὅτι οὐκ ἀεὶ σιωπήσῃ· ὅτι ἐνώπιόν σου ἐκκαυθήσεται πῦρ, καὶ κύ-» κλῳ σου καταιγὶς σφοδρὰ ἐκραγήσεται ἡνίκα συγκαλέσῃς τὸν οὐ-» ρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαόν σου. » Καὶ δὴ κατέναντι λαῶν μυριάδων τότε ἀπογυμνωθήσονται αἱ ἁμαρτίαι μου πᾶσαι, καὶ πρὸ τοσούτων ἀγγελικῶν ταγμάτων τὰ ἐμὰ φανερωθήσεται ἀνομήματα πάντα, οὐ μόνον ἃ ἔπραξα, ἀλλὰ καὶ ὅσα ἐνεθυμήθην, καὶ ὅσα ἐλάλησα. Τοσούτων τοίνυν δικαστῶν ἐνώπιον παραστήσομαι ἐξηπορημένος· καὶ ὅσοι δὲ πρὸ ἐμοῦ ἐγένοντο οἱ τὰ ἀγαθὰ ποιήσαντες, ὑπὸ τοσούτων ἀπελεγχθήσομαι κατηγόρων, τῶν σφᾶς αὐτοὺς ἔμοιγε ὑπογραμμὸν τοῦ καλῶς βιῶναι προστησαμένων· ἐπὶ γὰρ τοσούτοις ἀναπολόγητος κατακριθήσομαι μάρτυσιν, ὁπόσοι καὶ ἃ συνοίσειέ μοι, ποιεῖν καθυπέβαλλον, λόγοις τε παραινοῦντες, καὶ ταῖς εὐδοκίμοις καὶ ἀγαθαῖς αὐτῶν πράξεσι πρὸς ζῆλον μιμήσεως ἐμὲ διεγείροντες. Κύριε! οὐδὲν ἔπεισί μοι ὅ, τι ἂν εἴπω· οὐδέν μοι ὑπέρχεται, ὅπερ ἂν καὶ ἀποκριναίμην. Καὶ τοίνυν ἤδη, ὡς ἐπ' ἐκείνῳ τῷ φοβερῷ δικασμῷ παρεστῶτα, στρεβλοῖ τὸ συνειδὸς, ὀδυνᾷ τὰ κρύφια τῆς καρδίας· ἡ φιλοχρηματία στενοῖ, ἡ ἔπαρσις στηλιτεύει, ἡ βασκανία ἐκτήκει, ἡ ἐπιθυμία ἐμφλέγει, ἡ ἀκρασία ὀτρύνει, ἡ λιχνεία αἰσχύνει, ἡ μέθη ἐξελέγχει, ἡ καταλαλιὰ σπαράτ-

-τει, ἡ φιλοδοξία κουφίζει, ἡ ἁρπαγὴ ἐπιπλήττει, ἡ διχόνοια διασπᾷ, ἡ ὀργιλότης ἐκταράττει, ἡ ἠπιότης χαυνοῖ, ἡ νάρκωσις ἐπαμβλύνει, ἡ ὑπόκρισις παρακρούει, ἡ θωπεία ἐκθραύει, ἡ τῶν εὐνοούντων χάρις ἐπαίρει, ἡ διαβολὴ νύττει.

Ἰδοὺ, ὁ ἐξ ἐχθρῶν μου ὀργίλων ῥυόμενός με, ἰδοὺ, τίσιν ἐγὼ ἐκ γενετῆς συνεβίωσα, οἷς καὶ ἐσπούδασα, οἷς περ καὶ ἐνεπιστεύθην! Αὐτὰ δὴ ταῦτα ἐν οἷς σπουδάζων ἠγάπησα, κατακρίνει με· ἅπερ ἐπήνεσα, καταψέγει με· οὗτοι μου οἱ φίλοι εἰσὶν οἷς ἐπέστερξα, οἱ καθηγηταὶ οἷς ὑπήκουσα, οἱ δεσπόται οἷς ἐδούλευσα, οἱ συμβουλευταὶ οἷς ἐπείσθην, οἱ συμπολῖται οἷς συνῴκησα, οἱ οἰκειακοὶ οἷς συνεφρόνησα· Ἰού μοι, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου! « ἵνα τί ἡ » παροικία μου ἐμακρύνθη; Οἴ μοι ὁ φωτισμός μου! ὅτι κατεσκή- » νωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Καὶ εἰ Δαβὶδ ὁ ἅγιος ἔφη πολλὰ, πόσῳ δὴ μᾶλλον πλείονα ἐγὼ ὁ τάλας λέγειν δυνήσομαι; Πολλὰ παρῴκησεν ἡ ψυχή μου. Ὁ Θεός μου, τὸ στερέωμά μου! οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶσα σάρξ. Οὕτω γε ἐν υἱοῖς ἀνθρώπων ἐπεστήρικται ἡ ἐλπίς μου. Τίνα γὰρ ἐν τῷ κρίνειν αὐτὸς (ἐὰν ἀποστήσῃς τὸ ἔλεός σου) εὑρήσεις δίκαιον; Ἐὰν μὴ σὺ φθάσας κατοικτειρήσῃς τὸν ἄνομον, οὐκ ἔστιν οὐδεὶς, ὃν ἄν τις ἐξηρηκὼς, ἅτε ἐννόμως πεπολιτευμένον ἐπιδοξάσειεν.

Πιστεύω δὴ, Κύριε, Κύριε τῆς σωτηρίας μου, πιστεύω ἀκούσας, ὅτι εἰς μετάνοιαν ἡ σή με προσκαλεῖται χρηστότης· τὰ νεκτάρεα χείλη τοῦ στόματός σου τοῖς ὠσί μου ἐνήχησεν· « Οὐδεὶς δύναται πρός « με ἐλθεῖν, εἰ μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. » Οὐκοῦν ἐπειδὴ αὐτός με οὕτως ἐδίδαξας, καὶ ὡς εὐΐλατος ὢν καὶ οἰκτίρμων, οὕτω διὰ τῆς σῆς διδασκαλίας ἐπαίδευσας, ἐκ μέσης μου νῦν τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἐμῆς διανοίας καθικετεύω σε, ὦ Πάτερ παντοκράτορ, σὺν τῷ ἀγαπητῷ Υἱῷ σου· καὶ σὲ δὲ τὸ γλυκύτατον γέννημα, μετὰ τοῦ σοῦ παρακλήτου ἐπικαλοῦμαι Πνεύματος, ἕλκυσόν με, ὅπως ἂν δραμοῦμαι ὀπίσω σου ὑπὸ τῆς ἡδίστης ὀσμῆς τῶν σῶν μύρων θελγόμενος.

ΚΕΦ. Ε.

Ἐπίκλησις τοῦ πατρὸς διὰ τοῦ υἱοῦ.

Ἐπικαλοῦμαι σε Κύριε ὁ Θεός μου, ἐπικαλοῦμαι σε· ὅτι ἐγγὺς εἶ πᾶσι τοῖς ἐπικαλουμένοις σε ἐν ἀληθείᾳ· σὺ γὰρ εἶ ἡ ἀλήθεια. Δίδαξόν με (δέομαί σου) ἕνεκεν τοῦ ἐλέους σου, ὦ ὑπεραγιωτάτη ἀλήθεια! δίδαξόν με τὸ ἐν ἀληθείᾳ ἐπικαλεῖσθαι σε! ὡς γὰρ προσῆκον ἐστὶ τουτὶ γίνεσθαι, ἐγὼ μὲν ἀγνοῶ, ὑπὸ σοῦ δ' ἐκδιδαχθῆναι τῆς μακαριωτάτης ἀληθείας ἐν ταπεινώσει καθικετεύω· τὸ γὰρ σοῦ ἄνευ φρονεῖν, παραφρονεῖν ἐστί· τὸ δὲ σὲ εἰδέναι, ὑπερτελῶς ἐστὶ καὶ φρονεῖν καὶ ἐπίστασθαι· συνέτισόν με τοίνυν, ὦ σοφία ἡ τοῦ Θεοῦ, καὶ ἐκ τοῦ Νόμου σου δίδαξόν με!. Πιστεύω γὰρ, ὅτι μακάριός ἐστιν ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ Νόμου σου διδάξῃς αὐτόν." Ἐπιποθῶ τοῦ ἐπικαλεῖσθαί σε, ὃ καὶ γένοιτό μοι, ἀντιβολῶ ἐν ἀληθείᾳ. Τί δ' ἄρα ἐστὶ τὸ ἐν ἀληθείᾳ τὴν ἀλήθειαν ἐπικαλεῖσθαι, ἀλλ' ἢ τὸ ἐν τῷ υἱῷ ἐπικαλεῖσθαι τὸν πατέρα; « Τοιγαροῦν, πάτερ » ἅγιε, ὁ Λόγος ὁ σὸς ἡ ἀλήθεια ἐστὶ, καὶ ἡ ἀρχὴ τῶν λόγων σου, » ἀλήθεια. Αὕτη καὶ γὰρ ἡ τῶν σῶν λόγων ἀρχὴ, ὅτι ἐν ἀρχῇ ἦν » ὁ Λόγος. » Ἐν οὖν τῇ ἀρχῇ ταύτῃ, σοὶ λατρεύω τῇ ὑπεραρχίῳ ἀρχῇ. Ἐν αὐτῷ γε τῷ λόγῳ τῆς ἀληθείας ἐπιβοῶμαι σὲ τὴν ὑπερτελεστάτην ἀλήθειαν· σὺ, ἐν ᾧ ἐστίν ἡ αὐτὴ ἀλήθεια, κατευθύναις με καὶ ἐκδιδάξαις ἐν ἀληθείᾳ.

Τί γὰρ ἥδιον ἂν ἐμοὶ γένοιτο, ἢ τὸ ἐν τῷ ὀνόματι τοῦ Μονογενοῦς τὸν γεννήτορα ἐπιβοᾶσθαι; τοῦ διὰ τῆς τοῦ Υἱοῦ ἀναμνήσεως τὸν πατέρα εἰς ἔλεος ἐπικάμπτειν; τοῦ δι ἐπικλήσεως τοῦ λίαν ἀγαπητοῦ τέκους τὸν βασιλέα ἐκδυσωπεῖν; οὕτω γὰρ εἰώθασιν ἀπὸ τῶν εἱρκτῶν οἱ ἔνοχοι ἀπορρύεσθαι· οὕτως οἱ χειράφετοι ἀπὸ τῶν δεσμῶν ἀπολύεσθαι· οὕτως οἱ εἰς Θάνατον ἀπαγόμενοι, οὐ μόνον ἀφίεσθαι, ἀλλὰ καὶ χάριτος μὴ προσδοκωμένης προσαπολαύειν, τὴν περὶ τοὺς

φιλτάτους γόνους στοργὴν ἐποργισθεῖσι τοῖς ἄρχουσι προβαλλόμενοι. Οὕτω τὰ δουλάρια πταίσαντα τὰς παρὰ τῶν δεσποτῶν κολάσεις ἐκδιαφεύγουσι, μεσιτευούσης ὑπὲρ αὐτῶν τῆς τῶν υἱέων γλυκύτητος· Οὕτως, ὦ Πάτερ παντοκράτορ, ἐκλιπαρῶ σε πρὸς τῆς τοῦ παντοδυνάμου Υἱοῦ σου ἀγαπήσεως « ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου » λύτρωσαί με ἀπὸ τῶν δεσμῶν τῶν ἁμαρτιῶν μου, δέομαι, πρὸς τοῦ συναιωνίου μονογενοῦς σου, καὶ ἐμοί, (ὧπερ ἐσχάτην τὰ πεπλημμελημένα ἐπαπειλεῖ τὴν κατάκρισιν,) τῇ πανυπερτίμῳ χάρτι καὶ μεσιτέυσει τοῦ ἐκ δεξιῶν σου καθημένου γεννήματος ἐξιλεωθείς, πρὸς ζωὴν μετασκεύασον.

Ὅν τινα γὰρ ἕτερον ὑπὲρ ἐμοῦ σοι προβάλλοιμι μεσιτεύοντα, πλὴν αὐτοῦ τούτου, ὅς ὁ ἱλασμός ἐστιν ὁ ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν, ὅς ἐκ δεξιῶν σου κάθηται πρεσβεύων ὑπὲρ ἡμῶν, οὐκ οἶδα. Καὶ ἰδοὺ τοίνυν τίς ἐστι παρὰ σοὶ τῷ Θεῷ καὶ Πατρί, ὁ ἐμὸς συνήγορος· ἰδοὺ ὁ Ἀρχιερεὺς ὁ Μέγας, ὁ μὴ δεόμενος αἵματος ἀλλοτρίου ὥστε σὲ ἐξιλάσασθαι· ὅτι τῷ ἰδίῳ αὐτοῦ λύθρῳ ἐκλάμπει περιῤῥεόμενος. Ἰδοὺ Θῦμα ἅγιον, εὐάρεστον, τέλειον, εἰς ὀσμὴν εὐωδίας προσφερόμενόν σοι εὐπρόσδεκτον. Ἰδοὺ ὁ ἄμωμος, ὁ ἔναντι τοῦ κείροντος ἄφωνος· ὁ ῥαπισθείς, ὁ ἐμπτυσθείς, ὁ κατονειδισθεὶς καὶ τὸ στόμα αὐτοῦ μηδόλως ἀνοίξας. Ἰδοὺ ὅς ἁμαρτίαν οὐκ ἐποίησεν, ὁ τὰς ἁμαρτίας ἡμῶν ἀνενέγκας, καὶ τὰς ἀσθενείας ἡμῶν διὰ τῶν ἰδίων ἑαυτοῦ μωλώπων ἐξιασάμενος.

ΚΕΦ. ϛʹ.

Ὧδε ὁ ἄνθρωπος, τὸ τοῦ Υἱοῦ πάθος τῷ πατρὶ προβάλλεται.

Ἔπιδε, ὦ Πάτερ Παντελεῆμον, ἐπὶ τὸν πανοικτίρμονά σου Υἱόν, τὸν ὑπὲρ ἐμοῦ παθόντα τὰ οὕτως ἀπηνῆ καὶ ἀνήλεα· ἐπίβλεψον,

ὦ Βασιλεῦ ὑπερεύσπλαγχνε, τίς ὁ παθὼν, καὶ μνήσθητι ἵλεως ὑπὲρ οὗ πεπονθὼς ἐγένετο· οὐκ αὐτός ἐστι, Κύριέ μου, ὁ Υἱός σου ὁ ἀναμάρτητος, ὅν, ἵνα τὸν δοῦλον ἐξαγοράσῃς, παρέδωκας; οὐκ αὐτὸς ὁ τῆς ζωῆς χορηγός ἐστιν, ὁ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθεὶς καὶ γεγονὼς ὑπήκοος μέχρι Θανάτου; ὁ καὶ Θανάτου εἶδος ὑπελθεῖν μὴ τρέσας τὸ ἀπηνέστατον; Ἀναλόγισαι ὁ τὴν σωτηρίαν ὅλην οἰκονομήσας, ὅτι αὐτὸς οὗτος ἐστὶν, ὅν ἐκ τῆς σῆς γεννηθέντα δυνάμεως κοινωνὸν τῆς ἐμῆς ἀσθενείας γενέσθαι ηὐδόκησας. Αὐτὴ ἐστιν ἡ σὴ ἀληθῶς Θεότης, ἡ τὴν ἐμὴν περιβεβλημένη ἀσθένειαν, ἡ ἐπὶ τοῦ σταυροῦ ἀναβᾶσα, καὶ ἐν τῇ προσληφθείσῃ σαρκὶ τὴν ἐμὴν ὑποστᾶσα κατάκρισιν. Ἐπίστρεψον δὴ τοὺς ὀφθαλμούς σου, Κύριε ὁ Θεός μου, ἐπὶ τὸ ἔργον τῆς μεγαλωσύνης τοῦ ἀφάτου ἐλέους σου. Θέασαι τὸν ἀγαπητὸν Υἱόν σου τεταμένον ὅλῳ τῷ σώματι· βλέπε τὰς ἀναιτίους χεῖρας αἵματα ἀνεπιδυούσας, καὶ ἐξιλεωθεὶς, ἄφες τὰς ἁμαρτίας, ἃς αἱ ἐμαὶ χεῖρες εἰργάσαντο. Ὅρα γυμνὴν τὴν πλευρὰν, τὴν ἀποτόμῳ λόγχῃ διορυχθεῖσαν, καὶ ἀνακαίνισόν με ἐν τῇ πηγῇ τῇ μυστικῇ τῇ ἔνθεν ἀναβλυσάσῃ, καθὰ πεπίστευκα.

Ἴδε τὰ ἀκηλίδωτα ἴχνη, ἅπερ οὐδέποτε μὲν ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, ἀεὶ δ' ἐν τῷ Νόμῳ τῷ σῷ ἐπορεύθη, σκληροῖς διαπεπαρμένα τοῖς ἥλοις, καὶ μεταστήσας εἰς τρίβους εὐθείας τὰ ἐμὰ διαβήματα, ποίησόν με, πολυέλεε, ἀπὸ πάσης ὁδοῦ ἀνομίας ἐκκλίνειν ἀποτρεπόμενον. Ἀπόστησον ἀπ' ἐμοῦ πᾶσαν ὁδὸν ἀνομίας, καὶ ἵλεώς μοι τὴν τῆς ἀληθείας τρίβον αἱρεῖσθαι χάρισαι, ὦ Βασιλεῦ τῶν ἁγίων, αὐτοῦ γε χάριν, ὃς ὁ τῶν ἁγίων ἅγιος ὑπάρχει, καθικετεύω σε· ἕνεκεν αὐτοῦ τούτου τοῦ λυτρωτοῦ μου, ποίησόν με τὴν ὁδὸν τῶν σῶν ἐντολῶν διατρέχειν, ἵνα ἐν πνεύματι συνενωθῆναι δυνήσωμαι τῷ τὴν ἐμὴν σάρκα φορέσαι μὴ ἀπαξιώσαντι. Μὴ γὰρ οὐ συνορᾷς, ὦ Πάτερ φιλόστοργε, ὅπως ἡ τοῦ ἀγαπητοῦ σου Υἱοῦ ὑπέρτιμος κεφαλὴ τῆς χιονώδους δειρᾶς ἀποκλίνασα παρεῖται εἰς Θάνατον; Ἐπίβλεψον τοίνυν ὁ πανοικτίρμων πλάστης, ἐπὶ τὸ ἀνθρώπινον τοῦ σοῦ γλυκυτάτου γεννήματος, καὶ φεῖσαι τῆς τοῦ ἀνθρώπου, τοῦ ἀσθενοῦς σου πλάσματος, ἀθλιχρότητος.

Γυμνὰ τὰ ἐκείνου στέρνα μαρμαίρει, ἐν αἵματι ἡ πλευρὰ ἐρεύθει, ἐκτέταται τὰ ἐντόσθια αὐχμῶντα, παρεῖται τὰ καλὰ φάη, ὠχριᾷ τὸ βασίλειον πρόσωπον, ῥιγοῦσιν οἱ προμήκεις βραχίονες, κρέμαται τὰ μαρμαρώδεα σκέλη, ἐπαρδεύει τοὺς διατετρημένους πόδας τὸ νάμα τοῦ μακαρίου αἵματος· Θέασαι, ὦ Γενετὴρ ὑπερένδοξε, τὰ μέλη τοῦ γλυκυτάτου σοῦ γόνου, ὡς διεσπάρακται, καὶ μνήσθητι εὐμενῶς τίς μου ἡ ὑπόστασις· Ὅρα τὴν ποινὴν τοῦ Θεανθρώπου, καὶ ἄνες τὴν τοῦ ἀνθρωπίνου πλάσματος ἀθλιότητα. Ἴδε τὴν ἔκτισιν τοῦ λυτρωσαμένου, καὶ ἄφες τὸ τοῦ λυτρωθέντος ἔγκλημα. Αὐτὸς ἐστὶ, Κύριέ μου, ὃν ὑπὲρ τῶν ἀνομιῶν τοῦ λαοῦ σου ἐπάταξας, καίπερ ἀγαπητὸν σὸν Υἱὸν πεφυκότα, ἐν ᾧ ηὐδόκησας. Οὗτος αὐτὸς ἐκεῖνός ἐστιν ὁ ἀναμάρτητος, ἐν ᾧ οὐχ εὑρέθη δόλος, εἰ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη.

ΚΕΦ. Ζ.

Ἐνταῦθα ὁ ἄνθρωπος ἐπιγινώσκει ἑαυτὸν, ὄντα τῶν τοῦ Χριστοῦ παθημάτων παραίτιον.

Τί ἐποίησας, ὦ τέκνον γλυκύτατον, ἐφ' ᾧ γε καὶ τοιάνδε τὴν δίκην ἐκτίσασθαι; τί, ὦ νεὰν φίλτατε, ὡς ἂν τὰ οὕτω δεινὰ ὑπενέγκῃς; τί τὸ ἀνόμημά σου; τίς ἡ σὴ ἐνοχή; τίς ἡ τοῦ σοῦ θανάτου αἰτία; τίς ἡ πρόφασις τῆς σῆς κατακρίσεως; Ἐγώ εἰμι, ἐγὼ, ἡ πληγὴ τοῦ σοῦ ἄλγους, ὁ τῆς σφαγῆς σου ὑπεύθυνος. Ἐγὼ, ἡ τοῦ θανάτου σου ἀφορμὴ, καὶ τὸ ἔγκλημα τῆς περὶ σὲ ἐκδικήσεως· Ἐγὼ τοῦ σοῦ πάθους ὁ μώλωψ, καὶ τὸ ἄλγος τῆς σῆς ὀδύνης· Ὦ κρίματος ξένου καὶ παραδόξου! Ὦ διατάξεως Μυστηρίου ἀδιερμηνεύτου! Αμαρτάνει ὁ παραβάτης, καὶ κολάζεται ὁ δίκαιος! πλημμελεῖ ὁ

πταίστης, καὶ μαστιγοῦται ὁ ἀθῶος! προσκρούει ὁ ἄνομος, καὶ ὁ ὅσιος κατακρίνεται! Ὅπερ ὁ φαῦλος παθεῖν ἐπώφειλεν, ὁ χρηστὸς ἀνατλᾷ! Ὃ κακουργεῖ ὁ δοῦλος, ἀποτίννυσιν ὁ Κύριος! Ὃ πταίει ἄνθρωπος, ὑπέχει Θεός! Ὡς λίαν, ὦ Υἱὲ τοῦ Θεοῦ, ὡς λίαν συγκαταβᾶσα ἡ σὴ παρενεξετάθη ταπείνωσις! ὡς ὑπερεθερμάνθη ἡ ἐν σοὶ ἀγάπη! ὡς ἐπλεόνασε τὸ σὸν ἔλεος! ὡς ἐμεγαλύνθη ἡ σὴ χρηστότης! ὡς προεξήχθη ἡ σὴ στοργή! ἐς ὅσον προὐχώρησαν οἱ οἰκτιρμοί σου!

Αὐτὸς μὲν δὴ ἐγὼ ἠνόμησα, σὺ δὲ δίκας ὑπέσχες· Ἐγὼ τὸ πονηρὸν ἐποίησα, καὶ σὺ κατακέκρισαι. Ἐγὼ ἐξήμαρτον, καὶ σὺ μεμαστίγωσαι· Ἐγὼ ἐπήρθην, καὶ σὺ τεταπείνωσαι. Ἐγὼ ἐν ὑπερηφανείᾳ ἐξετυφώθην, καὶ σὺ ἐξουδένωσαι. Ἐγὼ παρήκουσα, καὶ σὺ ὑπακούσας τὸ τῆς ἐμῆς παρακοῆς ἀπέτισας πταῖσμα. Ἐγὼ ἀκρατῶς ἐλιχνευσάμην, καὶ σὺ ἐπείνασας· Ἐμὲ τὸ φυτὸν πρὸς τὴν ἀθέμιτον ὑπέθελξε βρῶσιν, σὲ δὲ ἡ τελεία ἀγάπη ἐπὶ τὸ σταυρικὸν ἐπήγαγε ξύλον· Ἐγὼ τοῦ ἀπαγορευθέντος καρποῦ μετέσχον, καὶ σὺ τὸ ἰκρίον ὑπέστης· ἐγὼ τροφῆς ἀπολαύω, σὺ δ' ἐπὶ τοῦ σταυροῦ ὀδυνᾶσαι. Ἐγὼ καθηδυπαθῶ, σὺ δὲ διασπαράττῃ τοῖς ἥλοις. Ἐγὼ τῇ τοῦ μήλου γλυκύτητι ἐπεκηλήθην, σὺ δὲ τῆς πικρᾶς χολῆς ἀπεγεύσω. Ἐμοὶ συνήδεται προσγελῶσα ἡ Εὔα, σοὶ δὲ συναλγοῦσα ἐπολοφύρεται ἡ Μαρία. Ἰδού, ὑπερένδοξε Βασιλεῦ, πρόδηλος καὶ ἡ ἐμὴ ἀνοσιουργία, καὶ ἡ ἐν σοὶ εὐσπλαγχνία παρίσταται· καὶ ἡ ἐμὴ ἀδικία, καὶ ἡ δικαιοσύνη ἡ σὴ καταφαίνεται.

Τί οὖν, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου, τί σοὶ ἀνταποδώσω περὶ πάντων ὧν ἀνταπέδωκάς μοι; Οὐ μὴ γὰρ ἂν εὕροι τις ἐν ἀνθρώπου καρδίᾳ ὅ,τι καὶ ὑπὲρ τῶν τοιούτων χαρίτων ἀνταποδοθῆναι γένοιτο ἄξιον. Τί γὰρ ἄν ποτε τηλικοῦτον ἐπινοήσειεν ἀνθρώπου εὐμηχανία, ἡλίκον ἂν καὶ παραβάλλεσθαι ἔχοι πρὸς τὸ παρὰ σοῦ ἔλεος; Οὐ δὲ γὰρ οἷά τε ἐστὶ κτιστὴ φύσις ἀντίδοσιν ἐπιλογίσασθαι, ἥτις ἂν τὴν γενομένην αὐτῇ ἀρωγὴν πρὸς τοῦ κτίστου ἀντισηκώσειεν. Ἀλλ' ἔστι μέντοιγε, ὦ Υἱὲ τοῦ Θεοῦ, ἐπὶ τῆς σῆς ταύτης παραδόξου οἰκονομίας,

ἔσθ' ὅ,τι καὶ τὸ ἐν ἐμοὶ ἀσθενὲς ἐπαρκέσειεν ἂν ὁπωσοῦν ἀποδοῦναι σοι, ἐὰν διὰ τῆς σῆς περὶ ἐμὲ ἐπισκέψεως, ἡ ψυχή μου κατανυγεῖσα, τὴν ἑαυτῆς σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις ἀνασταυρώσῃ. Τουτὶ γὰρ σοῦ παρασχόντος, αὐτίκα καὶ αὐτὴ σὺν σοὶ πάσχειν ἐνάρξεται, τῷ ὑπὲρ ἐμοῦ θάνατον ὑπομεῖναι καταξιώσαντι. Οὕτω δέ τοι ὁ ἐντὸς ἐμοῦ ἄνθρωπος, σοῦ ὁδηγοῦντος, ἐπιῤῥωσθεὶς, ὡς κατὰ τοῦ ἐκτὸς ἀριστεύειν καθοπλισθήσεται· τῆς γὰρ ἐν ἐμοὶ πνευματικῆς ἐπηρείας ἀναιρεθείσης, κἂν ὑπὸ ῥομφαίᾳ ἐνύλῳ καθυπαχθείην, διὰ τὴν πρὸς σὲ ἀγάπην, οὐ φοβηθήσομαι. Οὕτω καὶ γὰρ, σοῦ ἐπευδοκηκότος, τὸ σμικρὸν τῆς ἐν ἐμοὶ ἰσχύος ἐνδυναμωθήσεται, ὥστε παρισωθῆναί πως τῷ μεγέθει τοῦ σοῦ ἐλέους, τοῦ ἐμὲ κτίσαντος. Αὕτη μοι οὐράνιος ἔσται ἐξίασις, Ἰησοῦ ὑπεράγαθε. Τοῦτο ἐμοὶ τὸ ἐκ τῆς σῆς ἀγάπης ἀντίδοτον. Ὦ.... Ἐπίχεαί μοι (δέομαί σου) ἐπὶ τοῖς τραύμασί μου τὰ ἀρχαῖα ἐλέη σου! ὡς ἂν τῆς ἐχιδναίας λύμης τὴν χολὴν ἀποπτύσας, ἐπὶ τὴν προτέραν ἐπανήξοιμι ὁλοκληρίαν. Ἵνα, τοῦ σοῦ ἀπογευσάμενος νέκταρος, τῆς ἐπιθελγούσης με δουλοπαθείας τοῦ κόσμου καταφρονήσω, καὶ μηδὲν τῶν ἐν αὐτῷ ἀντεπιφερομένων μοι, σοῦ ἕνεκεν ὑποπτήξω: ἀλλὰ διηνεκῶς τῆς παρὰ σοῦ μοι δεδωρημένης εὐπρεπείας τε καὶ δόξης ἀναμιμνησκόμενος, ἐς ἀεὶ ὦ ὑπεροπτεύων τῆς ἐκ τῶν ὑπ' ἐκείνου ἀντιπνεόντων μοι ἀνέμων καταπτοήσεως.

Μηδὲν ὅλως, σοῦ ἄνευ, γλυκύ μοι ἔστω, ἀντιβολῶ σε· μηδὲν ἀρεστὸν, μηδὲν τίμιον· μηδέν με, παρεκτὸς σοῦ, ἐπιθελγέτω, τερπνὸν δοκοῦν, καὶ ὡραῖον· πάντα μοι ἐξουδενωθήτω, δέομαι, χωρὶς σοῦ· ἅπαντά μοι εἰς βδέλυγμα κείσθω· τὸ σοὶ ἀντίξουν φερόμενον, ἔστω μοι δι' ὄχλου, καὶ τὸ σοὶ εὐάρεστον, γινέσθω μοι ἀεὶ διὰ πόθου· ἀχθεινὸν μὲν τὸ ἄτερ σοῦ χαίρειν δοκείτω μοι, τὸ δὲ ὑπὲρ σοῦ λυπεῖσθαι θελκτήριον. Εἴη μοι τὸ ὄνομα τὸ σὸν εἰς ἀναψυχὴν, καὶ τὸ σοῦ μιμνήσκεσθαι εἰς παραμυθίαν. « Γενέσθω τὰ » δάκρυά μου ἐμοὶ ἄρτος νυκτὸς καὶ ἡμέρας, ἐν τῷ μεμαθηκέναι με » τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἔστω μοι ὁ νόμος τοῦ στόματός

» σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου. » Ἔστω μοι καταθύμιον τὸ σοὶ πειθαρχεῖν, ἐπάρατον δὲ τὸ σοὶ ἀντιβαίνειν. Ὦ. . . . ἡ ἐλπίς μου! λιτάζομαί σε κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἱλάσθητι ταῖς ἁμαρτίαις μου! « Διάνοιξόν μου τὰ ὦτα τοῦ ἀκούειν τὰς » ἐντολάς σου, καὶ μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρί- » ας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.» Δέομαί σου διὰ τὸ ὄνομά σου τὸ ἅγιον! πρὸς δ' ἐπὶ τούτοις, ἕνεκεν τῆς θαυμαστῆς σου κενώσεως, αἰτοῦμαι σε, μηδέποτε ἔλθοι μοι ποῦς ὑπερηφανείας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με!

ΚΕΦ. Η.

Ἐνταῦθα ὁ ἄνθρωπος, ὑπὲρ τȣ̃ διαλλαγῆναι τῷ Θεῷ καὶ Πατρὶ, τὸ τȣ̃ Υἱȣ̃ πάθος προβάλλεται.

Καὶ νῦν, Δέσποτα παντοκράτορ, ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου μου, ἐπικάμφθητι ἵλεως τοῦ οἰκτεῖραί με! ἁπάντων γὰρ, ὧν ἐξευρεῖν ἐδυνήθην, τὸ τιμιώτατον ἱκετικῶς σοι προσῆξα· τὸ ὑπὲρ πάντα μάλιστά σοι ἐν χάριτι ὂν παρεστησάμην σοι· οὐδὲν ἐμοὶ λοιπὸν, ὅπερ ἂν τῇ σῇ μεγαλωσύνῃ προθείην· οὐδέν μοι περίεστιν, ὃ καὶ προσθήσωμαι. Ἅπαν, ἐφ' ᾧ μοι παρῆν καὶ ἐλπίσαι, εἰς τὸ ὑπὲρ ἐμοῦ πρεσβεῦσαι ἐπιτροπικῶς, προεθέμην. Τὸν ἐμὸν παρακλήτορα προὐβαλόμην σοι, τὸν Υἱὸν τὸν ἀγαπητόν σου. Προσήγαγόν σοι τὸν σὸν ὑπερένδοξον γόνον, ὡς μεταξὺ σοῦ καὶ ἐμοῦ μεσιτεύσοντα. Ὡς πρεσβευτὴν ὑπὲρ ἐμοῦ σοὶ ἀπέστειλα, τὸν δι' οὗ πεποιθὼς τυγχάνω συγγνώμης τυχεῖν ἐφ' οἷς ἥμαρτον· ἀπέσταλκα πρὸς σὲ διὰ λόγων τὸν λόγον; εἶπα γὰρ, ὅτι αὐτὸς ἀπεστάλη ὑπὲρ τῶν ἔργων μου· καὶ κατηρίθμησα τὰ τοῦ ἁγιωτάτου σου γεννήματος πάθη, ἃ πιστεύω, ὅτι ὑπὲρ ἐμοῦ ἔπαθε.

Πιστέυω γάρ, τήν παρὰ σοῦ ἀποσταλεῖσαν Θεότητα τήν ἀνθρωπότητα ἀπειληφέναι· καὶ κατὰ ταύτην δὲ, καὶ δεσμευθῆναι, καὶ ῥαπισθῆναι, καὶ ἐμπτυσθῆναι, καὶ χλευασθῆναι· καὶ ἥλοις δὲ ἐπὶ σταυροῦ προσπαγῆναι, καὶ λόγχῃ τὴν πλευρὰν ὀρυχθῆναι· ταύτην καὶ γὰρ τὴν ἀνθρωπότητα, νηπιάσασαν μὲν, σπαργάνοις περιβληθῆναι, ἡβήσασαν δὲ καὶ ἐπακμάσασαν ἱδρῶσι προσταλαιπωρῆσαι, νηστείαις ἐνδιατακῆναι, ἀγρυπνίαις ἐπιθλιβῆναι, ὁδοιπορίαις ἐγκοπιάσαι· Εἶτα δὲ συσχεθεῖσαν μαστιγωθῆναι δεινῶς, καὶ καταικισθῆναι, καὶ σπαραχθῆναι, καὶ τοῖς νεκροῖς ἐπιλογισθῆναι· ἀναστᾶσαν δὲ ἐνδόξως εἰς οὐρανὸν ἀναληφθῆναι, καὶ ἐν δεξιᾷ καθεσθῆναι τῆς μεγαλωσύνης τῆς σῆς. Οὗτος ὁ περὶ ἐμὲ οἶκτος, οὗτος ὁ παρὰ σοῦ ἱλασμός.

Ὧδε τοίνυν, ὦ ἀπειράγαθε, πρόσχες: τίς ἐστὶν, ὃν ἐγέννησας Υἱόν; καὶ τίς, ὃν ἐξηγόρασας δοῦλον; Ὧδε δὴ, ἔπιδε ἐπὶ τὸν πλάστην, καὶ μὴ παρίδῃς τὸ πλάσμα· ἄσπασαι προσηνῶς τὸν ποιμένα, καὶ ἐπίβλεψον ἵλεως, ἐφ' ὃ ἐπὶ τῶν αὐτοῦ ὤμων προσάγει σοι πρόβατον. Οὗτος ὁ πιστότατος ποιμήν ἐστὶν, ὁ τὸ ἐκ πολλοῦ πλανώμενον πρόβατον, διά τε ὀρέων ἀποτόμων, καὶ διασφάγων ἀποκρήμνων, πολλοῖς τε καὶ παντοίοις μόχθοις ἀναζητήσας· ὅστις καὶ αὐτὸ μονονουχὶ ἐκθνῆσκον, κἀκ τῆς μακρᾶς ἄλης ἤδη ἐκλεῖπον, τέως εὑρεθὲν, ἐκ βυθοῦ ἀβύσσων ἄρας, μετὰ χαρᾶς περιπέπλεκται, καὶ ἐν ἀρρήτῳ φαιδρότητι ἐλέους ἐπὶ τῶν αὐτοῦ ὤμων ἀνειληφὼς, ἐπὶ τὰ ἐννενήκοντα ἐννέα τὸ ἓν τὸ ἀπολωλὸς ἐπανήγαγεν.

Ἰδοὺ, Κύριε Βασιλεῦ, Θεὲ Παντοκράτορ, ἰδοὺ ὁ ποιμὴν ἐπανάγει σοι, ὃν αὐτῷ παρακατέθου. Ἀνελάβετο σῶσαι καθὰ διέθου τὸν ἄνθρωπον, καὶ τοῦτον ἀπέδωκέ σοι μώμου παντὸς ἀπηλλαγμένον. Ἰδοὺ ὁ ὑπερδεδοξασμένος Υἱός σου κατήλλαξέ σοι τὸ πλάσμα σου, τὸ πόῤῥω ἀπὸ σοῦ πλανηθέν· ἰδοὺ ὁ ποιμὴν ὁ πραΰς ἐπὶ τὴν ποίμνην τὴν σὴν ἐπανακομίζει, ὅπερ ὁ λῃστὴς βίᾳ καθήρπασε· Παρίστησιν ὁ υἱὸς πρὸ ὀφθαλμῶν σου τὸν δοῦλον, ὅν περ τὸ ἴδιον ἑαυτοῦ συνειδὸς δραπέτην ἀπέφηνεν, ἵνα ὁ ἀφ' ἑαυτοῦ γεγονὼς κολάσει

ὑπεύθυνος, διὰ τῆς ἱκανοποιήσεως τῆς ἐκείνου, ἀξιωθείη συγγνώμης· καὶ ᾧ περ, ἐφ' οἷς ἔφθασε πλημμελήσας, ἀπέκειτο γέεννα, τῇ χάριτι τοῦ τηλικούτου καθηγεμόνος, μὴ πάντῃ ἀπογνωσθείη τῆς πρὸς τὴν Πατρίδα ἐπανακλήσεως. Ἐδυνήθην ἐγὼ, Πάτερ ἅγιε, δι' ἐμαυτοῦ παροξῦναι σε, ἀλλὰ δι' ἐμαυτοῦ οὐχ οἷος τε ἦν ὥστε καὶ ἐξιλεώσασθαί σε· ἀντιλήπτωρ ἐμὸς, ὦ Θεέ μου, ἐγένετό μοι ὁ Υἱὸς ὁ ἀγαπητός σου, ὁ τῆς ἐμῆς σαρκὸς μετασχὼν, ἐφ' ᾧ τὴν ἀσθένειαν τὴν ἐμὴν ἐξιάσηται: Ἵν' ὅθεν ἡ τοῦ παροξυσμοῦ αἰτία προῆλθεν, ἐκεῖθεν ἔπειτά σοι προσενέγκοι θυσίαν αἰνέσεως, καὶ οὕτω με τοῦ ἐξιλασμοῦ σου μέτοχον καταστήσαιτο· καθ' ὅ,τι, ἐκ δεξιῶν σου καθήμενος, κοινὸν ἑαυτὸν ἐς ἀεὶ ὄντα τῆς ἐμῆς φύσεως ἀναδείξειεν. Ἰδοὺ, ἡ ἐλπίς μου, ἰδοὺ, ἡ ἐμὴ πεποίθησις.

Εἰ καὶ προσηκόντως με παρορᾷς διὰ τὴν ἐμὴν ἁμαρτίαν, ἀλλ' ἐπίβλεψον ἐπ' ἐμὲ, πανοικτίρμον, τούτου γοῦν ἕνεκεν τοῦ ἀγαπητοῦ σου γεννήματος. Πρόσχες τῷ Υἱῷ, καὶ ἐξιλεώθητι πρὸς τὸν δοῦλον. Ἔπιδε ἐπὶ τὸ τῆς ἐνσαρκώσεως τῆς ἐκείνου μυστήριον, καὶ ἄφες τὸ ἐκ τῆς σαρκός μου ἁμάρτημα. Ἐν ᾧ σοι τὰ τοῦ μακαρίου τέκους προβάλλεται τραύματα, καλυπτέσθω ἐκλιπαρῶ σε τὰ ἐμὰ κακουργήματα. Ἐν ᾧ σοι τὸ ἐκ τῆς ἁγνῆς πλευρᾶς ἐκείνου ἐρευθιᾷ ὑπερέντιμον αἷμα, ἐκπλυνέσθω, δέομαι, ἐν αὐτῷ τὰ ἐκ τῆς ἐμῆς μιαρίας μολύσματα. Ἐπεὶ δ' ἡ σὰρξ πρὸς ὀργήν σε παρώξυνεν, ἡ σὰρξ κάμψειέ σε, ἀντιβολῶ, πρὸς οἶκτον: ἵν' ὥσπερ ἡ σάρξ μου εἰς τὸ ἁμαρτῆσαι ἐνήγαγεν, οὕτως ἡ σάρξ με εἰς τὸ συγγνώμης ἀξιωθῆναι προσάξηται. Καί τοι γὰρ πολλῆς κατακρίσεως ἔνοχον ἐστὶ τὸ ἐμὸν ἀνόμημα, ἀλλὰ πολλῷ ὑπερφέρει, ὅπερ ἡ τοῦ ἐξαγοραστοῦ μου δικαίως ἐναπαιτεῖ εὐσπλαγχνία. Μεγάλη μὲν γὰρ ἡ ἐμὴ ἀδικία, ἀλλὰ μείζων ἅλις ἡ τοῦ ὑπὲρ ἐμοῦ τὸ λύτρον καταβαλόντος δικαιοσύνη: ὅσῳ γὰρ Θεὸς ὑπέρτερος ἐστὶν ἀνθρώπου, τοσούτῳ ἡ ἐν ἐμοὶ μοχθηρία, τῆς ἐν αὐτῷ ἀγαθωσύνης ἐστὶν ἐλάσσων καὶ ποιότητι καὶ ποσότητι.

Τί γὰρ ἐξήμαρτεν ἄνθρωπος, ὅπερ ὁ τοῦ Θεῦ Υἱὸς ἐνανθρωπή-

σας οὐκ ἐξηγόρασα ; Τίς ἡ τοσοῦτον ἐξοιδήσασα τύφωσις, ἣν ἡ τοσήδε ταπείνωσις οὐκ ἂν προσουδίσειεν; ἡλίκον τὸ κράτος τὸ τοῦ Θανάτου, ὃ οὐκ ἂν ἐξολέσειε τὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ σταυρικὸν κατάκριμα ; Τῷ ὄντι γὰρ, ὦ ὁ Θεός μου, ἐὰν ἥ τε τοῦ ἐξαμαρτήσαντος ἀνθρώπου ἀνομία, καὶ ἡ τοῦ ἐξαγοράσαντος Θεανθρώπου χάρις, ἀντιταλαντευθεῖεν ἀλλήλαις, οὐχ οὕτως ἀνατολαὶ ἀπὸ δυσμῶν, οὐδ' ἡ τοῦ ᾅδου ὑποχθόνιος χώρα ἀπὸ τῆς ἀκροτάτης οὐρανίου ἀψίδος ἐστὶν ἀπέχουσα. Νῦν οὖν, ὁ τοῦ φωτὸς ὑπεράγαθος κτίστης, σύγγνωθι τοῖς ἐμοῖς πλημμελήμασιν ἕνεκεν τῶν ἀμετρήτων καμάτων τοῦ μονογενοῦς Υἱοῦ σου. Τῇ τούτου χρηστότητι ἡ ἐμὴ μοχθηρία, τῇ τούτου ἐπιεικείᾳ ἡ ἐμὴ χαλεπότης, τῇ τούτου πρᾳότητι ἡ ἐμὴ καταδαμασθήτω ἀγερωχία. Νῦν ἡ αὐτοῦ ταπείνωσις τὴν ἐμὴν ἀλαζονείαν, ἡ εὐμένεια τὴν σκληροκαρδίαν, ἡ ὑπομονὴ τὴν ἀθυμονίαν καὶ ἀπλησίαν, ἡ ὑπακοὴ τὴν ἀπείθειαν, ἡ γαληνιότης τὴν ταραχὴν, καὶ ἀνησυχίαν, ἡ γλυκύτης τὴν πικρίαν, ἡ ἡμερότης τὴν ὀργιλότητα, ἡ αὐτοῦ φιλανθρωπία τὴν ἐν ἐμοὶ ἀπήνειαν, καὶ ὠμότητα νικησάτω.

ΚΕΦ. Θ.

Ἐπίκλησις τοῦ Παναγίου Πνεύματος.

Ὦ τῆς ὑπεραρχίου Θεότητος ὁ ἔρως! ἡ τοῦ Παντοδυνάμου Πατρὸς, καὶ τοῦ Παμμακαρίστου Υἱοῦ ἁγιωτάτη συμφυὴς κοινωνία καὶ ἕνωσις! τὸ Πνεῦμα τὸ πανσθενὲς καὶ Παράκλητον! ὁ τῶν ἐν ὀδύναις καὶ θλίψεσι πανεύσπλαγχνος παραμυθήτωρ! ἔμπνευσόν μοι νῦν ἐν μυχοῖς καρδίας διὰ τῆς σῆς δραστικωτάτης δυνάμεως, καὶ τοὺς ζοφεροὺς τῆς ψυχῆς μου κευθμῶνας, τῇ μαρμαρυγῇ τῆς φωτουργοῦ σου ἐνσκηνώσεως καταφαίδρυνον, καὶ τὴν ἐκ σοῦ δρόσον ἀφθονοπαρόχως ἐπιδαψίλευσον, ὥστε τοὺς ἐν αὐτῇ λαγόνας,

αὐχμῶντας τε καὶ ὑπομαραινομένους, γονίμους τε δὴ καὶ καρποφόρους ἀναδεῖξαι διὰ τῆς σῆς ἐπισκέψεως. Τρῶσον δή μοι τὰ τοῦ ἐντὸς ἀνθρώπου μυχαίτατα, τῷ ἐκ τῆς σῆς ἀγάπης βελέμνῳ ἐπιτοξεύσας, καὶ τοὺς τοῦ ἐν ἐμοὶ ἀποναρκήσαντος ὕπατος μυελοὺς, φλοξὶ διήξας σωτηριώδεσιν διαπύρσευσον, καὶ τῷ πυρὶ τῆς σῆς ἁγίας ζέσεως ἀναθερμάνας τε καὶ ἐναυγάσας, ἅπαντά μου τὰ ἔνδον ἐπινεμήθητι, καὶ τὰ τῆς ψυχῆς, καὶ τὰ τοῦ σώματος.

Πότισόν με ἐκ τοῦ χειμάῤῥου τῆς τρυφῆς σου, καὶ μηδὲν τὸ ἀπὸ τούτου ἐπιθελγέτω με, ὡς ἀπογεύεσθαι ἐπιθυμεῖν τῆς ἐν τῷ κόσμῳ γλυκύτητος. « Δίκασάν με, Κύριε, καὶ κρῖνον τὴν κρίσιν μου, ἐξ » ἔθνους οὐχ ὁσίου, ῥυσάμενος. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά » σου· ὅτι σὺ εἶ ὁ Θεός μου. » Πιστεύω γὰρ, ὡς ᾧ περ ἂν σὺ ἐνσκηνώσαις, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ σκήνωμα αὐτὸν ἀπεργάζῃ, καὶ μακάριος ἔστιν, ὅς ἂν ἀξιωθείη σὲ ὑποδέξασθαι: διὰ σοῦ γὰρ καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, μονὴν παρ᾽ αὐτῷ ποιήσουσιν. Ἐλθὲ δὴ, ἐλθὲ, ψυχῆς ἐποδυνωμένης εὐμενέστατε παράκλητορ! ὁ σκεπαστὴς ἐν εὐκαιρίαις, καὶ ἐν θλίψεσιν ἀντιλήπτωρ· ἐλθὲ ὁ τὰς μοχθηρίας ἀποκαθαίρων, καὶ τοὺς μώλωπας ἐξιώμενος· ἐλθὲ ἡ τῶν τεθραυσμένων ἰσχὺς, καὶ ἡ τῶν κατεῤῥαγμένων ἀνόρθωσις· ὁ τοὺς ταπεινοὺς ἐπιστρέφων, καὶ τοὺς ὑπερηφάνους καταστρέφων· Ἐλθὲ ὁ τῶν ὀρφανῶν ἐλεήμων Πατὴρ, καὶ τῶν χηρῶν γλυκύτατος ἐκδικήτωρ· Ἐλθὲ ἡ τῶν πενομένων ἐλπὶς, καὶ τῶν ἐκλειπόντων ἡ ἐπανάληψις. Ἐλθὲ ὁ ἀστὴρ τῶν ναυτιλλομένων, ὁ λιμὴν τῶν ναυαγούντων. Ἐλθὲ ἡ τῶν ζώντων ἁπάντων ὑπερέχουσα καλλονὴ καὶ εὐπρέπεια, καὶ τῶν τελευτώντων ἡ μόνη σωτηρία. Ἐλθὲ Πνεῦμα πανάγιον, Ἐλθὲ καὶ ἐλέησόν με! συνεφάρμοσόν με σοὶ αὐτῷ, καὶ εὐίλατός μοι συγκατάβηθι! Ὅπως ἂν τῇ σῇ Μεγαλωσύνῃ ἡ ἐμὴ σμικρότης, τῇ σῇ ἰσχύϊ ἡ ἐν ἐμοὶ ἀβληχρότης εὐάρεστος γένοιτο, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου: διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος μου, τοῦ συνάμα τῷ Πατρὶ, σὺν σοὶ ἐνιζομένου τε καὶ συμβασιλεύοντος, εἰς αἰῶνας αἰώνων· Ἀμήν.

ΚΕΦ. Ι.

Ἱκεσία δούλȣ Θεοῦ, ταπεινὰ ὑπὲρ ἑαυτοῦ φρονοῦντος.

Οἶδα, Κύριε, ὁ Θεός μου, οἶδα τε καὶ ὁμολογῶ, ὅτι οὐκ εἰμὶ ἄξιος τῆς ἀγάπης τῆς παρὰ σοῦ: ἀλλὰ σὺ πάντως ἄξιος εἶ τοῦ ὑπ' ἐμοῦ ἀγαπᾶσθαι. Ἀνάξιος μὲν εἰμὶ ἐγὼ τοῦ σοὶ δουλεύειν, ἀλλ' αὐτὸς, διὰ τοῦτο, οὐδέν τι ἥκιστα ὑπάρχεις ἄξιος τῆς παρὰ τοῦ σοῦ κτίσματος πρὸς σὲ τὸν αὐτοῦ Κτίστην προσαγομένης λατρείας. Δὸς τοίνυν ὅθεν σὺ ἄξιος, καὶ ἐξ ἀναξίου ἄξιος κἀγὼ ἔσομαι τοῦ λατρεύειν σοι. Ποίησόν με παύσασθαι ἁμαρτάνειν, τοῦθ' ὅ σὺ θέλεις, ἵνα σοὶ δουλεύειν δυνήσωμαι, καθάπερ ὀφείλω· χάρισόν μοι οὕτως ἐμαυτὸν τηρεῖν, καὶ κατευθύνειν, καὶ τὸ ζῆν ἐκπερᾶναι, ἵνα σοὶ ἐν εἰρήνῃ κοιμηθήσωμαι καὶ ὑπνώσω. Παράσχου δέ μοι ἐν τῷ τέλει, ἵν' ὁ ὕπνος με καταλάβῃ ἐν ἀναπαύσει, ἡ δὲ ἀνάπαυσις ἐν ἀσφαλείᾳ, ἡ δὲ ἀσφάλεια ἐν αἰωνιότητι· Ἀμήν.

ΚΕΦ. ΙΑ.

Προσευχὴ πρὸς τὴν παναγίαν Τριάδα.

Σὲ τὸν ἀγέννητον Θεὸν καὶ Πατέρα· Σὲ τὸν Υἱὸν τὸν μονογενῆ· Σὲ τὸ ἅγιον Πνεῦμα τὸ παράκλητον, Ὦ Τριὰς Παναγία, μοναδική τε, καὶ ἑνιαία, καὶ ἀδιαίρετε! Σὲ καὶ νῷ καὶ καρδίᾳ καὶ στόματι, ὁμολογοῦμεν, καὶ εὐλογοῦμεν εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦ. ΙΒ.

Ἐξομολόγησις πρὸς Θεὸν τὸν πάντα δυνάμενον, καὶ τῆς Μεγαλωσύνης αὐτοῦ ἀνακήρυξις.

Ὦ Τριὰς ὑπερύψιστε, ἡ μία δύναμις, ἡ ἀδιαίρετος μεγαλωσύνη, ὁ Παντοκράτωρ Θεός! Ἐξομολογοῦμαί σοι ὁ τῶν σῶν δούλων ἐγὼ ὁ πανέσχατος, καὶ τὸ μέλος τῆς Ἐκλησίας τῆς σῆς τὸ ἐλάχιστον· Ἐξομολογοῦμαί σοι, καὶ δοξολογῶ σε, θυσίαν αἰνέσεως τὴν ὀφειλομένην σοὶ προσάγων, κατὰ τὸ μέτρον τῆς ἐν ἐμοὶ γνώσεώς τε καὶ δυνάμεως, ὅσον ἐμοὶ τῷ πολλοστῷ δωρήσασθαι κατηξίωσας. Ἐπεὶ δέ τοι τῶν ἐκτὸς ἐμοῦ ἀπορῶ, ἅ σοι προσάξαιμι, ἰδοὺ δὴ τὰς ἐν ἐμοὶ δὶ ὕμνων ἐκτελουμένας εὐχὰς, ἃς ἐξ ἐλέους ἐχαρίσω μοι, ταύτας ἐν ἀνυποκρίτῳ πίστει, καὶ εἰλικρινεῖ συνειδήσει, ἄσμενός τε καὶ γεγηθὼς προσενέγκω σοι.

Πιστεύω τοίνυν εἰς σὲ τὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς βασιλεύοντα Κύριον, καὶ ἐπικαλοῦμαί σε. Ὁμολογῶ σὲ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸν ἕνα καὶ μόνον Θεὸν, τὸν Τριαδικὸν μὲν τοῖς προσώποις, τῇ δὲ οὐσίᾳ μοναδικὸν καὶ ἑνιαῖον. Θεὸν ἀληθινὸν, παντοδύναμον, ἁπλοῦν τῇ φύσει, ἀσώματον, ἀόρατον, ἀπερίγραπτον, καὶ ἀπεριόριστον· τὸν μηδὲν μεῖζον ἔχοντα, μήθ᾽ ὕπερθεν, μήθ᾽ ὑπένερθεν· τὸν πάντῃ ἄνευ παντοίας τροπῆς ὑπερτέλειον· τὸν ἄνευ ποσότητος μέγαν, τὸν ἄνευ ποιότητος καλὸν, τὸν ἄνευ χρόνου, αἰώνιον· τὴν ἄνευ θανάτου ζωὴν, τὴν ἄνευ ἀσθενείας ἰσχὺν, τὴν ἄνευ ψεύδους ἀλήθειαν· τὸν ἄνευ θέσεως τῆς τοῦ κεῖσθαι που, ἀπανταχοῦ παρόντα· ἄνευ τόπου ἑκασταχοῦ ὑπάρχοντα· ἄνευ ἐκτάσεως πάντα πληροῦντα, ἄνευ ἀντιστάσεως ἅπασιν ἀπαντῶντα, ἄνευ κινήσεως πάντα ὑπερβαίνοντα, ἄνευ ἠρεμίας

ἐντὸς πάντων μένοντα, τὸν ἄνευ ἐνδείας πάντα παράγοντα, ἄνευ μόχθου πάντα διεξάγοντα, ἄνευ ἐνάρξεως, τὴν τοῦ εἶναι ἀρχὴν τοῖς οὖσι διδόντα, ἄνευ ἀλλοιώσεως ἅπαντα ἐξαλλοιοῦσθαι ποιοῦντα.

Ὁμολογῶ σε, μεγέθει μὲν ἄπειρον, δυνάμει δὲ πανίσχυρον, ἀγαθότητι δ' ὑπέρακρον, σοφίᾳ δ' ἀπερινόητον· ἐν βουλαῖς φοβερὸν, ἐν κρίμασι δίκαιον, ἐν διανοήμασι κρύφιον, ἐν ῥήμασιν ἀψευδέστατον, ἐν ἔργοις ὑπερόσιον, ἐν οἰκτιρμοῖς πλούσιον, πρός γε τοὺς πταίοντας ἀνεξίκακον, πρὸς τοὺς μετανοοῦντας εὐΐλατον· τὸν αὐτὸν ἀεὶ κατὰ τὸ αὐτὸ προαιώνιόν τε καὶ ὑπεραιώνιον, ἀκήρατόν τε καὶ ἀμετάβλητον: ὃν οὐδὲ διαστημάτων εὐρύτης ἐφαπλοῖ, οὐδὲ στενότης συστέλλει, οὐδὲ δοχεῖον συνείργει· οὐδ' ἡ θέλησις μεθίστησιν, οὐδέ τις ἀνάγκη ἐκτρέπει, οὐδ' ἀνία τις ἐκταράττει, οὐδὲ τερπωλὴ ἐπιθέλγει. Ὧ τινι οὐδ' ἐπιλησμοσύνη τι ὑφαιρεῖ, οὐδὲ μνήμη τι ὑποβάλλει· ᾧ περ οὐδὲ τὰ παρεληλυθότα παροίχεται, οὐδὲ τὰ ἐπιόντα παραγίνεται· ᾧ οὐδὲ τὸ εἶναι ἀρχὴν ἔσχεν, οὐδὲ τὸ διαρκεῖν αὐτὸ, οὔτ' αὔξησιν ἐπιδέχεται, οὔτε πέρας ἕξει· ὅτι εἰς αἰῶνας, καὶ ἐν αἰῶσι, καὶ δι αἰώνων, ἐς ἀεὶ ζῶν σὺ ὑπάρχεις, καὶ ἀδιάλειπτός σου ὁ αἶνος, καὶ ἀΐδιος ἡ δόξα, καὶ ἀκροτάτη ἡ δύναμις, καὶ ὑπερεξαίρετος ἡ τιμὴ, καὶ διηνεκὴς ἡ βασιλεία, εἰς ἀκηράτους, ἀλήκτους, ὑπεραπείρους αἰῶνας αἰώνων.

ΚΕΦ. ΙΓ.

Ὅτι ὁ Θεὸς καὶ Πατὴρ ἀντιλαβέσθαι τοῦ γένους τῶν ἀνθρώπων ἠξίωσε· καὶ ὑπὲρ τῆς τοῦ Θεοῦ καὶ Λόγου ἐνανθρωπήσεως, ὕμνος Εὐχαριστήριος.

Παντοκράτορ, Κύριε, ὁ τῆς ἐμῆς καρδίας ἐπόπτης τε καὶ σωτήρ· μέχρι τούτου ἀνύμνησα τὴν δύναμιν τῆς ἐν σοὶ Μεγαλωσύνης, καὶ

τὴν μεγαλωσύνην τῆς σῆς δυνάμεως: Νῦν δὲ, ὅτι τοῦ γένους τῶν ἀνθρώπων ἐν τῷ. «Πληρώματι τοῦ χρόνου ἀντιλαβέσθαι ἠξίωσας, » ὡς καρδίᾳ πιστεύω εἰς δικαιοσύνην, οὕτω καὶ στόματι καθομολογῶ » εἰς σωτηρίαν» Σὲ τοίνυν καὶ μόνον τὸν Θεὸν καὶ Πατέρα, οὐδαμῇ οὐδαμοῦ γέγραπται ἐξαποσταλῆναι· περὶ δὲ τοῦ σοῦ Υἱοῦ ὁ Ἀπόστολος οὕτω γράφει: «Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέ» στειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ·» εἰπὼν δὲ ἐξαπέστειλεν, ἄλις ἐσήμανεν, ὅτι εἰς τόν δε τὸν κόσμον ὁ ἐξ αὐτοῦ ἀποσταλεὶς ἦλθεν, ἡνίκα ἐκ τῆς μακαρίας ἀειπαρθένου Μαρίας ἐν σαρκὶ γεννηθεὶς, ἄνθρωπος ἡμῖν ἐπεφάνη ἀληθής τε καὶ τέλειος.

Τί δὲ ἐστὶν ὅ περὶ αὐτοῦ τούτου ὁ τῶν Εὐαγγελιστῶν κορυφαῖος ἔφησεν; «Ὅτι αὐτὸς ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγέ» νετο;» τί ποτ' ἀλλ' ἢ ὅτι ἐνταῦθα ἀπεστάλη τῇ ἀνθρωπότητι, ἔνθα καὶ ἦν, καὶ ἔστιν ἀεὶ τῇ θεότητι; τὴν ἄρα ἀποστολὴν ταύτην, ἔργον εἶναι ὅλης τῆς ὑπεραγίας Τριάδος, καὶ καρδίᾳ πιστεύων εἰμὶ, καὶ στόματι καθομολογῶν· ὅπως οὖν ἠγάπησας ἡμᾶς ὁ Πατὴρ ὁ πανάγιος καὶ πανάγαθος! ὅσον ἡμᾶς περιεποιήσω, πολυεύσπλαγχνε Δέσποτα! ὃς οὐδ' αὐτοῦ τοῦ Υἱοῦ σου ἐφείσω, τοῦ μὴ ὑπὲρ τῶν ἀνόμων ἡμῶν αὐτὸν παραδοῦναι! Ὁ δὲ ὑπήκουσέ σοι μέχρι θανάτου, θανάτου δὲ σταυροῦ: καὶ τὸ χειρόγραφον ἄρας τῶν ἡμετέρων ἀμπλακημάτων, καθήλωσε μὲν ἐπὶ τοῦ σταυροῦ τὴν ἁμαρτίαν, ἀνεῖλε δὲ θανατώσας τὸν θάνατον: εἷς τε καὶ μόνος αὐτὸς ἐν νεκροῖς ἐλεύθερος ὑπάρχων, ὡς ἔχων ἐξουσίαν τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν θεῖναι, καὶ ταύτην αὖθις ὑπὲρ ἡμῶν ἀναλαβέσθαι.

Τοιγαροῦν ὁ αὐτὸς ἅμα, καὶ ὁ νικητὴς ἀνεδείχθη, καὶ τὸ νικητήριον ὁλοκαύτωμα· διὰ δὲ τοῦτο νικητὴς, ὅτι καὶ ὑπὲρ ἡμῶν νικοποιὸν ἐγένετο θῦμα· ὁ αὐτὸς σοὶ καὶ ὁ Ἱερεὺς καὶ τὸ Ἱερεῖον· διὰ τοῦτο δὲ ἱερεὺς, ὅτι καὶ ἱέρεῖον. Καὶ εἰκὸς ἄρα ἐπ' ἐκείνῳ ἅπασάν μου τὴν ἐλπίδα κρατύνεσθαι, ὅτι πάσας αὐτὸς τὰς ἀσθενείας τὰς ἡμῶν, τούτου γε χάριν ἐξιάσῃ, τοῦ ἐκ δεξιῶν σου καθημένου, καὶ ὑπὲρ ἡμῶν σὲ ἱκετεύοντος. Αἱ μὲν οὖν ἀσθένειαί μου, Κύριε, μεγά-

λαί τε εἰσὶ καὶ πολλαὶ, πολλαί τε εἰσὶ καὶ μεγάλαι· Πολλὰ γὰρ ἔχει ἐν ἐμοὶ ὁ ἄρχων τοῦ κόσμου τούτου· οἶδ᾽ ἐγὼ, καὶ οὐ κρύπτω· ἀλλὰ ῥύσαι με (δέομαί σου) διὰ τὸν ἐκ δεξιῶν σου καθήμενον λυτρωτήν μου, ἐν ᾧ ἐκεῖνος τῶν ἑαυτοῦ πονηρευμάτων οὐκ ἔσχεν εὑρέσθαι ὅλως οὐδέν. Δι᾽ αὐτὸν δὴ τοῦτον με δικαίωσον, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν « οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ: δι᾽ αὐτὸν, » ὅς ἐστὶν ἡμῶν ἡ κεφαλὴ, ἐν ᾧ μῶμος οὐκ ἔστιν οὐδείς: » Λύτρωσαί με ὡς τούτου αὐτοῦ πεφυκότα μέλος ἀβληχρὸν καὶ νοσῶδες. Ῥῦσαι με ἀπὸ τῶν ποικίλων μου ἀμπλακημάτων, παραπτωμάτων, πλημμελημάτων, ὧν ἐκ ῥαθυμίας μου καὶ ἀφροσύνης πολλῶν ἐποίησα. Ἔμπλησόν με τῶν ἐνθέων σου ἀρετῶν πρὸς χρηστοήθειαν διαμορφώσας, καὶ εἰς τὸ ἀγαθοπραγεῖν ἐνδυνάμωσον διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὥστε με ἄχρι τέλους ἐπιστηρίζεσθαι, καὶ ἐνεπιμένειν τῷ σῷ θελήματι.

ΚΕΦ. ΙΔ.

Ὅτι ἡ ψυχὴ πεποιθέναι ὀφείλει ἐπὶ Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς παθήμασιν αὐτοῦ.

Ἀπογνοίην ἂν τῆς ἐμῆς σωτηρίας, Κύριε ὁ Θεός μου, διὰ τὰς πολλάς μου καὶ ὑπὲρ ἀριθμὸν ἀνομίας τε καὶ πλημμελείας, εἰ μὴ ὁ σὸς Υἱὸς καὶ Λόγος ἐγένετο σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Νῦν δ᾽ ἀπογνῶναι οὐκέτι τολμῶ « εἰ γὰρ ἐχθροὶ ὄντες, κατηλλάγημέν » σοι διὰ τοῦ θανάτου τοῦ σοῦ Υἱοῦ, πόσῳ δὴ μᾶλλον καταλλα- » γέντες δι᾽ αὐτοῦ σωθησόμεθα;» Πᾶσα τοιγαροῦν ἡ ἐμὴ ἐλπὶς, καὶ ἡ ὅλη τῆς ἐμῆς πεποιθήσεως βεβαιότης, ἐν τῷ ὑπὲρ τῆς ἡμῶν σωτηρίας ἐκχυθέντι ἐκείνου αἵματι κεῖται. Ἐν αὐτῷ ἀναπνέω,

καὶ ἐπ' αὐτῷ στηριζόμενος ἐφίεμαι πρὸς σὲ ἐφικέσθαι, οὐκ ἰδίαν τινὰ ἐμαυτοῦ ἔχων δικαιοσύνην, ἀλλὰ τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ σου. Διὰ τοῦτο σοὶ χάριτας ὁμολογοῦμεν τῷ πανοικτίρμονι καὶ φιλανθρωποτάτῳ Θεῷ, τῷ διὰ τοῦ σοῦ Υἱοῦ τοῦ Κυρίου ἡμῶν, μηδὲν ὄντας ἡμᾶς τὴν ἀρχὴν ὑποστήσαντι, ἔπειτα δὲ ἐξαπολωλότας καθ' ἑαυτοὺς τῇ ἁμαρτίᾳ, θαυμαστῶς ἐκλυτρωσαμένῳ καὶ ἐπανασώσαντι.

Εὐχαριστῶ σου τῷ ἐλέει, καὶ πολὺν ἐξ ὅλης μου τῆς καρδίας τὸν αἶνον προσάγω σοι, ὅτι κατὰ τὴν ἀνερμήνευτόν σου ἀγάπησιν, καθ' ἣν ἡμᾶς τοὺς ἐλεεινούς τε καὶ ἀναξίους θαυμαστῶς ἀγαπήσας κατοικτειρῆσαι ἠξίωσας, καὶ αὐτὸν ἔτι τὸν μονογενῆ σου Υἱὸν, εἰς κοινὴν ἡμῶν εὐεργεσίαν, ἐκ τῶν Πατρικῶν σου κόλπων ἀποστεῖλαι ηὐδόκησας, ἵν' ἡμᾶς τοὺς ἁμαρτωλοὺς διασώσῃς, τοὺς τηνικαῦτα υἱοὺς ἀπωλείας τυγχάνοντας. Εὐχαριστῶ σοι ὑπὲρ τῆς ἐκείνου ἐνανθρωπήσεως, καὶ ὑπὲρ τῆς ὑπερενδόξου Μητρὸς αὐτοῦ, ἐξ ἧς σάρκα προσλαβεῖν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμῶν σωτηρίαν ηὐδόκησεν. Ἵνα ὥσπερ ἀληθινὸς ἦν Θεὸς ἐκ Θεοῦ, οὕτω καὶ ἄνθρωπος ἀληθινὸς ἐξ ἀνθρώπου γένηται. Εὐχαριστῶ σοι ὑπὲρ τοῦ πάθους αὐτοῦ καὶ τοῦ σταυροῦ, ὑπὲρ τοῦ θανάτου αὐτοῦ καὶ τῆς ἀναστάσεως· ὑπὲρ τῆς εἰς οὐρανὸν ἀναλήψεως αὐτοῦ, καὶ ὑπὲρ τῆς ἐκ δεξιῶν σοῦ τῆς μεγαλωσύνης καθέδρας. Μετὰ γὰρ ἡμέρας, ἀπὸ τῆς ἀναστάσεως, τεσσαράκοντα, τῶν μαθητῶν ὁρόντων, ὑπὲρ πάντας τοὺς οὐρανοὺς ἀνελθὼν, καὶ ἐν δεξιᾷ σου καθίσας, ἐξέχεεν, ὡς ὑπέσχετο, τὸ πανάγιον αὐτοῦ Πνεῦμα ἐπὶ τοὺς δι' αὐτοῦ σοι Υἱοθετηθέντας.

Εὐχαριστῶ οὖν σοι ἐπὶ τῇ παναγεστάτῃ ἐκχύσει τοῦ ἀπειροτίμου αἵματος τούτου, δι' οὗπερ ἐξηγοράσθημεν· ἅμα δὲ, καὶ ἐπὶ τῷ ὑπεραγίῳ καὶ ζωοποιῷ Μυστηρίῳ τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος, δι' οὗ καθ' ἑκάστην ἐν τῇ σῇ Ἐκκλησίᾳ διατρεφόμεθα, ποτιζόμεθα, λουόμεθα, καὶ ἁγιαζόμεθα, καὶ τῆς μιᾶς Θεαρχίου θεότητος μέτοχοι καθιστάμεθα. Εὐχαριστῶ σοι ὑπὲρ τοῦ σοῦ

ἀφάτου καὶ ἀκαταλήπτου ἐλέους, ᾧ τοὺς ἀναξίους ἡμᾶς τοσοῦτον ἠγάπησας, καὶ διὰ τοῦ μονογενοῦς καὶ ἀγαπητοῦ Υἱοῦ σου περιέσωσας. » Οὕτω καὶ γὰρ ἠγάπησας τὸν κόσμον, ὥστε τὸν Υἱόν » σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ » ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Αὕτη δὲ ἐστὶν ἡ ζωὴ ἡ αἰώ» νιος, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέ» στειλας Ἰησοῦν Χριστόν, ἐν ὀρθῇ τῇ πίστει, καὶ ἐν ἔργοις τοῖς » τῇ τοιᾷδε πίστει ἐπαξίως προσήκουσι.

ΚΕΦ. ΙΕ.

Περὶ τῆς τȣ̃ προαιωνίȣ Πατρὸς ἀπείρȣ πρὸς ἀνθρώπȣς ἀγαθότητος.

Ὢ τῆς ἀπείρου ἀγαθότητος! ὢ τῆς ἀνεικάστου ἀγάπης! ἵνα τὸν δοῦλον ἐλευθερώσῃς, παρέδωκας τὸν Υἱόν! Ὁ Θεὸς ἐγένετο ἄνθρωπος, ἵν' ὁ ἄνθρωπος ὁ ἀπολωλὼς τῆς τῶν δαιμόνων ῥυσθῇ καταδυναστείας! Ὅση τις ἡ τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν χρηστότης! ὃς οὐκ ἠρκέσθη συγκαταβὰς διὰ σπλάγχνα ἐλέους, ἐκ τῆς ἀειπαρθένου Μαρίας ἐνανθρωπῆσαι, εἰμὴ καὶ θάνατον τὸν ἐπὶ σταυροῦ ὑπομείνας, ὑπὲρ ἡμῶν καὶ τῆς ἡμῶν σωτηρίας τὸ αὐτοῦ αἷμα ἐκχύσειεν. Ἦλθεν ὁ πανοικτίρμων Θεὸς, ἦλθε κατὰ τὸ αὐτοῦ ἔλεος, καὶ κατὰ τὴν ἐν αὐτῷ ἀγαθωσύνην, ἦλθε τοῦ ἐκζητῆσαι καὶ σῶσαι τὸ ἀπωχηκός· ἐζήτησε τὸ πρόβατον τὸ ἀπολωλός· ἐζήτησε τὸ πρόβατον τὸ ἀποπλανηθέν· Ἐξεζήτησέ τε καὶ εὗρε, καὶ ἐπὶ τῶν ὤμων ἄρας ὁ ὑπερεύσπλαγχνος Κύριος, οἷα ποιμὴν ἀληθῶς ἐλεήμων ἐπὶ τὴν ποίμνην αὐτὸ ἐπανήγαγεν.

Ὢ τῆς ἀγάπης! Ὢ τοῦ ἐλέους! τίς ποτε τοιαῦτα ἤκουσε; τίς οὐκ ἂν πρὸς τηλικαῦτα σπλάγχνα οἰκτιρμῶν ὑπερεκπλαγείη; τίς οὐ

θαυμάσειε; τίς οὐκ ἂν συνεπιχαρείη ἐπὶ τῇ σῇ ὑπερβαλλούσῃ ἀγαπήσει, Κύριε, καθ' ἣν ἡμᾶς τοσοῦτον ἠγάπησας; Ἐξαπέστειλας τὸν Υἱόν σου ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενον, ἵνα περὶ τῆς ἁμαρτίας, κατακρίνῃ τὴν ἁμαρτίαν· ἵν' ἡμεῖς γενώμεθα δικαιοσύνη ἡ σὴ ἐν αὐτῷ. Αὐτὸς γάρ ἐστιν ὁ ἀμνὸς ὁ ἄμωμος, ὁ τὰς ἁμαρτίας ἄρας τοῦ κόσμου, ὁ τὸν ἡμέτερον θάνατον τῷ ὑπὲρ ἡμῶν θανεῖν καθελὼν, καὶ πρὸς ζωὴν ἀποκαταστήσας διὰ τῆς αὐτοῦ ἀναστάσεως.

Ἀλλὰ τίποτ' ἄρα σοὶ τῷ Θεῷ ἡμῶν, ὑπὲρ τῶν παρὰ τῆς σῆς φιλανθρωπίας τοσούτων καὶ τηλικούτων εὐεργετημάτων αὐτοὶ ἂν προσενέγκοιμεν; ἢ τίνας ἂν ἀποδοίημεν τὰς εὐχαριστίας; Κἂν γὰρ σφίσιν αὐτὴ προσείη ἡ περιοῦσα τοῖς ἀγγέλοις περίνοιά τε καὶ δύναμις, οὐδὲν ἂν πρὸς τοσάυτην χρηστότητα καὶ ἀγαθωσύνην ἀποδοῦναι ἔχοιμεν ὅ,τι καὶ ἄξιον· κἂν εἰ πάντα ἡμῶν τὰ μέλη εἰς γλώσσας τραπείη, πρὸς ἀπόδοσιν τῶν ἀξιοχρέων ὕμνων, οὐκ ἂν οὐδ' οὕτως ἡ βραχύτης ἡμῶν ἐπαρκέσειεν: ἅπασαν γὰρ ὑπερπαίει διάνοιαν ἡ ἀνεκδιήγητός σου φιλανθρωπία, ἣν ἐκ μόνης ἐπιεικείας τε καὶ ἱλαρότητος περὶ τοὺς αναξίους ἡμᾶς ἐπεδείξω. Ὁ γὰρ Υἱὸς ὁ σὸς καὶ Θεὸς ἡμῶν, οὔκουν ἀγγέλων ἐπελάβετο, ἀλλὰ τοῦ σπέρματος τοῦ Ἀβραὰμ ἐπελάβετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα, πλὴν τῆς ἁμαρτίας· καὶ δὴ τὴν ἀνθρωπίνην, οὐχὶ τὴν ἀγγελικὴν προσειληφὼς φύσιν, καὶ τῇ δόξῃ τῆς ἀναστάσεως καὶ ἀθανασίας ταύτην κατακοσμήσας, ὑπὲρ τοὺς οὐρανοὺς αὐτὴν ὑπερύψωσε, καὶ ὑπὲρ ἅπαντας τοὺς χοροὺς τῶν ἀγγέλων· ὑπὲρ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ ἐν δεξιᾷ τῇ σῇ καθιδρύσας ἔστησε· ταύτην δὲ δὴ οἱ Ἄγγελοι αἰνοῦσιν, αἱ Κυριότητες προσκυνοῦσι, καὶ ἅπασαι αἱ Δυνάμεις αἱ ὑπερκόσμιοι τρέμουσιν, ὑπὲρ ἑαυτὰς καθορῶσαι τὸν Θεάνθρωπον καθήμενον.

Αὕτη τοίνυν ἡ πᾶσα ἐστὶν ἐμὴ ἐλπὶς καὶ πεποίθησις. Ἐν γὰρ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ἔστιν ἡμῶν ἑκάστου μέρος σαρκός τε καὶ αἵματος: καὶ ἔνθα ἄρα ἡ μερὶς ἡ ἐμὴ βασιλεύει, ἐκεῖ δήπου

πιστεύων οἶδα κἀμὲ αὐτὸν βασιλεύοντα· ἔνθα ἡ ἐμὴ σὰρξ δοξάζεται, ἐκεῖ κἀμὲ δοξαζόμενον εἶναι ἐπιγιγνώσκω. Ἔνθα μου τὸ αἷμα ἐστὶ δεσπόζον, ἐκεῖ δεσποτεύειν καὶ αὐτὸς ὑπείληφα. Καὶ εἰ δέ τοι ἁμαρτίαις συνειλημμένος, οὐμὴν ὅμως ὑπενδοιάζων εἰμὶ ἐπὶ τῇ μεθέξει τῆς τοιᾶς δε χάριτος· κἂν γὰρ ἡ ἁμαρτία μου ἀπείργη, ἀλλ' ἡ ἐμὴ οὐσία ἐναπαιτεῖ· κἂν τὰ παραπτώματά με ἀποκλείῃ, ἀλλ' ἡ κοινωνία τῆς φύσεως οὐκ ἀποκρούει. Οὐ γὰρ οὕτως ἀνεπιεικής ἐστιν ὁ Θεός μου, ὡς κομιδῇ τοῦ ἀνθρώπου ἐπιλανθάνεσθαι, καὶ μηδόλως ἐκείνου μεμνῆσθαι, ὃν αὐτὸς φέρει, ὃν ὑπὲρ ἐμοῦ προσελάβετο, ὃν ἐμοῦ χάριν ἀναζητεῖ.

Ἀλλ' ἔμπης ἐπιεικής τε καὶ ἵλεως ἐς ἄκρον ὢν Κύριος ὁ Θεὸς ἡμῶν, ἀγαπᾷ τὴν σάρκα τὴν ἑαυτοῦ, καὶ τὰ μέλη τὰ ἑαυτοῦ, καὶ τὰ σπλάγχνα τὰ αὐτοῦ. Οὐκοῦν ἐν αὐτῷ τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ γλυκυτάτῳ καὶ προσηνεστάτῳ καὶ πανοικτίρμονι, ἐν ᾧ καὶ ἀνέστημεν, καὶ εἰς οὐρανὸν ἀνυψώθημεν, καὶ τοῖς οὐρανίοις ἤδη συνεδριάζομεν, ἡ ἡμετέρα σὰρξ ἡμᾶς αὐτοὺς ἐστὶν ἀγαπῶσα καὶ στέργουσα. Τοῦ τοιοῦδε δ' αὐτοὶ δικαιώματος εὐμοιροῦμεν ἐκ τοῦ ἑαυτῶν αἵματος τοῦ ἐν αὐτῷ: Ὅτι ἡμεῖς ἐσμὲν μέλη αὐτοῦ, καὶ σὰρξ αὐτοῦ, αὐτὸς δὲ τέως ἡμῶν ἐστὶν ἡ κεφαλή, ἐξ ἧς τὸ σῶμα ὅλον ἤρτηται· γέγραπται γάρ: »Ὀστοῦν ἐκ τῶν ὀστῶν » μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Καὶ ἔσονται οἱ δύο εἰς σάρκα » μίαν. Καὶ οὐδεὶς οὐδέποτε τὴν ἰδίαν αὐτοῦ σάρκα ἐμίσησεν, ἀλλ' » ἀγαπᾷ αὐτὴν καὶ περιποιεῖται. Τὸ Μυστήριον τοῦτο μέγα ἐστί: » λέγω δὲ, ἐν Χριστῷ, καὶ ἐν τῇ Ἐκκλησίᾳ, καθάπερ ἔφη » ὁ Ἀπόστολος.»



ΚΕΦ. Ις'.

Περὶ τῆς διττῆς τοῦ Χριστοῦ φύσεως, τῆς τε ἐλεούσης ἡμᾶς, καὶ τῆς ὑπὲρ ἡμῶν πρεσβευούσης.

Τοιγαροῦν καὶ χείλεσι, καὶ καρδίᾳ, καὶ ἐν ὅλῃ τῇ κατ' ἐμὲ ἰσχύϊ, τὴν εὐχαριστίαν προσάγω τῷ ἀπείρῳ ἐλέει σου, Κύριε, ὁ Θεός μου, ὑπὲρ τῶν σῶν οἰκτιρμῶν ἁπάντων, δι' ὧν ἐπιβοηθῆσαι ἡμῖν τοῖς ἀπολωλόσι θαυμαστῶς κατηξίωσας, ἐν αὐτῷ τῷ Υἱῷ σου, τῷ σωτῆρι καὶ λυτρωτῇ ἡμῶν, τῷ διὰ τὰς ἡμῶν ἁμαρτίας ὑπελθόντι θάνατον, καὶ εἰς ἡμῶν δικαίωσιν ἐξαναστάντι, καὶ νῦν ἀτελευτήτως ζῶντι, καὶ ἐκ δεξιῶν σου καθημένῳ, καὶ ὑπὲρ ἡμῶν μεσιτεύοντι, καί γε σὺν σοὶ ἅμα ἡμᾶς κατοικτείροντι· ὅτι αὐτὸς μὲν ἐστὶ Θεὸς ἐκ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, συναιώνιός τε σοὶ καὶ ὁμοούσιος κατὰ πάντα, καὶ σώζειν ἡμᾶς ἐς ἀεὶ δυνάμενος· ἀλλὰ καὶ ὡς ἄνθρωπος (καθ' ὃ καὶ σοῦ ἐλάσσων ἐστὶ·) πᾶσαν ἐξουσίαν ἐν οὐρανῷ παρὰ σοῦ εἰληφὼς ἐστὶν ἔχων· » ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν » γόνυ κάμπτῃ ἐπουρανίων τε καὶ ἐπιγείων, καὶ πᾶσα γλῶσσα ἐξο» μολογήσηται, » ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς σὴν ἐστὶ δόξαν τοῦ Θεοῦ καὶ Πατρὸς τοῦ ἐπὶ πάντων βασιλεύοντος. Αὐτὸς οὖν παρὰ σοῦ καὶ Κριτὴς εἶναι διετάχθη ζώντων τε καὶ νεκρῶν· σὺ δὲ κρίνεις οὐδένα » Τὴν γὰρ κρίσιν πᾶσαν δέδωκας τῷ Υἱῷ, ἐν ᾧ » πάντες ἀπόκεινται οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως. »

Αὐτὸς μάρτυς ἐστὶ καὶ κριτὴς, κριτής τε ἐστιν ὁ αὐτὸς καὶ μάρτυς, ὃν οὐδὲν συνειδὸς διαφυγεῖν, συνεχόμενον ἁμαρτίαις, οὐ μὴ δυνήσεται· πάντα γὰρ ἐστὶ γυμνὰ καὶ τετραχηλισμένα ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. Αὐτὸς τοίνυν ὁ κατακριθεὶς ἀδίκως, κρινεῖ τὴν οἰκουμένην ἐν εὐθύτητι, καὶ τοὺς λαοὺς ἐν δικαιοσύνῃ. Εὐλογῶ οὖν

τὸ ὄνομά σου τὸ ἅγιον εἰς τὸν αἰῶνα, καὶ ἐξ ὅλης μου τῆς καρδίας δοξάζω σέ, Παντοκράτορ πολυέλεε Κύριε, ὑπὲρ τῆς ὑπερφυοῦς σου ταύτης καὶ ἀνερμηνεύτου κοινωνίας, τῆς μεταξὺ Θεότητος καὶ ἀνθρωπότητος, ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ, οὕτω θαυμαστῶς οἰκονομηθείσης, ὡς μὴ τὸν Θεὸν ἕτερον εἶναι καὶ τὸν ἄνθρωπον ἕτερον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν, Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον· ἄνθρωπον ὁμοῦ καὶ Θεόν. Εἰ γὰρ κατὰ τὴν ξένην ταύτην καὶ παράδοξον συγκατάβασιν ὁ Λόγος ἐγένετο σάρξ, ἀλλ' οὐδετέρα ἑκατέρων τῶν φύσεων εἰς τὴν ἑτέραν τραπεῖσα μετέβαλεν· οὐδὲ τῷ μυστηρίῳ τῆς Τριάδος, τέταρτόν τι πρόσωπον προσετέθη· συνήνωται μὲν γὰρ ἡ τοῦ Θεοῦ Λόγου φύσις τῇ τοῦ ἀνθρώπου, οὐ συμπέφυρται δὲ, ὡς εἰς τὸ Θεὸν εἶναι τὸ ἐξ ἡμῶν προσληφθὲν ἐφικέσθαι, καὶ ὅπερ ἦν ὅτε οὐκ ἦν, ταὐτὸ τῷ εἰς ἀεὶ ὄντι διαμένον συγκαθυφίστασθαι.

Ὢ τοῦ θαυμαστοῦ Μυστηρίου! ὢ συναλλάγματος ἀνερμηνεύτου! ὢ ξένης, καὶ ἀεὶ παραδόξου, καὶ πάντα ἵμερον ὑπερεκβαινούσης εἰς τὸν αἰῶνα τοῦ Θείου ἐξιλασμοῦ ἀγαθότητος! Δοῦλοι ἀνάξιοι ἦμεν, καὶ ἰδοὺ τέκνα Θεοῦ ἀνεδείχθημεν! κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ! πόθεν τοῦτο ἡμῖν προσεγένετο; καὶ τίς εἰς τόδε ἡμᾶς προηγάγετο; Ἀλλ' ἱκετεύω σὲ τὸν πανοικτίρμονα Πατέρα Θεὸν πρὸς αὐτῆς σου ταύτης τῆς ἀνεξιχνιάστου ἐπιεικείας καὶ ἀγαθοσύνης καὶ ἀγάπης, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τῶν πολλῶν σου καὶ μεγάλων ἐπαγγελιῶν, ὧν αὐτὸς ὁ σὸς Υἱὸς, καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡμῖν ἐπηγγείλατο. Ἔντειλαι τῇ δυνάμει σου, καὶ προσεμπέδωσον ὃ περὶ ἡμᾶς ἐξειργάσω! Ἐκτέλεσον ὃ δὴ κατήρξω! ὅπως ἂν τῆς πληρεστάτης τοῦ ἐλέους σου χάριτος ἐφικέσθαι ἀξιωθείημεν! φώτισον ἡμᾶς διὰ τοῦ ἁγίου σου Πνεύματος, ὥστε συνιέναι τε καὶ ἐποφθῆναι ἀξίους, καὶ διὰ τιμῆς καὶ εὐλαβείας τῆς προσηκούσης ἐς ἀεὶ ἄγειν τὸ μέγα τόδε τῆς σῆς φιλανθρωπίας Μυστήριον·
» Ὃ ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ἐδηλώθη ἀγγέ-
» λοις, ἐκηρύχθη τοῖς ἔθνεσιν, ἐπιστεύθη ἐν τῷ κόσμῳ, ἀνελήφθη
» ἐν δόξῃ.

ΚΕΦ. ΙΖ.

Ὅσην τῷ Θεῷ χάριν ὁ ἄνθρωπος ἔχειν ὀφείλει, ὑπὲρ ἧς παρ' αὐτοῦ ἀπολυτρώσεως τυχεῖν ἠξίωται.

Βαβαὶ, ὅσην ἐποφειλομένην σοι Χάριν ὁμολογεῖν, Κύριε ὁ Θεὸς ἡμῶν, οἱ τῷ τηλικούτῳ τιμήματι ὑπὸ σοῦ ἐξαγορασθέντες! οἱ δωρεᾷ τοσῇδε διασωθέντες, οἱ τῷ οὕτως ὑπερφυεῖ ἐπιχορηγηθέντες εὐεργετήματι! Ὦ πόσον οἱ ἐλεεινοὶ χρεωστοῦμεν φοβεῖσθαι τε, πόσον ἀγαπᾷν, πόσον αἰνεῖν, εὐλογεῖν, τιμᾷν, καὶ δοξάζειν τὸν οὕτως ἡμᾶς ἀγαπήσαντα, οὕτω σεσωκότα, οὕτως ἁγιάσαντα, οὕτως ἀνυψώσαντα! Παρὰ σοῦ γὰρ ἡμῖν ἐστι πᾶν ὅ,τι δυνάμεθα, πᾶν ὅ,τι ζῶμεν, πᾶν ὅ,τι οἴδαμεν. Ἀλλὰ τί γὰρ ἄν τις ἔχοι, ὅ,τι μὴ σόν; Σὺ γὰρ ὑπάρχεις ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ἐξ οὗ πάντα ἡμῖν τὰ ἀγαθὰ πρόεισιν. Σοῦ τοίνυν ἕνεκεν καὶ τοῦ σοῦ ὀνόματος τοῦ ἁγίου, ἐκ τῶν σῶν ἡμῖν ἀγαθῶν μετάδος, ἵνα ἐκ τῶν σῶν ἡμῖν χορηγουμένων ἀγαθῶν δουλεύωμέν σοι, καὶ σοὶ εὐαρεστῶμεν ἐν ἀληθείᾳ, καὶ τὰς σοὶ ὀφειλομένας εὐχαριστίας τε καὶ δοξολογίας ἀποδιδῶμεν καθεκάστην ἡμέραν, τὰς ὑπὲρ τοσούτων εὐποιϊῶν τῶν παρὰ τῆς σῆς ἀγαθότητος.

Οὐ γὰρ ἄλλοθέν ποθεν δυνάμεθά σοι δουλεύειν, οὐδ' εὐαρεστεῖν, εἰ μὴ σὺ δωρήσαιο. » Πᾶν γὰρ δώρημα τέλειον, ἄνωθεν ἐστὶν ἡμῖν » καταβαῖνον, ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων » παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ, οὐδὲ τροπῆς ἀποσκίασμα. Κύριε ὁ Θεὸς ἡμῶν, Θεὸς ἐλέους καὶ οἰκτιρμῶν, Θεὸς πανάγαθος, Θεὸς ἰσχυρὸς, Θεὸς ἀνεξιχνίαστος, καὶ τῇ φύσει ἀπερίγραπτος· Θεὸς ὁ κηδεμὼν καὶ κοσμήτωρ τῶν πάντων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ τὸν ἀγαπητόν σου τοῦτον Υἱὸν καὶ γλυκύτατον Κύριον, εἰς κοινὴν ἡμῶν εὐποιΐαν, ἐκ τῶν Πατρικῶν σου κόλπων ἐξαποστείλας τὸν

καθ' ἡμᾶς βίον ἀναλαβέσθαι, ἵνα τὴν κατ' αὐτὸν ζωὴν ἡμῖν ἀντιπρομνηστεύσηται, καὶ Θεὸς τέλειος ἐξ ἑαυτοῦ ὤν, ἐκ μητρὸς ἐντελὴς ἄνθρωπος γένηται· Θεὸς ὅλος, καὶ ὅλος ἄνθρωπος· Εἷς τε καὶ μόνος ὁ αὐτὸς Χριστός· αἰώνιός τε καὶ χρονικὸς, ἀθάνατός τε καὶ θνητὸς, κτίστης καὶ κτίσμα, ἰσχυρός τε καὶ ἀσθενὴς, νικητὴς καὶ νενικημένος, τροφεὺς καὶ τραφεὶς, ποιμὴν καὶ πρόβατον, ἐν χρόνῳ νεκρωθεὶς, καὶ ζῶν σὺν σοὶ δι' αἰῶνος· καὶ τοῖς ἀγαπῶσι δὲ αὐτὸν τὸ μετ' αὐτοῦ συνεῖναι καὶ συμπολιτεύεσθαι δωρήσασθαι ἐπαγγειλάμενος, καθάπερ εἶπε τοῖς Μαθηταῖς τοῖς αὐτοῦ, λέγων· »Ὅ,τι »ἂν παρὰ τοῦ Πατρὸς ζητήσητε ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν.

Πρὸς αὐτοῦ δὴ τοῦ μεγάλου Ἱερέως, καὶ τοιούτου ἀληθινοῦ Ἀρχιερέως, καὶ ἀγαθοῦ ποιμένος, τοῦ ἑαυτὸν εἰς θυσίαν προσενεγκόντος, καὶ τὴν ψυχὴν θεμένου ὑπὲρ τῆς αὐτοῦ ποίμνης, καθικετεύω σε, Πάτερ, πρὸς αὐτοῦ τοῦ καθημένου ἐκ δεξιῶν σου, καὶ ὑπὲρ ἡμῶν μεσιτεύοντος· πρὸς αὐτοῦ τοῦ ἡμετέρου λυτρωτοῦ τε καὶ συνηγόρου τὴν σὴν ἀντιβολῶ εὐσπλαγχνίαν καὶ ἐπιείκειαν, πολυέλεε, καὶ φιλανθρωπότατε Θεὲ ὑπεράγαθε· δός μοι τὸ μετὰ καρδίας συντετριμμένης, καὶ ἐν πηγαῖς δακρύων, μετὰ φόβου καὶ τρόμου εὐλογεῖν καὶ δοξάζεν σε σὺν αὐτῷ τῷ Υἱῷ σου, καὶ τῷ Παναγίῳ σου Πνεύματι· ὧν γὰρ ἡ οὐσία μία, καὶ τὸ παρ' αὐτῶν χορηγούμενον ἓν καὶ ταυτόν ἐστιν.

Ἀλλ' ἐπειδὴ γὰρ τὸ τῇ φθορᾷ ὑποκείμενον ἐν ἐμοὶ τόδε σῶμα, οἷον τι ἄχθος ἐστί μου τῇ ψυχῇ ἐπιβρίθον, διέγειρόν μου, δέομαι, τὴν ἀπονάρκωσιν τοῖς σοῖς κέντροις, καὶ ποίησόν με τοῖς σοῖς ἐντάλμασιν ἀραρότως ἐπιδιαμένειν, καὶ διὰ νυκτός σε καὶ ἡμέρας ἀκαταπαύστως δοξολογεῖν· Δὸς τὴν ἐμὴν καρδίαν διαθερμαίνεσθαι, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαίεσθαι πῦρ· ἐπεὶ δ' ὁ μονογενὴς ἔφη Υἱός σου ὅτι »Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλ» κύσῃ αὐτὸν, καὶ ὅτι οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰμὴ δι' ἐμοῦ» ἀντιβολῶ σε λιπαρῶς καὶ καθικετεύω, ἕλξαις με, ὦ πάτερ ἄναρχε, πρὸς αὐτὸν τὸν Υἱόν σου, ἵν' αὐτός με τέως ὡς σὲ προσά-

γηται, ὅπου ἐκ δεξιῶν σου κάθηται, ὅπου ἡ ζωή ἐστιν ἡ αἰώνιος ἐν αἰωνιζούσῃ μακαριότητι· ὅπου ἡ τελεία ἐστὶν ἀγάπη, καὶ φόβος οὐδείς· ὅπου ἡ ἀνέσπερος ἐπαυγάζει ἡμέρα, καὶ πνεῦμα ἐστὶν ἡ ἀσφάλεια, καὶ ἀσφαλὴς ἡ γαλήνη, καὶ γαληναία ἡ τερπνότης, καὶ πάντερπνος ἡ εὐδαιμονία, καὶ εὐδαίμων ἡ ἀϊδιότης, καὶ ἀΐδιος ἡ μακαριότης, καὶ μακαρία πέρατος παντὸς ἐπέκεινα ἡ ὅρασις ἡ σὴ καὶ ἡ αἴνεσις. Ὅπου σὺ σὺν αὐτῷ, καὶ αὐτὸς σὺν σοί, μετὰ τοῦ συμφυοῦς ὑμῖν καὶ ὁμοουσίου Πνεύματος, Θεὸς εἷς, ζῶν τε καὶ βασιλεύων εἰς αἰῶνας αἰώνων· Ἀμήν.

ΚΕΦ. ΙΗ.

Δέησις πρὸς Ἰησοῦν Χριστὸν θερμοτάτη.

Χριστὲ ὁ Θεός μου, ἡ τῶν ἀνθρώπων ὑπεργλυκυτάτη ἀγάπη, τὸ φῶς, ἡ ὁδὸς, ἡ ζωὴ, ἡ σωτηρία, ἡ πᾶσα τῶν σῶν καλλονὴ καὶ εὐπρέπεια, ὑπὲρ ὧν πάντα ὑποστῆναι ηὐδόκησας· δεσμευθῆναι, σταυρωθῆναι, λόγχῃ ἐγκεντηθῆναι, θανεῖν, ταφῆναι· ὁ μετὰ τὸ καθηρηκέναι τὸν θάνατον τριήμερος ἐξαναστὰς, καὶ τοῖς μαθηταῖς ὀπτανθεὶς, καὶ καρδίας ὑποσαλευομένας στηρίξας· μεθ' ἡμέρας δὲ τεσσαράκοντα εἰς οὐρανοὺς ἀνελθὼν, καὶ ζῶν ἐκεῖ, καὶ βασιλεύων εἰς αἰῶνας αἰώνων. Σὺ εἶ ὁ Θεός μου ὁ ζῶν καὶ ἀληθινός· σὺ ὁ πατήρ μου ὁ ἅγιος, ὁ Κύριός μου ὁ οἰκτίρμων, ὁ Βασιλεύς μου ὁ μέγας, ὁ ποιμήν μου ὁ καλὸς, ὁ διδάσκαλός μου ὁ μόνος, ὁ βοηθός μου ὁ κραταιὸς, ὁ ἐμὸς ἔρως ὁ περικαλλέστατος, ὁ ἐμὸς ἄρτος ὁ ζῶν, ὁ Ἱερεὺς ὁ ἐμὸς ὁ αἰώνιος, ὁ πρὸς τὴν πατρίδα τὴν ἐμὴν ἐμὸς ὁδηγήτωρ, τὸ φῶς μου τὸ ἀληθινὸν, ἡ γλυκύτης μου ἡ ἁγία, ἡ ὁδός μου ἡ εὐθεῖα, ἡ σοφία μου ἡ ὑπέρφωτος, ἡ καθαρωτάτη ἁπλότης μου, ἡ εἰρηνοποιός μου ὁμόνοια, ἡ φρουρά μου ἡ

5

ἀσφαλὴς, ἡ ἀγαθή μου μερὶς, ἡ αἴδιός μου σωτηρία, τὸ ἔλεός μου τὸ μέγα, ἡ ῥωμαλεωτάτη ὑπομονή μου, τὸ ὁλοκαύτωμά μου τὸ ὑπεράμωμον, ἡ ἐξαγορά μου ἡ ἁγία, ἡ στεῤῥοτάτη ἐλπίς μου, ἡ ὑπερτέλειός μου χαρίτωσις, ἡ ἀληθινή μου ἀνέγερσις, ἡ ζωή μου ἡ ἄληκτος, τὸ ἀγαλλίαμά μου καὶ ὑπερευφρόσυνόν μου ἐντρύφημα, ἡ μακαριωτάτη μου ἐποπτεία καὶ ἀεὶ ἐπιδιαρκέσουσά μοι ἀπόλαυσις, τέλους ἐπέκεινα· ἀντιβολῶ σε καὶ ἐκλιπαρῶ καὶ καθικετεύω, ἵνα διὰ σοῦ πορευόμενος ὡς σὲ ἐπαφίξωμαι, καὶ ἐν σοὶ ἀναπαύσωμαι, ὃς ἡ ὁδὸς εἶ, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωὴ, ἧς ἄνευ οὐδεὶς πρὸς τὸν Πατέρα ἔρχεται. Σοῦ γὰρ ἐφίεμαι τοῦ ὑπερηδίστου καὶ ὑπερκαλλίστου Δεσπότου μου.

Ὦ τὸ τῆς Πατρικῆς δόξης ἀπαύγασμα· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ὁ βλέπων ἀβύσσους, τὸ φῶς τὸ ἀληθινὸν, τὸ φῶς τὸ ὑπερφωτίζον, τὸ φῶς τὸ ἀνέκλειπτον, εἰς ὃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· Ἰδοὺ ἡ καρδία μου ἐνώπιόν σου· διασκέδασον τὴν ἐπ᾽ αὐτῆς ἀχλὺν, ὅπως ἂν δαψιλέστερον ἐπικαταυγασθείη διὰ τῆς τοῦ περὶ σὲ πόθου ἐλλάμψεως. Δός μοι αὐτὸς σαυτὸν ὁ Θεός μου, αὐτὸς σαυτόν μοι ἀπόδος! Ἰδοὺ δὴ, ἀγαπῶ σε· καὶ εἰ βραχὺ τοῦτο, ἰσχυρότερον ἀγαπήσαιμι! Οὐκ ἔχω μέτρον τοῦ ἐπιγνῶναι ὅσον τῆς πρὸς σὲ ἀγάπης ἐνδεῖ μοι, ὥστε ἐφ᾽ ὅσον ἀπόχρη μοι ἐφικέσθαι· ὥστε δραμεῖν, καὶ περιβαλέσθαι σὲ τὴν ζωήν μου ἀνεπιστρόφως, ἕως οὗ μοι ἐν κρυφῇ καλύπτεται τὸ σὸν πρόσωπον. Ἀλλὰ γὰρ ἔμπης τοῦτ᾽ ἐγὼ οἶδα, ὅτι πᾶν τὸ παρ᾽ ἐκτὸς σοῦ, εἰς κακόν μοι γίνεται, Δέσποτα, οὐ μόνον τὸ ἐμοῦ θύραζε, ἀλλὰ καὶ τὸ ἐντὸς ἐμαυτοῦ. Πᾶσα γὰρ περιουσία, ἣ ἂν μὴ ᾖ ὁ Θεός μου, ἔνδειά μοι ἐστί.

Τὸ γὰρ ἀγαθὸν, τὸ μηδ᾽ ἐπὶ τὸ ἄμεινον, μηδ᾽ ἐπὶ τὸ χεῖρον τραπῆναι δυνάμενον, σὺ μόνος εἶ ὁ ἁπλῶς μόνος ὢν, ᾧ οὐχ ἕτερον τὸ ζῆν τοῦ ζῆν μακαρίως περίεστιν· ὅτι ἡ σὴ μακαριότης, σὺ αὐτὸς εἶ· τὸ δὲ κτίσμα τὸ σὸν, ᾧ τινι ἕτερον μὲν ἐστὶ τὸ ζῆν, ἕτερον δὲ τὸ μακαρίως ζῆν, οὐκ ἄλλῳ, εἰμὴ τῇ παρὰ σοῦ χάριτι ἀποδιδόναι τόδε ὀφείλει· Καὶ διὰ τοῦτο ἡμεῖς μὲν σοῦ χρήζομεν, αὐτὸς δὲ

ἥκιστά γε χρήζεις ἡμῶν· καὶ μηδαμῆ γὰρ μηδαμῶς ἡμῶν ὑφεστώτων, οὐδενὸς ἂν σοι ἀγαθοῦ ἐνδεήσειεν, ὅτι αὐτὸς τοῦτο τὸ ἀγαθὸν αὐτὸ εἶ. Σοὶ τοίνυν τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν ἐπάναγκες ἡμᾶς ἀείποτε προσκολλᾶσθαι, ἵνα διὰ τῆς ἀδιαλείπτου σου ἀντιλήψεως, ἁγνῶς τε, καὶ εὐσεβῶς, καὶ ὀρθῶς ζῆν δυνηθῶμεν· τῇ γὰρ βαρύτητι τῆς ἑαυτῶν ἀσθενείας ἐπὶ τὰ κάτω ἑλκόμεθα, τῇ δὲ χάριτι τῇ παρὰ σοῦ διαθερμαινόμεθα καὶ ἀνωφερεῖς καθιστάμεθα, ἐκπυρούμεθά τε καὶ ἀναγόμεθα· ἀναβαίνοντες δὲ, ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμεθα, καὶ τὴν ᾠδὴν τὴν τῶν ἀναβαθμῶν προσᾴδομεν, καὶ τῷ καλῷ σου πυρὶ ἐμπυρπολούμεθα, καὶ πρόσω χωροῦμεν.

Ὅποι δὲ ἄρα; ἐπὶ τὴν εἰρήνην τῆς Ἱερουσαλὴμ ἄνω χωροῦμεν· » Εὐφράνθην καὶ γὰρ ἐπὶ τοῖς εἰρηκόσι μοι εἰς οἶκον Κυρίου πορευ-» σόμεθα. » Ἐκεῖ γὰρ ἵστησι τοὺς πόδας ἡμῶν ἡ εὐδοκία, ὡς ἕτερον μηδὲν ἡμᾶς ἐθέλειν, ἢ ἐν αὐτῇ δι' αἰῶνος αὐλίζεσθαι. Ἐπειδὴ γὰρ, ἐφ' ὅσον ἐν σώματι ἐσμὲν, ξενιτεύομεν ἀπὸ σοῦ, Δέσποτα « οὐκ » ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν· » τὸ δὲ ἡμῶν πολίτευμα ἐν οὐρανοῖς ἐστίν. » Ἔνθεν τοι τῆς σῆς με χάριτος ὁδηγούσης, εἰς τὸ ταμεῖον εἴσειμι τῆς ἐμῆς καρδίας, καὶ ἐρωτικά σοι προσᾴδω, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ἐν στεναγμοῖς ἀλαλήτοις ἐπολολύζων ἐν τῇ δε τῇ χώρᾳ τῆς παροικίας μου, ἔνθα μοι τὰ δικαιώματά σου ψαλτὰ ἐγένετο.

Τῆς τοίνυν Ἱερουσαλὴμ μνησθεὶς, τὴν καρδίαν μου ἐπ' αὐτὴν ἐκχέω· ἐπὶ Ἱερουσαλὴμ τὴν ἐμὴν πατρίδα, ἐπὶ Σιὼν τὴν Μητέρα μου, καί γε ἐπὶ σὲ τὸν ἐν αὐτῇ βασιλεύοντα, τὸν αὐτὴν ἐκλαμπρύνοντα· τὸν Πατέρα, τὸν φρουρὸν, τὸν προστάτην, τὸν εὐθύντορα, τὸν ποιμένα, τὰς ἐν αὐτῇ ἁγνάς τε καὶ ἰσχυρὰς ἐντρυφήσεις, τὸ στεῤῥὸν καὶ ἀμετάτρεπτον ἀγαλλίαμα· καὶ ἑνὶ λόγῳ, ἅπαντα ὁμοῦ τὰ ἀνέκφραστα ἀγαθὰ, ἐν οἷς τὸ ὑπέρτατον αὐτὸς εἶ καὶ ἀκρότατον, καὶ ἀληθὲς αὐτάγαθον· Καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐν τῇ εἰρήνῃ τῆς περιποθήτου μοι ταύτης Μητρὸς, ἔνθα αἱ τοῦ πνεύματός μου εἰσὶν ἀπαρχαὶ, ὅλον με ἐπισυνάξῃς, καὶ ὅσον

τὸ ἐκ τῆς παρούσης διασπορᾶς τε καὶ ἀκοσμίας ἐν ἐμοὶ προσεγένετο, περιέλῃς ἀπ' ἐμοῦ, και ἀναμορφώσῃς με, καὶ καταστηρίξῃς με εἰς τὸν αἰῶνα, ὁ Θεός μου, τὸ ἔλεός μου!

ΚΕΦ. ΙΘ.

Διαςολὴ τῆς σοφίας, ἥ ὁ τȣ̃ Θεȣ̃ οἶκος ἐστὶ, καὶ τῆς σοφίας, ἥτις αὐτή ἐςιν ἡ Θεαρχικὴ Σοφία.

Αὐτός ἐστιν, ὦ Κύριε καὶ Θεέ μου, ὁ οἶκος ὁ σός· οὔμενουν οἶκος γεηρός τις, οὐδὲ ἐκ σωματικοῦ τινος ὄγκου, οὐδ' οὐρανίου, συνεστηκὸς δόμημα, ἀλλ' οἶκος πνευματικὸς καὶ μετέχων ἀϊδιότητος· διότι ἄνευ κηλίδος διαμπερές ἐστι διαμένων· Ἔστησας γὰρ αὐτὸν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος «Πρόσταγμα ἔθου, καὶ οὐ παρελεύσεται» Αὐτὸς καὶ γὰρ συναϊδιάζων ἐστὶ σοὶ τῷ Θεῷ, καί τοι οὐκ ἄνευ ἀρχῆς ὑποστάς· (ἐπεὶ πρὸ πάντων αἰώνων ἡ σοφία ἐκτίσθη.) Οὐχ ἄυτη δὲ πάντως, αὐτή ἡ σοφία ἐστὶν ἐκείνη, ἡ ὅλως τῷ Θεῷ καὶ πατρὶ ὁμοφυὴς καὶ συνάναρχος, ἡ κατασκευάσασα τὸν κόσμον, ἐν ᾗ περ ἀρχῇ οὔσῃ ἐγένετο ὁ οὐρανὸς καὶ ἡ γῆ· σοφία δ' ἔμπης καὶ ἡ περὶ ἧς ὁ λόγος, πνευματικῆς καὶ ἀΰλου λαχοῦσα φύσεως, ἀμέλειτοι, ἡ διὰ τῆς τοῦ φωτὸς θέας τυγχάνουσα φῶς. Λέγεται γὰρ καὶ ἄυτη (καίτοιγε κτιστὴ οὖσα σοφία· ἀλλ' ὅσον ἐστὶν ἀπέχον τὸ φῶς τὸ φωτίζον, ἀπὸ τοῦ φωτὸς τοῦ φωτιζομένου, τοσοῦτον ἡ ἀκροτάτη σοφία ἡ κτίζουσα, ἀπὸ τῆς σοφίας αὐτῆς τῆς κτισθείσης ἀφέστηκεν· Ὅσον δηλονότι τὸ διαφέρον, τὸ τῆς δικαιοσύνης, ὃς αὐτὸς εἶ ὁ Θεὸς ἡμῶν· καὶ τῆς δικαιοσύνης, ἥτις ἡμῖν ἐγενήθη δικαίωσις. Καὶ γὰρ δήπου καὶ ἡμεῖς αὐτοὶ ἐπεκλήθημεν δικαιοσύνη τοῦ Θεοῦ καὶ πατρὸς, ἐν σοὶ τῷ Υἱῷ αὐτοῦ, τῷ Κυρίῳ ἡμῶν, ὡς μαρτυρεῖ ὁ Ἀπόστολος.

Ἐπειδὴ τοίνυν ἔσθ' ἥτις πρὸ πάντων ἐκτίσθη σοφία, αὕτη δήπου ἡ λογική τε καὶ νοερὰ δημιουργηθεῖσα ἐστὶν ἡ τῆς σῆς ἀσπίλου τε καὶ πανάγνου δηλονότι πόλεως, τῆς Μητρὸς ἡμῶν, τῆς ἄνω καθεστώσης καὶ διαιωνιζούσης ἐν οὐρανοῖς. Ἐν οἷς ποτε δὲ ἄρα τοῖς οὐρανοῖς, εἰμὴ ἐν ἐκείνοις, ἐν οἷς σε αἰνοῦσιν οἱ οὐρανοὶ τῶν οὐρανῶν; Αὐτὸς γάρ ἐστι καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ τῷ Κυρίῳ. Καίτοι γὰρ δὴ χρόνον οὐχ εὑρίσκομεν πρὸ ἐκείνης τῆς κτίσεως, τῆς πρὸ καταβολῆς χρόνων γενομένης, ὡς προτέρας πάντων δημιουργηθείσης· ἀλλὰ πρὸ ἐκείνης αὐτὸς ὑπάρχεις ὁ προαιώνιος Θεὸς, ὁ τῶν ἁπάντων δημιουργὸς, ὑφ' οὗ καὶ ἡ τῆς τοιᾶσδε δημιουργίας ἀϊδιότης παρήχθη, τῆς ἀρχὴν λαβούσης καθ' ἣν ἐγένετο, εἰ καὶ μὴ τὴν ἐν χρόνῳ· (οὔπω γὰρ ἦν χρόνος) τοιαύτην γεμὴν ἀρχὴν εἰληφείας, ὥσθ' οὕτω κατ' αὐτὴν ἀπὸ σοῦ τοῦ Θεοῦ κεχωρίσθαι, καθ' ὅ,τι ἕτερόν τι σοῦ πάντῃ ἐστὶ, κἂν μηδὲ πρὸ τῆς ἀρχῆς ἐκείνης, μηδ' ἐν αὐτῇ ἐκείνῃ χρόνον ὅλως εὑρίσκωμεν. Ἐκείνη γὰρ ἡ κτίσις οἵα τε ἐστὶ τὸ πρόσωπον τὸ σὸν ἐς ἀεὶ κατοπτεύειν, οὐδαμῇ δ' ἀπ' αὐτοῦ ἐκτρέπεται παρεκκλίνουσα· διὸ οὐδ' ἐκ παραλλαγῆς οὐδεμιᾶς ποικίλλεται τὸ παράπαν. Ἀλλ' ἔνεστι μέντοι κἂν αὐτῇ τὸ ἐκτραπῆναι δύνασθαι, ὥστε δὴ τέως καὶ σκοτισθῆναι καὶ ὑποψυγῆναι ἂν ἔχειν, ἣν μὴ ἐν ὑπερβολῇ ἔρωτος σοὶ προσφῦσα, ὡς ἐπὶ μεσημβρίας ἀκλινῶς ἑστήκει, ὑπὸ σοῦ καταυγαζομένη καὶ περιζέουσα.

Αὕτη καὶ γὰρ ἐν οὕτως ἁγνῷ τῷ ἔρωτι προσῆπται σοὶ τῷ ἀληθινῷ Θεῷ καὶ ἀληθῶς αἰωνίῳ, ὥστε κἂν μὴ σοὶ τυγχάνοι συναιωνίζουσα, οὐδέσιν ὅμως διαδοχαῖς τε καὶ περιτροπαῖς χρόνων ἀπὸ σοῦ ἀπολύεσθαι, μηδ' ἀποῤῥεῖν, ἀλλ' ἐπὶ τῆς παναληθεστάτης θέας σοῦ μόνου ἐπαναπαύεσθαι. Σὺ γὰρ δὴ ὁ Θεὸς, ὁπόσον τῷ ἀγαπῶντι σε ἐπιτάσσεις, τοσοῦτον σεαυτὸν ἐμφανίζεις, καὶ ἀρκεῖς αὐτῷ· ὅθεν οὐκ ἀπονεύει, οὐδ' ἀπὸ σοῦ παρεκκλίνων, οὐδ' ἀφ' ἑαυτοῦ ὅλως οὐδόλως, ἀλλ' ἐπὶ τῆς αὐτῆς ἀεὶ ὡσαύτως ἕστηκε στάσεως, διηνεκῶς σε ὁρῶν, καὶ σοῦ ἀδιαλείπτως ἐρῶν τοῦ ἀληθινοῦ φωτὸς, καὶ ὑπεράγνου ἔρωτος. Ὢ τῆς τρισευδαίμονος ἐκείνης, καὶ

ὑπερεξῃρημένης τῶν κτίσεων κτίσεως! ὡς λίαν μακαριωτάτη αὕτη, ἡ τῇ σῇ ἀεί ποτε προσημμένη μακαριότητι! ὡς λίαν εὐδαιμονεστάτη, ἅτε ἀϊδίως ἐν ἑαυτῇ ἐνοικοῦντα σὲ ἔχουσα, καὶ ταύτην καταγλαΐζοντα.

Οὐδέν τι μᾶλλον προσηκόντως εὑρίσκω ἐξεῖναι τὸν οὐρανὸν τοῦ οὐρανοῦ τῷ Κυρίῳ ἐπονομασθέντα ἡγεῖσθαι, ἢ τὸν οἶκον τὸν σὸν, τὸν τῆς σῆς τερπνότητος θεωρὸν ὄντα ἐνδελεχῶς, ἄτερ ἐκλείψεως, καὶ ἄνευ οἱασοῦν διαθέσεως, τοῦ ἐπ' ἄλλου τινὸς τὴν θεωίραν παρεξιέναι, οἷαπερ δὴ νοῦν τυγχάνοντα καθαρὸν καὶ εἰλικρινῆ, καὶ ἕνα ὁμοψυχότατον. Τοιοῦτον τὸ τῆς εἰρήνης τῶν μακαρίων πνευμάτων στήριγμα· ταῦτα τὰ ἐν οὐρανοῖς ἐστὶν ἐπουράνια. Κἀντεῦθεν ἄρα ἡ ψυχὴ συνιέτω, ἧς ἡ παροικία ἀπεμακρύνθη, ἐὰν ἤδη τῷ σῷ δίψει τυγχάνῃ κατάσχετος· ἐὰν ἤδη ἄρτος αὐτῇ γένηται τὰ ἑαυτῆς δάκρυα, ἐὰν ἤδη τουτί γε καὶ μόνον αἰτοῖτο τε καὶ ἐπιποθείη, τὸ κατοικεῖν ἐν τῷ οἴκῳ τῷ σῷ ἁπάσας τῆς ζωῆς αὐτῆς τὰς ἡμέρας. Καὶ τίς δὲ αὐτῆς ἡ ζωή ἐστιν, εἰ μὴ ἐν σοί; καὶ τίνες δὲ αὐτῆς αἱ ἡμέραι, εἰμὴ ἡ αἰωνιότης ἡ σὴ καὶ τὰ σὰ ἔτη, ἃ οὐκ ἐκλείψουσιν; Ἐντεῦθεν οὖν ἡ ψυχὴ συνιέτω, ἥτις συνιέναι δύναται, ὅσῳ μακρὰν ὑπὲρ ἅπαντα χρόνον αὐτὸς εἶ ὁ αἰώνιος, ὁπότε ὁ οἶκος ὁ σὸς, ὁ μὴ παρεπιδημήσας, κἂν μὴ ὑπάρχῃ σοὶ συνδιαιωνίζων, ἀπαύστως μέντοι γε καὶ ἀδιαλείπτως σοὶ προσκεκολλημένος ἐστὶ, μηδεμίαν χρόνου μεταβολὴν ὑφιστάμενος, ἐς ἀεὶ δὲ ἐν μονιμωτάτῃ ἀγνότητι καθεστὼς, καὶ οὐδὲν ἀλλοῖον ὡς ἐξ ἰδίας προστροπῆς ἀπαρύων, οὐδαμῇ οὐδέποτ' ἂν ἀπὸ σοῦ ἐκσταίη, σοῦ γε αὐτῷ παρόντος, οὗπερ ἐκθύμως ἀντέχεται, μηδὲν μέλλον ἔχων ὃ προσδοκήσειε, μήθ' ἐπὶ τὸ παρεληλυθὸς ἐπιστρέφων, οὗπερ ἂν καὶ ἐπιμνησθείη· Ἔχει καὶ γὰρ ἀνεπαμείπτως τε καὶ ἀδιαδόχως, καὶ πρὸς οὐδένα χρόνον ἐξαποτείνεται.



ΚΕΦ. Κ.

Ἐνταῦθα ὁ ἄνθρωπος δέεται, ἵνα καὶ ὁ τοῦ Θεοῦ οἶκος ὑπὲρ αὐτοῦ δέηται.

Ὦ Θεοῦ ὁ ὑπέρφωτος καὶ περικαλλέστατος οἶκος! ὡς ἠγάπησα τὴν εὐπρέπειάν σου, καὶ τὸν τόπον τοῦ σκηνώματος τῆς δόξης Κυρίου τοῦ Θεοῦ μου, τοῦ σὲ καὶ ἔχοντος καὶ οἰκοδομήσαντος! Ἐπιστενάζων εἴην νυκτὸς καὶ ἡμέρας, ὅτι ἀπὸ σοῦ ἀποδημῶν ξενιτεύω! ἐπιχαίνουσα εἴη διηνεκῶς ἡ καρδία μου! σοὶ προσέχουσα ἐς ἀεὶ ἀνατείνοιτο ἡ διάνοιά μου! Εἰς κοινωνίαν τῆς ἐν σοὶ μακαριότητος ἐφικέσθαι ἐπιποθείη τοῦ ἐπιθυμεῖν ἡ ψυχή μου! Ἀνακράζω πρὸς τὸν σὲ ποιήσαντα, ἵν᾽ αὐτὸς ἐν σοὶ κτήσηταί με ὁ κἀμὲ κτίσας καὶ σέ. Μᾶλλον δὲ κράξον, σὺ αὐτοῦ δεήθητι ὑπὲρ ἐμοῦ, ὅπως ἂν κἀμὲ ἄξιον τοῦ τῆς ἐν σοὶ δόξης μετασχεῖν ἀπεργάσηται. Τοῖς γὰρ ἁγίως ἐν σοὶ πολιτευομένοις, καὶ τοῦ θαυμασίου σου ἐπαπολαύουσι κάλλους συναρθμηθῆναι, οὐ διὰ τὴν ἐν ἐμοὶ ἀξιοπρέπειαν αἰτοῦμαι, ἀλλὰ διὰ τὸ αἷμα τὸ ἐπὶ τῇ ἐμῇ ἐκχεθὲν ἐξαγοράσει, τῆς αἰτήσεως ἐπιτυχεῖν οὐκ ἀπογινώσκω. Μόνον συναράσθω μοι ἡ ἐν σοὶ, τῷ τοῦ Θεοῦ σκηνώματι, ἐπιπρέπουσα χάρις· συνεπαρηγέτωσαν τῇ ἐμῇ σκολιότητι αἱ ἁγιώταταί σου καὶ καθαρώταται ἐντεύξεις, ἅσπερ ἀδρανεῖς πρὸς Θεὸν εἶναι οὐκ ἂν ποτε γένοιτο.

Ἐπλανήθην (ὁμολογῶ) κατὰ τὸ ἀπολωλὸς ἐγὼ πρόβατον· καὶ ἡ παροικία μου ἡ ἐπὶ γῆς ἐμακρύνθη, καὶ πόῤῥω ἀπεσκίρτησα ἐκβληθεὶς ἀπὸ τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ μου, ἐν τῇδε τῆς ἐξορίας μου τῇ τυφλότητι, ἔνθα, τῆς ἐν τῷ παραδείσῳ τρυφῆς ἀπεληλαμένος, ἐπολοφύρομαι καθ᾽ ἡμέραν ἐπὶ ταῖς τῆς αἰχμαλωσίας μου ἀθλιότησιν, ἐν ᾄσματι ὀδυνηρῷ, καὶ δεινοῖς ὀλολύγμασιν, ἐπειδὰν » σου, ὦ Μῆτερ Ἱερουσαλὴμ, διαμνημονεύω, ἐν ᾧ οἱ πόδες μου ἵσταν-

» ται ἐν ταῖς αὐλαῖς σου, ὦ ἁγία τε καὶ πανευπρεπεστάτη Σιών· ὅτι οὔπω ἐπὶ τὰ ἐνδότερα ἐγκύψαι, καὶ τὰ ἐν σοὶ ἐμφανῶς ἔχω θεάσασθαι. Ἀλλ' ἐπὶ τῶν ὤμων ἔμπης τοῦ ἐμοῦ ποιμένος, καὶ σοῦ κτίστου ἀνενεχθήσεσθαι ὡς σὲ πέποιθα, ἵνα σὺν σοὶ ἐντρυφήσω ἐν τῇ ἀνεκδιηγήτῳ ἐκείνῃ χαρᾷ καὶ ἀγαλλιάσει, ἐν ᾗ κατευφραίνονται πάντες οἱ μετὰ σοῦ ἐνώπιον τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν παριστάμενοι, τοῦ διὰ τῆς αὐτοῦ σαρκὸς λελυκότος τὴν ἔχθραν, καὶ διὰ τοῦ ἰδίου αἵματος ἅπαντα, τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐπὶ γῆς καταλλάξαντος.

Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, ὁ τοὺς ἀντικαθεστῶτας τοίχους συνάψας, καὶ τὴν ἀϊδίως ἐν αὐτῷ διαμένουσαν εὐδαιμονίαν ὡσαύτως τε καὶ ἰσομέτρως παρέξειν ἡμῖν κατεπαγγειλάμενος, τῷ εἰπεῖν: » ὅτι ἔσονται ὡς ἄγγελοι τοῦ » Θεοῦ, οἱ ἐν οὐρανοῖς. » Ὦ Ἱερουσαλήμ, ὁ οἶκος ὁ τοῦ Θεοῦ ὁ αἰώνιος! μετὰ τὴν τοῦ Ἰησοῦ μου Χριστοῦ ἀγάπησιν, σύ μοι γενοῦ ἡ χαρμονὴ ἡ ἐμὴ καὶ παράκλησις· ἡ τοῦ ὀνόματός σου γλυκεῖα μνήμη ἀνακουφισάτω τὴν ἐμὴν ἀθυμίαν, καὶ ἀποσκεδασάτω τὴν ἀχθηδόνα τὴν ἐμοὶ ἐπιπολάζουσαν!

ΚΕΦ. ΚΑ.

Ὅση πικρίᾳ ὁ βίος οὗτος ἐστὶν ἀνάμικτος.

Ἀχθεινὸς ἐμοί, Κύριέ μου, ὁ βίος οὗτος! καὶ ἡ ἐν τούτῳ ἐμὴ παροικία ταλαίπωρος. Βίος ἐλεεινὸς οὗτος ὁ βίος, βίος ἐπίκηρος, βίος ἀστάθμητος, βίος ἐπίμοχθος, βίος ἀκάθαρτος· βίος ἐν ᾧ κυριεύει μὲν τὰ κακά, τυραννεῖ δὲ ἡ ἀλαζονεία· βίος πλήρης ἀθλιότητος καὶ ἐξαπάτης· ὅν οὐδὲ βίον εἰκὸς ὀνομάζειν αὐτόν, ἀλλὰ θάνατον, ἐν ᾧ καθ' ἑκάστην ῥοπὴν ἐκθνήσκομεν, ποικίλαις ἐν μεταβολαῖς καὶ παντοδαποῖς κηρῶν εἴδεσιν ἐκνεκρούμενοι.

Μήπου γὰρ δὴ τοῦθ' ὅπερ ἐν τῷ κόσμῳ βιοῦντες διατελοῦμεν, ζωὴν ἔχομεν προσαγορεύειν; ζωήν, ἣν οἱ μὲν χυμοὶ ἐξοιδαίνου-

σιν ; αἱ δ' ἀλγηδόνες κατισχναίνουσιν! οἱ δὲ καῦσοι ἐξαυαίνουσιν! ἀὴρ δ' ἐκνοσίζει! τροφὴ δ' ἐξογκοῖ! ἀσιτία δ' ἐκτήκει! τρυφὴ δ' ἀποχαυνοῖ! ἀνία δ' ἐκδαπανᾷ! μέριμνα δὲ στενοχωρεῖ! ῥαστώνη δ' ἀμβλύνει! πλοῦτος δὲ φυσιοῖ! ἡ δὲ πενία ταπεινοῖ! ἡ δὲ νεότης ἐπαίρει! τὸ δὲ γῆρας ἀποκυρτοῖ! τὸ δὲ νόσημα διαθραύει! ἡ δ' ἀθυμία καταπιέζει! Καὶ ταῦτα γεμὴν τὰ δεινὰ πάντα, μανιώδης τὸ ἔσχατον ἐπιὼν ὁ θάνατος, διαδέχεται, καὶ πᾶσιν ἅμα τοῖς τοῦ τοιοῦδε ταλαιπώρου βίου ταύτῃ γε τὸ πέρας ἐφίστησιν, ὡς οὕτως ἀπολήγοντα τέως, μηδὲ τὸ παράπαν αὐτὸν ὑπάρξαι νομίζεσθαι. Ἀλλὰ γὰρ οὗτος ὁ βιωτικὸς μὲν θάνατος, θανατικὸς δὲ βίος, καί τοιγε τῶν εἰρημένων, καὶ πλειόνων ἄλλων πικροτήτων ἀνάπλεως, ὅσους, οἴ μοι! ἐπιθέλγων ἀγρεύει! ὅσους ταῖς ψευδέσιν ἐπαγγελίαις ἀυτοῦ ἐπιφενακίζει!

Τοιοῦτος καθ' ἑαυτὸν πεφυκὼς ὁ βίος, καὶ οὕτω ψευδὴς καὶ κατάπικρος, ὥστε μηδὲ τοὺς τυφλώττοντας τῶν ἀυτοῦ ἐραστῶν διαλαθεῖν δύνασθαι, οὐδ' ἀριθμὸν ἐστὶ φάναι, ὅσους ποτὲ ἄφρονας ἔτι καταγοητεύων, ἐκ τοῦ χρυσοειδοῦς ποτηρίου, ὅπερ ἐν χερσὶ κατέχει, ποτίζων ἀυτοὺς καὶ καταμεθύσκων! Εὐδαίμονες (ὀλιγάριθμοι δ' οὗτοι) οἱ τὴν πρὸς ἀυτὸν οἰκείωσιν παραιτούμενοι, καί, τῷ τῶν παροδίων κατολιγωρεῖν τέρψεων, τὴν μετ' ἀυτοῦ συνήθειαν διαπτύοντες, ἵνα μὴ σὺν ἀυτῷ τῷ ἀπατεῶνι καὶ ἀπολουμένῳ, καὶ ἀυτοὶ συνεξαπόλωνται.

ΚΕΦ. ΚΒ.

Περὶ τῆς Ζωῆς τῆς τρισευδαίμονος, ἣν ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν ἀυτόν.

Ὦ ἡ Ζωὴ ἀύτη, ἣν ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν ἀυτόν! Ὢ Ζωὴ ζώσιμος, Ζωὴ μακαρία, Ζωὴ ἀσφαλής, Ζωὴ γαλήνιος,

Ζωὴ ὡραία, Ζωὴ καθαρὰ, Ζωὴ ἁγνὴ, Ζωὴ ἁγία, Ζωὴ θάνατον ἀγνοοῦσα, λύπην οὐκ εἰδυῖα! Ζωὴ κηλῖδος ἄνευ, ἄνευ ἄλγους, ἄνευ ἀχθηδόνος, ἄνευ προστροπῆς, ἄνευ ταράχου, ἄνευ μεταβολῆς καὶ ἐξαλλοιώσεως! Ζωὴ ἁπάσης εὐπρεπείας τε καὶ κοσμιότητος ἔμπλεως· Ζωὴ ἐν ᾗ οὐδεὶς ὁ ἐνιστάμενος καὶ ἀντιβάλλων· ἐν ᾗ θέλγητρον ἐστὶν οὐδὲν τὸ εἰς ἁμαρτίαν ἐνάγον. Ἔνθα ἡ ἀγάπη τελεία, φόβος δ᾽ ἀπέδρα, ἔνθα ἡ ἡμέρα ἀνέσπερος καὶ αἰωνία, ἔνθα τὸ πνεῦμα τοῖς πᾶσιν ἕν. Ἔνθα Θεὸς πρόσωπον πρὸς πρόσωπον κατοπτάνεται, καὶ διατροφῆς τῇ τοιᾶδε Ζωῇ προσηκούσης ὁ νοῦς ἀδιαλείπτως κορέννυται.

Ὡς ἀγαπητόν μοι ἐστὶν, ὦ Ζωὴ μακαρία, τὸ πρὸς τὴν σὴν ἐνατενίζειν λαμπρότητα· τερπνότατά μοι τὰ ἀγαθά σου, αὐτῶν ἐκθύμως ὑπερεφιεμένῳ. Ὅσῳ δὴ μᾶλλον κατ᾽ ἐμαυτὸν ἰσχύω περινοῆσαι, τοσούτῳ πλέον ἐκλείπω τῷ περὶ σὲ ἔρωτι, καὶ τῷ σφοδρῷ πρὸς σὲ πόθῳ, καὶ τῇ γλυκυτάτῃ σου ἐπιμνήσει ὡς λίαν ἐνήδομαι. Ἀρέσκει μοι τοίνυν, ἀρέσκει μοι τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου πρὸς σὲ αἴρειν· τὴν ἐπίκλισιν τῆς διανοίας μου ἐπὶ σὲ ἐπιτείνειν, τὴν διάθεσιν τῆς ψυχῆς μου κατὰ σὲ μορφοποιεῖν. Ἡδύ μοι τὸ περὶ σοῦ λαλεῖν, περὶ σοῦ ἀκούειν, περὶ σοῦ γράφειν, περὶ σοῦ διαλογίζεσθαι, περὶ τῆς ἐν σοὶ μακαριότητός τε καὶ δόξης ὁσημέραι ἀναγινώσκειν, καὶ τὰ ἀναγνωσθέντα ἐπαναπεμπάζεσθαι, ὡς ἂν οὕτω δυνηθείην, ἀπὸ τῶν τοῦδε τοῦ ἐπικήρου τε καὶ οἰχησομένου βίου φλογμῶν καὶ ἱδρώτων, ἐπὶ τὴν ἐκ τῆς γλυκερᾶς σου αὔρας ζείδωρον ἀνάψυξιν μεταστῆναι· μεταστὰς δὲ, τὴν ἀπειρηκείαν μου καὶ ἀπαυδήσασαν κεφαλὴν, κἂν ἐπὶ σμικρὸν ἐν κόλποις τοῖς σοῖς ἀνακλῖναι, κοιμηθησόμενος καὶ ὑπνώσων.

Τούτου δὴ χάριν τοὺς τῶν Ἱερῶν Γραφῶν τερπνοὺς λειμῶνας εἰσέρχομαι, καὶ τὰς χλοαζούσας τῶν ἐν αὐταῖς διδαγμάτων ἀποδρέπομαι πόας, ἀναλεγόμενός τε αὐτὰς ἐσθίω, καὶ συνεχὲς ἀναμηρυκῶμαι τῇ διανοίᾳ ἐπαναπολῶν· συλλεγείσας δὲ τέως ἐν βάθει μνήμης ἐναποτίθεμαι, ἵν᾽ οὕτω τῆς σῆς γλυκύτητος ἀπογευόμενος, τῶν τοῦ τῇδε βίου πικροτήτων ἧττον ἔχοιμι ἐπαισθάνεσθαι.

῏Ω αὕτη Ζωὴ τρισευδαίμων! ῏Ω Βασιλεία μακαρία τῷ ὄντι, ἀμοιροῦσα θανάτου, μὴ προεκδεχομένη πέρας! ἀφ᾽ ἧς αἱ διαδοχαὶ ἄπεισιν αἱ καιρῶν τε καὶ χρόνων· ὅπου ἄνευ νυκτὸς ἡ ἡμέρα, ἄληκτος οὖσα, ὥρας οὐκ οἶδεν· ὅπου ὁ στρατευόμενος ἤδη νικήσας, τοῖς τῶν ἀγγέλων ὑμνολόγοις χοροῖς κοινωνῶν, τὸ ᾆσμα τὸ ἐκ τῶν ᾀσμάτων Σιὼν ἀκαταπαύστως Θεῷ προσᾴδει, ἐν ἀμαραντίνῳ στεφάνῳ τὴν κεφαλὴν ἀνάδητος· Ὄφελον ἐμοὶ τῆς τῶν ἐξημαρτημένων συγγνώμης ἐπιδοθείσης, καὶ τοῦ σαρκίνου τοῦδε μου ἐπισάγματος αὐτίκα μοι ἀποτεθέντος, εἰς τὴν ἐν σοὶ χαρμονὴν εἰσενεχθείην, τῆς ἀληθινῆς ἐπιτευξόμενος ἀναπαύσεως, καὶ τῶν φωταυγῶν καὶ διαπρεπῶν τειχέων ἔνδον τῆς πόλεως τῆς σῆς εἰσέλθοιμι, τὸ ζωηρὸν στέφος ἐκ χειρὸς Κυρίου ἐπιδεξόμενος· ὥστε τοῖς ἐκεῖ ἁγιωτάτοις χοροῖς συνοργιάζειν· ὥστε μετὰ τῶν μακαριωτάτων ἐκείνων πνευμάτων ἐν τῇ δόξῃ τοῦ κτίστου μου παρίστασθαι· ὥστε αὐτὸ τὸ πρόσωπον τοῦ Χριστοῦ παρὸν κατοπτεύειν· ὥστε τὸ ὑπέρτατον ἐκεῖνο καὶ ἄφατον καὶ ἀπερίγραπτον φῶς ἐς ἀεὶ καθορᾶν, καὶ μηδεμίαν πτόησιν θανάτου ἐπερχομένου πτοεῖσθαι, ἀλλ᾽ ἐπὶ τῇ δωρεᾷ ἐκείνῃ τῇ αἰωνίᾳ τε καὶ ἀμεταπτώτῳ, πέρατος ἄνευ ἔχειν εὐφραίνεσθαι.

ΚΕΦ. ΚΓ.

Ὅση τις ἡ τῆς ψυχῆς εὐδαιμονία, τῆς ἐκδημούσης ἐντεῦθεν ἐν ὁσιότητι.

Εὐδαίμων ἡ ψυχὴ, ἥτις τοῦ γεηροῦ σκήνους ἀπολυθεῖσα, ἐλευθέρα ἐστὶ τοῦ σώματος! Εἰς οὐρανὸν γὰρ ἄνεισιν ἐν ἀσφαλεῖ καὶ ἀκύμονι καταστάσει, μηδὲ πολέμιον ὑποπτήσσουσα, μηδὲ θάνατον. Ἔχει καὶ γὰρ διηνεκῶς παρόντα, καὶ ἀδιαλείπτως θεᾶται τὸν ἑαυτῆς περικαλλέστατον Δεσπότην, ᾧ περ ἐδούλευσεν, ὅν τε ἠγάπησε,

καὶ πρὸς αὐτὸν τέως ἐπάνεισι φαιδρὰ καὶ περίδοξος : τὴν δὲ τηλικαύτην τῆς μακαριότητος αὐτῇ δόξαν, οὔτε τις ἡμέρα ὑπελαττῶσαι οὔτε τις ἀλάστωρ ὑφελέσθαι δυνήσεται. Ἑωράκασι δὴ τὴν τοιάνδε ψυχὴν αἱ τῆς Σιὼν θυγατέρες, καὶ μακαριωτάτην ἀνεκήρυξαν. » Βασίλισσαί τε καὶ παλλακαὶ ᾔνεσαν αὐτὴν, λέγουσαι : Τίς αὕτη » ἡ ἀναβαίνουσα ἀπὸ τῆς ἐρήμου ; ἡ ἀναβαίνουσα λελευκανθισμέ- » νη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφὸν αὐτῆς ; τίς αὕτη ἡ ἐκκύπτου- » σα ὡσεὶ ὄρθρος ; καλὴ ὡς σελήνη ; ἐκλεκτὴ ὡς ὁ ἥλιος ; Θάμβος » ὡς τεταγμένη ! Ὡς φαιδρὰ πρόεισιν ! Ὡς τρέχει, ὡσὶν ἐξεστηκόσι » τοῦ ἑαυτῆς ἀδελφιδοῦ ἐπακούουσα λέγοντος : Ἀνάστα, ἐλθὲ ἡ » πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλ- » θεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ. Τὰ ἄνθη ὤφθη ἐν τῇ » γῇ· ὁ καιρὸς τῆς τομῆς ἔφθακε· φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν » τῇ γῇ ἡμῶν· ἡ συκὴ ἐξήνεγκεν ὀλύνθους αὐτῆς· αἱ ἄμπελοι κυ- » πρίζουσιν, ἔδωκαν ὀσμήν. »

» Ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου.... » ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος· Δεῖξόν μοι » τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου, ὅτι ἡ φωνή σου » ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία· ἐλθὲ ἡ ἐκλεκτή μου, ἡ καλή μου, » ἡ περιστερά μου, ἐν ᾗ μῶμος ἐκ ἔστιν, ἡ νύμφη μου. Ἐλθὲ, καὶ θήσομαι ἐν σοὶ τὸν θρόνον μου, ὅτι ἐπεθύμησα τοῦ κάλλους σου. Ἐλθὲ ἵνα ἐνώπιόν μου εὐφραίνῃ μετὰ τῶν ἁγίων Ἀγγέλων μου, οἷς σε συνέσεσθαι ἐπηγγειλάμην· Ἐλθὲ μετὰ τοὺς πολλοὺς κινδύνους τε καὶ καμάτους, οὕσπερ ἀνέτλης. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, ἣν οὐδεὶς ἀπὸ σοῦ οὐμήποτε ἀφαιρήσεται.

ΚΕΦ. ΚΔ.

Ἱκεσία πρὸς τὲς ἁγίες, ἵνα ἐν κινδύνοις ἡμῶν ἀναςρεφομένων, ἀντιλήπτορες γένωνται.

Μακάριοι πάντες ὑμεῖς οἱ τοῦ Θεοῦ Ἅγιοι, οἱ τὸ τῆς θνητότητος τοῦτο διαπεράσαντες πέλαγος, καὶ τῷ λιμένι ἐγκαθορμισθῆναι καταξιωθέντες, τῷ τῆς ἀϊδίου ἀναπαύσεώς τε καὶ ἀσφαλείας καὶ εἰρήνης, ἔνθα βεβαίως τε καὶ ἀκλινῶς καταστηριχθέντες, ἐν ἑορτῇ, μηδὲν πέρας ἐχούσῃ, διάγετε εὐφραινόμενοι. Δέομαι δή, ἐν ἀσφαλεῖ ὑμᾶς καθ' ἑαυτοὺς ἤδη ὄντας, κατά γε τὴν ὑμῖν ἐμπεριοῦσαν ἀγάπησιν, καὶ τῆς ἡμῶν ἔτι ἀθλιότητος λόγον ποιήσασθαι. Πρὸς αὐτοῦ δέομαι τοῦ ὑμᾶς ἐκλεξαμένου, καὶ τοιούτους ἀναδείξαντος, οὗ τῆς καλλονῆς νῦν κορέννυσθε, οὗ τῆς ἀθανασίας ἐν κοινωνίᾳ γεγόνατε, οὗ τῆς μακαριωτάτης Θέας ἐς ἀεὶ ἀπολαύετε, μνήσθητε δὴ ἐνδελεχῶς καὶ ἡμῶν· συνάρασθε ἡμῖν τοῖς ἀθλίοις, τοῖς ἔτι ἐν τῷ περιϊσταμένῳ τοῦδε τοῦ βίου κυμαινομένοις σάλῳ καὶ κλύδωνι.

Καὶ αὐταὶ δὲ αἱ εἰς ὕψος μέγα ἐπαιρόμεναι περικαλλέσταται οὐράνιοι πύλαι, συνεπαρήξατε ἡμῖν, τοῖς ἐπὶ τοῦ ἐσχάτου τούτου ἐδάφους μακρὰν ὑμῶν κατωτέρω κατακειμένοις. Δότε δὴ χεῖρα βοηθείας, καὶ προσουδισθέντας ἐπὶ ποσὶν ἡμᾶς ἀναστήσατε, ὡς ἂν ἐπιῤῥωσθέντες, ἰσχυροὶ ἐν τῷ πολέμῳ γενώμεθα. Πρεσβεύσατε καὶ εὔξασθε ἐπιμόνως τε καὶ ἀδιαλείπτως ὑπὲρ τῶν ταλαιπώρων ἡμῶν, τῶν καὶ ἐν μέσοις τοῖς ἀνομήμασι καταρραστωνευομένων, ἵνα ταῖς ὑμῶν δεήσεσι καὶ ἱκεσίαις καὶ αὐτοὶ ἄξιοι τῆς σὺν ὑμῖν ἀναστροφῆς τε καὶ κοινωνίας ὀφθῶμεν, ὡς οὐδαμῶς ἄλλως σωτηρίας τυχεῖν δυνάμενοι. Λίαν γὰρ ἐσμὲν ἀσθενεῖς ἡμεῖς, καὶ ἀρετῆς οἱασοῦν ἄμοιροι ἀνθρωπίσκοι, αὐτοῖς παραπλήσιοι τοῖς γαστρί τε

καὶ σαρκὶ δουλεύουσι κτήνεσι, μηδέν τι ὅλως, μηδὲ βραχὺ γοῦν ἀρετῆς ἴχνος ἐνδείξασθαι ἔχοντες. Καί τοι γε ἐπὶ τῆς Χριστοῦ τεταγμένοι ὁμολογίας τῷ τοῦ Σταυροῦ ξύλῳ φερόμεθα, τὴν μεγάλην τήν δε καὶ εὐρύχωρον διαπλέοντες θάλασσαν, ἐν ᾗ ἑρπετὰ ἐπιπολάζει, ὧν οὐκ ἔστιν ἀριθμός· ἐν ᾗ ζῶα μικρὰ μετὰ μεγάλων· ἐν ᾗ ὁ δράκων ὁ ἀγριώτατος, ὁ ἡμᾶς βορὰν ἑαυτοῦ ἑτοίμως ἔχων ἀεὶ ποιήσασθαι. Ἔνθα τόποι κινδύνων πλήρεις, Σκύλαι τε καὶ Χαρύβδεις, καὶ ὑπὲρ ἀριθμὸν ἄλλοι, ἐν οἷς ναυαγοῦσιν οἱ μὴ προσέχοντες, καὶ οἱ περὶ τὴν πίστιν ὑπενδοιάζοντες.

Δεήθητε ὑπὲρ ἡμῶν πρὸς Κύριον, δεήθητε ἡμᾶς κατοικτείροντες· δεήθητε τὰ τῶν ἁγίων σύμπαντα στίφη, καὶ πάντες οἱ ἐν τῇ μακαριότητι ὅμιλοι, ἵνα ταῖς ὑμῶν δεήσεσί τε, καὶ ταῖς ὑμετέραις δι᾽ ἀρετὴν ἀξιομίσθοις ἐντεύξεσιν ἐπιβοηθούμενοι, καὶ τῆς νεὼς ἡμῖν καὶ τοῦ φόρτου διασωθέντων, ἐντὸς τοῦ λιμένος τῆς σωτηρίας ἐφικέσθαι ἀξιωθῶμεν, καὶ ἀναπαύσεως αἰωνίου, καὶ εἰρήνης ἀνεκλείπτου τυχεῖν, καὶ ἀσφαλείας τῆς μηδὲν πέρας μηδέποτε ἐκδεχομένης.

ΚΕΦ. ΚΕ.

Ψυχῆς πόθος πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνατεινομένης.

Ὦ Μῆτερ Ἱερουσαλὴμ, ἡ πόλις τοῦ Θεοῦ ἡ ἁγία, ἡ τοῦ Χριστοῦ παναμώμητος Νύμφη, ὡς ἐρᾷ σου ἡ καρδία μου, ὡς λίαν τοῦ σοῦ κάλλους ἐπιποθοῦσα ἐπιθυμεῖ ἡ ψυχή μου, ὡς περίδοξος, ὡς διαπρεπὴς εἶ! Ὅλη καλὴ, ὅλη ὡραία, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. Χαῖρε καὶ ἀγάλλου ἡ περικαλλὴς τοῦ παμβασιλέως Θυγάτηρ, ὅτι ἐπεθύμησεν ὁ Βασιλεὺς τοῦ κάλλους σου· ὅτι ἠγάπησε τὴν εὐπρέ-

πειάν σου ὡραῖος κάλλει παρὰ τοὺς Υἱοὺς τῶν ἀνθρώπων. »Ἀλλὰ » τί ὁ ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ ἡ καλὴ ἐν γυναιξί; τί ἀδελφι- » δός σου ἀπὸ ἀδελφιδοῦ; ἀδελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκ- » λελοχισμένος ἀπὸ μυριάδων. Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, » οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν· ἐν τῇ σκιᾷ αὐτοῦ ἐπε- » θύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου. »Ἀδελφιδός μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς, καὶ ἡ κοιλία » μου ἐθροήθη ἐπ᾽ αὐτόν. »

»Ἐπὶ κοίτης μου ἐν νυξὶν ἐζήτησα, ὃν ἠγάπησεν ἡ ψυχή μου... » ἐζήτησα, ἕως οὗ εὗρον· κρατῶ αὐτὸν καὶ οὐκ ἀφήσω, ἕως οὗ » με εἰσαγάγῃ εἰς τὸν οἶκον αὐτοῦ, καὶ εἰς τὸ ταμεῖον αὐτοῦ, ὦ » γεννήτρειά μου Ἱερουσαλὴμ ὑπερένδοξε.» Ἐκεῖ γάρ μοι τὰς σὰς θηλὰς ἐπορέξεις δαψιλέστερόν τε καὶ ἐντελέστερον, καὶ κόρῳ θαυμασίῳ ἐπικορέσεις με, ὥστε μηδόλως με πεινάσειν, μηδὲ διψήσειν εἰς τὸν αἰῶνα. Ὡς εὐδαίμων, ὡς λίαν εὐδαίμων ἔσται ἡ ψυχή μου, ἐὰν ἀξιωθῶ τὴν σὴν ἐποπτεῦσαι δόξαν καὶ καλλονὴν καὶ μακαριότητα! Καὶ τείχη δὲ, καὶ πύλας καὶ πλατείας τὰς σὰς, καὶ τὰς πολλάς σου μονὰς, καὶ τοὺς σοὺς περιδόξους πολίτας, καὶ τὴν τοῦ παγκρατῶς ἐν σοὶ βασιλεύοντος μεγαλοπρέπειαν! Τὰ μὲν γὰρ τείχη τὰ σὰ ἐκ λίθων ἐστὶ πολυτίμων, οἱ δὲ πυλῶνες ἐκ μαργαριτῶν τῶν ἀρίστων, αἱ δὲ πλατεῖαι ἐκ χρυσοῦ τοῦ δοκιμωτάτου, ἐν αἷς τὸ χαρμόσυνον ἀλληλούϊα ἐξᾴδεται ἀσιγήτως. Αἱ δὲ δὴ πολλαί σου μοναὶ λίθοις εἰσὶ τετραγώνοις ἐφιδρυμέναι, σαπφείροις δὲ συνῳκοδομημέναι, πλινθίσι δὲ χρυσείαις ἐπεστρωμέναι, ἃς οὐδεὶς εἰσέρχεται ἀκάθαρτος ὢν, οὐδεὶς οἰκεῖ μὴ καθηγνισμένος.

Καλὴ σὺ καὶ ἡδίστη ἐπὶ τοῖς ἐντρυφήμασί σου, ὦ Μῆτερ Ἱερουσαλήμ. Οὐδὲν ἐν σοὶ τοιοῦτον οἷα ἐνταῦθα ἐπιπαθαινόμεθα, οἷα ἐν τῇ ταλαιπώρῳ ταύτῃ βιότητι ὁρῶμεν. Οὐκ ἔστιν ἐν σοὶ σκοτία, οὔτε νὺξ, οὔτε τροπή τις ὅλως καιρῶν τε καὶ χρόνων, οὐ φῶς ἐν σοὶ φαίνει λυχνίας, οὐδὲ σελήνης ἀπαύγασμα, οὐδὲ σέλας ἀστρῶν. Ἀλλ᾽ ὁ ἐκ Θεοῦ Θεὸς, τὸ ἐκ τοῦ φωτὸς φῶς, ὁ ἥλιος ὁ τῆς δικαιο-

σύνης, αὐτός ἐστιν ὁ ἀεί σε καταφωτίζων· ὁ ἀμνὸς ὁ πάλλευκος καὶ ὑπεράσπιλος, τὸ φῶς ἐστὶ τὸ σὸν τὸ παμφαέστατον καὶ ὑπερκαλλέστατον. Ὁ δὲ σὸς ἥλιος, καὶ ἡ ἐξ αὐτοῦ μαρμαίρουσα ἀγλαΐα, καὶ σύμπαν τὸ ἐν σοὶ ἀγαθὸν, ἡ τοῦ πανυπερκαλλοῦς τούτου Βασιλέως ἀδιάλειπτος ἐστὶ θέα. Αὐτὸς γὰρ ὁ τῶν βασιλέων Βασιλεὺς ἐν μέσῳ σου ἐστὶ, καὶ οἱ παῖδες αὐτοῦ κύκλῳ αὐτοῦ.

Ἐκεῖ ἐν σοὶ αἱ ὑμνολόγοι τῶν Ἀγγέλων χοροστασίαι· ἐκεῖ ἡ τοῦ ὑπερκοσμίου πολιτεύματος συνδιαίτησις· ἐκεῖ ἡ πάντερπνος ἑορτὴ καὶ πανήγυρις ἁπάντων τῶν, ἀπὸ τῆς πολυοδύνου ταύτης παρεπιδημίας, ἐπὶ τὰς ἐν σοὶ τέρψεις τε καὶ εὐφροσύνας μεθισταμένων. Ἐκεῖ ὁ τῶν Προφητῶν προορατικὸς ὅμιλος· ἐκεῖ ὁ τῶν Ἀποστόλων δωδεκάριθμος σύλλογος· ἐκεῖ τῶν ἀναριθμήτων Μαρτύρων ὁ τροπαιοῦχος στρατὸς· ἐκεῖ τῶν ἁγίων Ὁμολογητῶν ὁ ἱερὸς θίασος· ἐκεῖ οἱ Μονασταὶ οἱ ἀληθεῖς τε καὶ τέλειοι. Ἐκεῖ αἱ γυναῖκες αἱ ἅγιαι, αἱ τὰς κοσμικὰς ἐπιθυμίας, καὶ τὸ ἀσθενὲς τοῦ θήλεος ἐκνικήσασαι. Ἐκεῖ παιδία καὶ κόρια, τὰ ἐν ἁγιότητι τρόπων καθυπερβάντα τὸ βραχυτελὲς τῆς ἡλικιώσεως. Ἐκεῖ καὶ πρόβατα καὶ ἀρνία, ἃ τὰς παγίδας διεξέφυγε τῶν ὀρέξεων· Σύμπαντες ἅμα ἐν μοναῖς ταῖς σφίσι προσηκούσαις χαίρουσιν ἐναγαλλιώμενοι. Ἡ μὲν δόξα ἡ ἐν ἑκάστοις ἄνισος, ἡ δὲ τέρψις καὶ εὐφροσύνη τοῖς πᾶσι κοινή.

Πλήρης τε καὶ τελεία ἡ ἀγάπη ἡ ἐκεῖ βασιλεύουσα, ὅτι πάντα ἐκεῖ ἐν πᾶσιν ἐστὶν ὁ Θεὸς, ὃν ἀδιαλείπτως οἱ πάντες ὁρῶσιν, ὁρῶντες δὲ τῷ αὐτοῦ πόθῳ διαπυρσεύονται, ἀγαπῶσι τε καὶ αἰνοῦσιν αἰνοῦσι τε καὶ ἀγαπῶσιν. Ἅπαν αὐτοῖς τὸ ἔργον ἐστὶ τὸν Θεὸν αἰνεῖν ἄνευ ἐλλείψεως, ἄνευ λήξεως, ἄνευ καμάτου. Ὄλβιος ἐγὼ, τῷ ὄντι ἐς ἀεὶ ὄλβιος, εἰ μετὰ τὴν τοῦ σαρκίου τούτου ἀνάλυσιν, ἀξιωθείην καὶ αὐτὸς ἀκοῦσαι τῆς οὐρανίου μελῳδίας τῶν ἀσμάτων, ὧν εἰς αἶνον τοῦ αἰωνίου παμβασιλέως οἱ ὑπερκόσμιοι ἐκεῖνοι πολῖται, καὶ αἱ τῶν μακαρίων Πνευμάτων χοροστασίαι προσᾴδουσιν. Εὐδαίμων τε καὶ τρισευδαίμων, εἰ καὶ αὐτὸς ἄξιος γένωμαι τὰ αὐτὰ μελῳδῆσαι, καὶ αὐτοῦ ἐνώπιον παραστῆναι τοῦ Θεοῦ μου

καὶ βασιλέως καὶ ῥύστου, καὶ αὐτὸν ἐν τῇ αὐτοῦ δόξῃ θεάσασθαι, καθάπερ αὐτὸς ἠξίωσεν ἐπαγγείλασθαι, λέγων· » Πάτερ, οὓς » δέδωκάς μοι, θέλω, ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, » ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι· ἣν εἶχον πρὸ » τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· (Καὶ ἀλλαχοῦ·) Ὁ ἐμοὶ δια- » κονῶν ἀκολουθείτω μοι· καὶ, ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος » ὁ ἐμὸς ἔσται. (Καὶ πάλιν·) ὁ ἐμὲ ἀγαπῶν, ἀγαπηθήσεται » παρὰ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω » αὐτῷ ἐμαυτόν. »

ΚΕΦ. Κϛ'.

Αἶνος διηνεκὴς, ὃν ἡ ψυχὴ ἀναπέμπει, εἰς θεωρίαν ἀνατεινομένη τῆς ὑπεραρχίου θεότητος.

» Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ » ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ » ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ἐν παντὶ τόπῳ » τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. » Αἰνέσωμεν τὸν Θεὸν, ὃν αἰνοῦσιν οἱ Ἄγγελοι, προσκυνοῦσιν αἱ Κυριότητες, τρέμουσιν αἱ Δυνάμεις· ᾧ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ βοᾷ ἀπαύστως· ἅγιος ἅγιος ἅγιος· συνάψωμεν τὰς ἑαυτῶν φωνὰς ταῖς τῶν ἁγίων Ἀγγέλων, καὶ τὸν κοινὸν ἡμῶν Δεσπότην ὑμνήσωμεν, κατὰ τὸ μέτρον τῆς ἐν ἡμῖν δυνάμεως.

Ὑμνοῦσι γὰρ τὸν Κύριον ἐκεῖνοι ἐν πάσῃ καθαρότητι, καὶ ἄνευ διαλειμμάτων, ἐς ἀεὶ τῇ θεαρχικῇ θεωρίᾳ τὸν νοῦν προσέχοντες, ὡς οὐκ ἐν ἐσόπτρῳ, οὐδ' ἐν αἰνίγματι, ἀλλ' ἐν προσώπῳ πρὸς πρόσωπον ἐποπτεύοντες. Ἀλλὰ τίς ποτε ἱκανὸς εἰπεῖν ἔσται,

ὁποία τις ἐστὶν ἡ τῶν ἐν οὐρανοῖς μακαρίων ἐκείνων Πνευμάτων, καὶ ἀναριθμήτων Δυνάμεων ἐποπτεία τοῦ Κυρίου καὶ παντοκράτορος; Ὅση τις ἐν αὐτοῖς ἡ ἐκ τῆς Θεοπτείας ἄληκτος ἑορτή τε καὶ τέρψις, καὶ ἀδιάλειπτος εὐφροσύνη; Τίς ἡ διακαῶς ἀναπυρσευομένη τοῦ ἔρωτος ζέσις, ἡ μηδαμῶς ὀδυνῶσα, πληρέστατα δὲ καθηδύνουσα; Τίς ὁ τῆς τοῦ Θεοῦ ὁράσεως διακαὴς πόθος μετὰ τοῦ χορτασμοῦ, καὶ ὁ χορτασμὸς ὁ μετὰ τοῦ πόθου, οἷς οὐδ' ὁ πόθος ἀδημονίαν προσεμποιεῖ, οὐδ' ὁ κόρος ἀηδίαν; Πῶς τῇ ἀκροτάτῃ μακαριότητι προσκεκολλημένοι εἰσὶν οἱ μακάριοι; πῶς συνημμένοι τῷ φωτὶ, ἐγένοντο φῶς; πῶς ἀεὶ καθορῶντες τὴν ἀτρέπτως ἔχουσαν Τριάδα, εἰς ἀτρεψίαν καὶ αὐτοὶ μετετράπησαν;

Ἀλλὰ γὰρ πῶς; ὁπότε οὐδὲ τὸ τῆς ἀξίας τῆς ἀγγελικῆς ὕψος δυνάμεθα περινοῆσαι, ὁπότε δὴ οὐδ' αὐτῆς τῆς ἡμετέρας ψυχῆς τὴν φύσιν ἐξακριβῶσαι ἰσχύομεν; Ὁποία τίς ἄρα αὕτη, ἡ τὴν μὲν σάρκα ζωοποιεῖν δυναμένη, ἑαυτὴν δὲ ἐν ἁγναῖς ἐννοίαις περιστέλλειν, ὡς ἂν ἐθέλοι, μὴ ἐξισχύουσα; Τίς αὕτη, ἡ οὕτω σθένουσα, καὶ οὕτως ἀσθενοῦσα; ἡ οὕτω σμικρὰ, καὶ οὕτω μεγάλη; ἡ διερευνῶσα Θεοῦ τὰ βάθη, καὶ τὰ ἐν οὐρανοῖς ἐξιχνεύουσα, καὶ τὴν ἐπὶ χρείαις ἀνθρωπίναις συμβαλλομένην ἐμπειρίαν, καὶ τέχνας δὲ παντοίας εὐφυῶς καὶ εὐστόχως ἐξευρηκέναι ἐνδεικνυμένη; Τίς ἄρα αὕτη ἡ τὰ τοσαῦτα καὶ τηλικαῦτα περὶ τῶν λοιπῶν εἰδυῖα, (ἢ εἰδέναι ἐπαγγελομένη, ἢ μαθεῖν διαπειρωμένη·) ἑαυτὴν δ' ὅπως καὶ γένοιτο, τὸ παράπαν ἀγνοοῦσα; Καίτοι γὰρ ἀμφισβητήσιμ' ἄττα τινὰ ὑπ' ἐνίων, περὶ τῆς κατ' αὐτὴν ἀρχῆς τε καὶ οὐσιώσεως φέρεται προβαλλόμενα, ἀλλὰ τοσοῦτον ἔμπης ἴσμεν, νοερόν τι πνεῦμα ταύτην πεφυκέναι, τῇ δὲ τοῦ κτίσαντος δυνάμει παραχθῆναι, ζῶσαν μὲν ἀτελευτήτως τρόπῳ ἰδίῳ, σῶμα δέ τι θνητὸν, ὅπερ εἰδοποιεῖν ἐτάχθη, ζωοποιοῦσα, τροπῇ αὐτὸ ὑποκείμενον καὶ φθορᾷ, λήθῃ δ' ἔκδοτον· πτοήσει μὲν τάγε πλεῖστα διατιθεμένην, χάρματι δ' ἐπαιρομένην. Ὢ τοῦ παραδόξου, καὶ μεγάλην ἀξίου κινεῖν τὴν ἔκπληξιν! Περὶ μὲν Θεοῦ τοῦ τὰ πάντα δημιουρ-

γήσαντος, τοῦ ἀκαταλήπτου ὄντος καὶ ἀνερμηνεύτου, ὑψηλά τινα καὶ θαυμαστὰ λίαν, ἀνενδοιάστως καὶ ἀναγινώσκομεν, καὶ λαλοῦμεν, καὶ γράφομεν· περὶ δὲ Ἀγγέλων, καὶ περὶ ζώων, πᾶν ὅ,τι φαμὲν οὐχ οὕτω σαφῶς προσεμπεδῶσαι δυνάμεθα! ἀλλ᾽ ὁ νοῦς ὑπερερχέσθω τάγε τοιαῦτα, καὶ ὑπερεπαναβήτω ὑπὲρ πᾶν ὅ,τι κτισθὲν ὑφέστηκε· τρεχέτω, ἀνίτω, ἱπτάσθω, χωρείτω ἐπέκεινα· ἐπὶ δὲ τὸν ἅπαντα δεδημιουργηκότα, ὡς οἷός τε ἐστὶ τοὺς ὀφθαλμοὺς τοὺς τῆς πίστεως διευθυνέτω. Τοιγαροῦν ἐγὼ βαθμίδας ἀναβάσεως διαθήσομαι ἐν καρδίᾳ μου, καὶ δι᾽ αὐτῶν μὲν ἐπὶ τὴν ἐν ἐμοὶ ψυχὴν διαβήσομαι· διὰ δὲ ταύτης καὶ τῆς κατ᾽ αὐτὴν διανοίας, ἀναχθήσομαι ἐπὶ τὸν Θεόν μου, τὸν ὑπὲρ τῆς κεφαλῆς μου ὑπεριστάμενον.

Εἴ τι σωματικοῖς ὀφθαλμοῖς καθορᾶται, εἴ τι πνευματικώτερον ἔτι ἐν ἀϋλωτέραις ἀνατυπώσεσιν εἰδωλοποιεῖται, ἀπὸ ἐπιβολῆς καρδίας τε καὶ διανοίας ὡς πορρωτάτω ἀποσεσοβήσθω. Μόνος περ Νοῦς ὁ ἀκραιφνὴς καὶ ἁπλοῦς, ἐν πτερώματι προϊὼν ὀξυτάτῳ ἐπ᾽ αὐτὸν ἐπειγέσθω τὸν Δημιουργὸν Ἀγγέλων τε καὶ ψυχῶν, καὶ τῶν ὑφεστώτων ἁπάντων. Μακαρία ἡ ψυχὴ ἡ τὰ μὲν κάτω παρατρέχουσα, τὰ δ᾽ ἄνω διώκουσα· ἡ ἐπὶ τῶν ὑψηλῶν τὴν ἕδραν τῆς ἰδίας οἰκήσεως ἀνατιθεμένη, καὶ ἀπὸ πετρῶν ἀκροτόμων τὸν τῆς δικαιοσύνης ἥλιον ἐν Ἀετίοις ὄμμασιν ἐποπτεύουσα. Οὐδὲν γὰρ οὕτω καλὸν καὶ τερπνὸν, ὡς τὸ ἐπὶ τὸν Ἰησοῦν νοεραῖς ἐποπτείαις ἐνατενίζειν, καὶ πόθῳ ἀκορέστῳ καρδίας ἐπιδέρκειν ἀοράτως, καὶ βλέμμασιν ὑπερφυέσι Θεὸν θεᾶσθαι τὸν ἀθέατον· καὶ οὕτως οὐκ ἄλλης, ἢ ἐκείνης τῆς γλυκύτητος ἀπογεύεσθαι, οὐδ᾽ εἰς ἕτερον, ἀλλ᾽ εἰς ἐκεῖνα καὶ μόνον τὸ φῶς ἐπιστρέφειν· τὸ γὰρ δὴ φῶς τὸ παρ᾽ ἡμῖν τοῦτο, οἷα δὴ τόπῳ περικλειόμενον, καὶ χρόνῳ ὁρίζεται, καὶ ταῖς νυκτεριναῖς διαδοχαῖς διακόπτεται καὶ διαποικίλλεται· ἔστι δὲ, κοινὸν ἡμῖν τῇ χρήσει ὂν, καὶ σκώληξι, καὶ βοσκήμασιν, ὡς ἐν παραθέσει τῇ πρὸς τὸ φῶς ἐκεῖνο τὸ πανυπέρτατον, οὐδὲ φῶς, ἀλλὰ νὺξ μᾶλλον καὶ σκότος ὀνομάζεσθαι ἄξιον.

ΚΕΦ. ΚΖ.

Τί τὸ ὁπωσοῦν τὸν Θεὸν ὁρᾷν, καὶ ἔχειν, καὶ ὅπως ἡμῖν περὶ τοῦ Θεοῦ δοξαστέον.

Καί τοι δὲ ἡ ὑπερτάτη, καὶ τροπῆς ἁπάσης ὑπεριδρυμένη φύσις ἐκείνη, τὸ φῶς τὸ ἀληθινὸν, τὸ φῶς τὸ ἀνέκλειπτον, τὸ φῶς τῶν Ἀγγέλων, ὑπὸ μηδενὸς ὁρᾶσθαι δύναται κατὰ τόνδε τὸν βίον, (τουτὶ γὰρ μόνοις τοῖς ἐν τῇ ἐπουρανίῳ λήξει ἀπόκειται γέρας) ἀλλὰ τὸ εἰς αὐτὸ γοῦν πιστεύειν, καὶ περὶ αὐτοῦ νοεῖν καὶ φρονεῖν, καὶ θερμῶς αὐτοῦ κατεφίεσθαι, οἱονεί πως ὁρᾷν ἐστὶν αὐτὸ καὶ κατέχειν. Ἐξηχείτω τοίνυν καὶ ἡμῶν ἡ φωνὴ ὑπὲρ τοὺς Ἀγγέλους, καὶ τὸν Θεὸν ἀναθεωρείτω καὶ ὁ ἐπὶ γῆς ἄνθρωπος, αἴνεσιν αὐτῷ, οἷς περ ἔχει ῥήμασιν, ἀναπέμπων. Δικαιότατον γάρ ἐστὶν ἵνα τὸ κτίσμα ὑμνῇ τὸν κτίσαντα. Αὐτὸς γὰρ ἐπὶ τῷ ὑμνεῖν αὐτὸν ἐποίησεν ἡμᾶς, καί τοι τῶν παρ᾽ ἡμῶν ὕμνων μηδόλως δεόμενος.

Δύναμις γὰρ αὐτὸς ἐστὶν ἀπερινόητος, πάντῃ ἀνενδεὴς, αὐτὴ ἑαυτῇ ἀποχρῶσα. » Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς » αὐτοῦ, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. » Μέγας ὁ Κύριος ἡμῶν, καὶ αἰνετὸς σφόδρα. Αὐτὸν ἄρα ἡ ψυχὴ ἀγαπάτω, ἡ γλῶσσα αἰνείτω, ἡ χεὶρ περὶ αὐτοῦ γραφέτω, κᾂν μελέταις θειοτέραις ἡ τοῦ πιστοῦ διάνοια ὅλη ὅλως ἐναδολεσχείτω· τῆς τοιᾶσδε δηλονότι οὐρανίου ἀδολεσχίας τοῖς ὑπερηδίστοις ἐδέσμασιν ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, καὶ τῶν ὑπερκοσμίων θεάμων ἐνδελεχῶς ἐπισιτιζέσθω, ὅπως ἂν τῆς τροφῆς ταύτης ἐμφορούμενος οὐρανόθεν, κράζῃ φωνῇ μεγάλῃ, κράζῃ ἐκ μυελῶν καρδίας, κράζῃ ἐν ἀγαλλιάσει, καὶ ἐν πυριφλεγεῖ ψυχῆς πόθῳ ἀναβοῶσα λέγῃ.

ΚΕΦ. ΚΗ.

Εὐχὴ πλεῖστα τῶν προσόντων Θεῷ καταλέγουσα.

Θεὲ, ὕψιστε, πανάριστε, παντοδύναμε, πανοικτίρμον, δικαιότατε· ὁ ἀπόῤῥητος καὶ κρυφαιότατος, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ κάλλει τε καὶ σθένει ἐξαίσιος, ὁ διαμένων τε καὶ ἀλήπτως ἔχων, ὁ ἀόρατος καὶ πάντα καθορῶν, ὁ ἄτρεπτος καὶ ἅπαντα τρέπων· ἀθάνατε, ἀχώρητε, ἀπεριόριστε, ἀπερίγραπτε, ἀτερμάτιστε, ὑπερατίμητε, ἄφραστε, ἀνεξιχνίαστε· ὁ ἀκίνητος καὶ τὰ πάντα κινῶν· ὁ ἀνεξερεύνητος καὶ ἀνερμήνευτος· ὁ φοβερὸς καὶ φρικώδης· ὁ δοξαστέος καὶ φοβητέος, ὑπερσεβαστέος τε καὶ λατρευτέος· ὁ οὐδέποτε μὲν καινὸς, οὐδέποτε δὲ παλαιός· ὁ πάντα ἀνακαινίζων, καὶ εἰς παλαίωσιν τοὺς ὑπερηφάνους ἐξάγων, καὶ οὐκ ἴσασιν.

Ὁ ἀεὶ ἐνεργῶν, καὶ ἀεὶ ἠρεμῶν· ὁ συλλέγων, καὶ μηδενὸς χρήζων· ὁ πάντα φέρων ἀφόρτως, ὁ πάντα πληρῶν ἀπερισχέτως· ὁ πάντα παράγων, πάντα ἐπισκέπων, καὶ διατρέφων, καὶ καταρτίζων· ὁ ζητῶν ἀνενδεῶς, ὁ φιλῶν ἀσαλεύτως, ὁ ζηλῶν ἀτρεκῶς τε καὶ ἀνυπόπτως. Μεταμέλει σοι, καὶ οὐκ ἀνιᾶσαι· ὀργίζῃ, καὶ γαληνιᾷς· μεταμείβεις τὸ ἔργον, ἥκιστα δὲ τὸ βούλημα. Προσεκδέχῃ ὅπερ οὐχ εὑρίσκεις, καὶ ὃ οὐκ ἀπώλεσας· οὐδέποτ' ἐν χήτει ὢν, κέρδεσιν ἐπιχαίρεις· οὐδέποτε πλεονεκτεῖς, καὶ ἀπαιτεῖς τόκους· ὅ,τι ἂν σοι προσεπιδιδῷ τις, ἀποδέχῃ ἵν' ἐποφείλῃς.

Καὶ τί γὰρ ἔχων κέκτηταί τις ποτὲ, ὅπερ οὐκ ἔστι σόν; Ὀφειλὰς ἀποδίδως, μηδενὶ ὀφείλων· ὀφειλήματα ἀφεὶς, μηδὲν ἀπολλύς· Ὁ μόνος ἅπαντα ζωογονῶν, ὁ πάντα κτίζων, ὁ πανταχοῦ παρὼν,

καὶ πανταχοῦ ὅλος· ὁ συνορᾶσθαι μὲν ὁπωσοῦν, ὁρᾶσθαι δ᾽ οὐκ ἔχων· ὁ οὐδαμόθεν ἀφεστηκὼς, ἀπὸ δὲ τῶν διαβουλίων τῶν παρανόμων μακρὰν ἀπέχων. Ὁ μηδ᾽ ἐκεῖθεν ἀπὼν, ὅθεν πόῤῥω ἀφέστηκας. Ἔνθα γὰρ οὐχ ὑπάρχεις τῇ χάριτι, πάρει τῇ ἐκδικήσει· ὁ πάντων ἀντιλαμβανόμενος, οὐ πάντων δ᾽ ἐπίσης. Ἔστι γὰρ ὧν ἀντιλαμβάνῃ, ὥστε αὐτὰ εἶναι, οὐχ ὥστε δὲ καὶ ζῆν, καὶ αἰσθάνεσθαι, καὶ διανοεῖσθαι. Ἔστι δ᾽ ὧν, ὥστε καὶ εἶναί τε καὶ ζῆν, οὐχ ὥστε δὲ καὶ αἰσθάνεσθαι. Ἔστι δ᾽ ὧν, ὡς εἶναι, καὶ ζῆν, καὶ αἰσθάνεσθαι, οὐκέτι δὲ ὡς καὶ διανοεῖσθαι. Ἔστι δ᾽ ὧν, ὥστε καὶ εἶναι, καὶ ζῆν, καὶ αἰσθάνεσθαι, καὶ διανοεῖσθαι. Καὶ οὐδέποτε δ᾽ αὐτὸς σαυτοῦ ἀνόμοιος πέλων, ἀνομοίως ὅμως ἐφάπτῃ τῶν ἀνομοίων, ὁ καὶ πανταχοῦ μὲν, καὶ πάντοτε τοῖς πᾶσι παρὼν, μόλις δέ που εὑρεθῆναι δυνάμενος.

Ὃν ἑστῶτα διώκομεν, καὶ καταλαβέσθαι ἀδυνατοῦμεν, ὁ πάντα ἐμπιπλῶν, πάντα συνέχων, πάντα περιέχων, πάντα δ᾽ ὑπερέχων, πάντα δ᾽ ὑπανέχων· οὐδὲ γὰρ ἐκ μὲν ἄλλου μέρους ὑπανέχεις, ἐξ ἄλλου δ᾽ ἀπολείπεις· οὐδ᾽ ἄλλοθεν μὲν ἐμπίπλης, ἄλλοθεν δὲ περιβάλλεις: ἀλλὰ περιβάλλων μὲν ἐμπιπλᾷς, ἐμπιπλῶν δὲ περιβάλλεις· ὑπανέχων ἐφυπερέχεις, ἐφυπερέχων δὲ καθυπανέχεις. Ὁ τὰς τῶν πιστῶν καρδίας ἐκδιδάσκων ἄτερ ψόφου φθόγγων· » Ὁ διατείνων ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ » διοικῶν τὰ πάντα χρηστῶς. Ὁ μηδ᾽ ἐν τόποις προσεκτεινόμενος, μηδ᾽ ἐν καιροῖς περιτρεπόμενος· ὁ μηδὲ προσόδους ἔχων, μηδ᾽ ἐξόδους, ἀλλὰ φῶς οἰκῶν ἀπρόσιτον, ὅπερ ἀνθρώπων οὐδεὶς ἐθεάσατο, οὐδ᾽ οὐμὴ θεάσαιτο. Κατὰ σαυτὸν δ᾽ ἀκινήτως μένων, πάντοσε περιὼν τὸ σύμπαν ὅλον, ἑκασταχῇ ὅλος ὅλως. Οὐ γὰρ ἀποτμηθῆναι, ἢ διαιρεθῆναι ἔχεις, ὅτι ἀληθῶς εἷς εἶ· οὐδ᾽ ἂν εἰς μέρη γένοιο, ὅτι ὅλος τὸ ὅλον κατέχεις, τὸ ὅλον πληροῖς, τὸ ὅλον περιαυγάζεις, τῶν ὅλων δεσπόζεις.

Ἀμέλειτοι τοῦ μυστηρίου τοῦδε τὸ ἀκαταμέτρητον βάθος οὔτις ἂν νοῦς ἀνθρώπου ἐφίκοιτο, οὐ γλῶσσα ῥητορεύουσα διεξέλθοι,

οὐδὲ διεξοδικῶν χεύματα λόγων, οὐδὲ βιβλιοθηκῶν πολύπτυχα τεύχη ἀναπτύξειεν· οὐδ᾽ ἂν ὅλον τὸν κόσμον τὰ γραφόμενα βιβλία ἐμπλήσαιεν, τὰ τῆς Θεοῦ σοφίας ἀνεκδιήγητα ἑρμηνεύσειαν. Ὅτι ἀληθῶς ἄφραστος εἶ, Κύριε, καὶ ἀπερίγραπτος ὅλως, καὶ ἀκατανόητος ὑπάρχεις ἡ πηγὴ τοῦ φωτὸς, καὶ ὁ τοῦ αἰωνίου ἀμαρύγματος ἥλιος. Καὶ γὰρ Μέγας εἶ ἄνευ ποσότητος, διὸ καὶ ἀκαταμέτρητος· ἀγαθὸς εἶ ἄνευ ποιότητος, διὸ καὶ τῷ ὄντι ὑπεράγαθος: καὶ οὐδεὶς ἀγαθὸς, εἰμὴ σὺ εἷς τε καὶ μόνος· οὗ θέλησις μὲν ἡ ἐνέργεια, τὸ δὲ θέλειν αὐτὸ ἐστὶ τὸ δύνασθαι.

Ὁ πάντα ἐκ τοῦ μηδενὸς παραγαγὼν, ὅσα ἐθελήσας ἐποίησας· ὁ πάντα τὰ παρὰ σοῦ δημιουργηθέντα ἀνενδεῶς τε ἔχων, καὶ ἀπόνως διακυβερνῶν, καὶ ἀόχλως εὐθύνων, ὡς μηδὲν εἶναι, ὅ τὴν ὑπὸ τοῦ σοῦ κράτους τεθεῖσαν τάξιν διεκταράξειεν, οὔτε ἐν τοῖς ἄνω, οὔτε ἐν τοῖς κάτω, ὅλως μηδόλως. Ὁ ἐν παντὶ τόπῳ ἄνευ τόπου οἰκῶν, καὶ πάντα περιέχων ἀπεριορίστως, καὶ πανταχοῦ παρουσιάζων ἀθέτως τε καὶ ἀμεταβάτως. Ὅς οὐ δὲ τοῦ κακοῦ τυγχάνεις παραίτιος, ὅπερ οὐδὲ ποιεῖν δύνασαι, ὁ οὐδέν τι τὸ παράπαν οὐχὶ δυνάμενος, καὶ ᾧ περ ἐπ᾽ οὐδενὸς οὐδέ ποτε τῶν ὅσα ἐποίησας, ἐπῆλθε τοῦ πεποιηκέναι μετάμελος, οὔθ᾽ ὑπὸ μηδενός σοι ποτὲ γένοιτο σάλου τε καὶ κλύδωνος ἐπιθροηθῆναι, καὶ οὐδ᾽ ἂν τῆς γῆς ὅλης οἱ κίνδυνοι σοὶ προσλυμήναιντο. Οὐδὲν γὰρ μοχθηρὸν καὶ ἀνόσιον αὐτὸς οὔτ᾽ εὐδοκεῖς, οὔτ᾽ ἐπιτάσσεις.

Ὅτι πῤῥωτάτω ἀπελήλαται ἀπὸ σοῦ τὸ ψεῦδος, ὅς ἡ ἀλήθεια αὐτὸς εἶ ἡ αἰώνιος. Ὑφ᾽ οὗ, ἀγαθοῦ μὲν ὄντος, ἡμεῖς παρήχθημεν· δικαίου δὲ, ποινὰς ἀποτίνομεν· οἰκτίρμονος δὲ, ἀποῤῥυόμεθα. Οὐδὲν οὖν οὐράνιον, οὔτ᾽ ἐμπύριον, οὔτε χθόνιον, οὐδὲν ὅλως ὅ,τι καὶ αἰσθήσει ληπτὸν, ἡμῖν ἐπισεβαστέον ἀντὶ σοῦ τοῦ ὄντος ὅ εἶ, καὶ μηδεμίαν ἐπιδεχομένου ἀλλοίωσιν. Σὺ γὰρ κυρίως τε καὶ παναληθῶς εἶ ὁ Ὢν, ὅτι ἀεὶ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

Ταῦτα δή με ἡ ἁγία μήτηρ ἐξεπαίδευσεν Ἐκκλησία, ἧς μέλος ἐγὼ τῇ σῇ χάριτι. Ὀρθῶς καὶ γὰρ ἐδιδάξατό με, ἕνα σε καὶ μόνον τὸν ἀληθινὸν ὄντα Θεὸν, σώματος ἐκτὸς, καὶ πάθους παντὸς ὑπέρτερον, μηδὲν δὲ τῶν περὶ τὴν σὴν οὐσίαν τε καὶ φύσιν βιαστὸν ὅλως εἶναι, ἢ τρεπτὸν, ἢ σύνθετον, ἢ πεποιημένον. Διὰ τοῦτο δὲ ἀναντιῤῥήτως οὐδὲ σωματικοῖς ὀφθαλμοῖς ὁρατὸς ἂν γένοιο, οὐδ᾽ ἔστιν ὃς τῶν θνητῶν κατ᾽ αὐτήν σε τὴν οὐσίαν ἑώρακε πώποτε. Ἐξ οὗ πάρεστι συνιδεῖν, ὡς αὐτόθεν καὶ ἡμεῖς, ἐπὶ τῆς μετὰ τόνδε τὸν βίον λήξεως, σὲ ἐποψόμεθα ὅθεν σε καὶ οἱ ἄγγελοι καθορῶσιν· Οὐ γὰρ οὐδ᾽ αὐτοί σε πάντως κατοπτεύειν δύνανται, οἷος περ εἶ· ἑνὶ γὰρ μηδενὶ τελευταῖον ἄλλῳ, εἰμὴ Σοὶ αὐτῇ μόνῃ, ὦ παναγία Τριὰς, γινωσκομένη, ἡ πάντα εἰδυῖα, καὶ πάντα ἰσχύουσα.

ΚΕΦ. ΚΘ.

Περὶ τῆς Τριάδος τῶν προσώπων, καὶ τȣ̃ ἑνιαίȣ ἐπὶ τῆς τȣ̃ Θεȣ̃ φύσεως.

Σὺ τοίνυν, ὦ Θεαρχικὴ μονὰς, ἡ τοῖς προσώποις πληθυνομένη, ἀριθμητῶς εἶ ἀναρίθμητος· διὰ τοῦτο δὲ καὶ μετρητῶς ἀμέτρητος, καὶ σταθμητῶς ἀστάθμητος. Οὐ γὰρ τῆς ἀκροτάτης ἀγαθότητος, ἢ σὺ αὐτὸς εἶ, τὴν φύσιν εἰδέναι κατεπαγγελλόμεθα, ἐξ ἧς τὰ πάντα, δἰ ἧς τὰ πάντα, ἐν ᾗ τὰ πάντα· ἀλλὰ κατὰ μετουσίαν αὐτῆς λέγομεν καλὰ τὰ πάντα. Ἡ γὰρ ὑπέρθεος οὐσία ἡ σὴ, ἐς ἀεί γε ἠμοίρησε καὶ ἀμοιρεῖ ὕλης, καί τοι μὴ μορφῆς ἀμοιροῦσα· μορφῆς δηλονότι ἀμόρφου· μορφῆς μορφῶν· μορφῆς πανευμορφοτάτης, ἣν ἐπειδὰν ἐνδιατυποῖς ὡσανεὶ σφραγίδα τινὰ τῶν ὄντων ἑκάστοις, ἀναυξήτως καθ᾽ ἑαυτὸν καὶ ἀπαραμειώτως, ἅτε ἀτρέπτως ἔχων, ἑτεροῖα σαυτοῦ πάντως αὐτὰ ἀποφαίνεις. Εἴ τι γὰρ ἐν τοῖς οὖσι παρῆκται, ποίημα σὸν ἐστίν.

Ὦ Τριὰς μοναδικὴ, καὶ τριαδικὴ Μονὰς, ὁ Θεός! ὁ τῇ πανσθενεῖ σου ἰσχύϊ πάντα περικρατῶν καὶ περιέπων, καὶ πάντα πληρῶν ὅσα ἐποίησας! Οὐχ οὕτω σὲ φαμὲν πληροῦν τὰ πάντα, ὡς καὶ ὑπ' αὐτῶν περιέχεσθαι, ἀλλ' ὡς αὐτὸν σὲ μᾶλλον αὐτὰ περιέχοντα· οὐ γὰρ ἐν τῷ μέρει τὰ πάντα πληροῖς· οὐδ' ἡγεῖσθαι εἰκὸς ἕκαστόν σε τῶν κτισμάτων, κατὰ μοῖραν τοῦ ἰδίου αὐτοῦ μεγέθους, ἐπιδέχεσθαι· τουτέστι τὸ μὲν μέγα ἐπὶ πλέον, τὸ δ' ἔλαττον ἐπ' ἔλαττον· ἐπεὶ μᾶλλον αὐτὸς εἶ ἐν ἅπασιν, ἤτοι αὐτὰ ἐν σοί ἐστι πάντα. Σοῦ γὰρ ἡ παγκρατορία περιείληφεν ἅπαντα, οὐδὲ τοῦ διαδρᾶναι τὸ σὸν κράτος εὑρεῖν τις πόρον δυνήσεται. Ὁ γὰρ σὲ μὴ ἔχων ἐξιλεωθέντα, οὐδὲ διαφυγεῖν ἕξει ἐποργισθέντα, »Οὔτε ἐξ » ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, (ὡς γέγραπται) οὔτε ἀπὸ ἐρήμων » ὀρέων· ὅτι ὁ Θεὸς κριτής ἐστι· καὶ (ἀλλαχοῦ) Ποῦ πορευθῶ » ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; »

Τὸ ἄμετρον τῆς σῆς μεγαλωσύνης ἡμᾶς ἐνάγει νοεῖν σε ἐντὸς ἁπάντων, ἀλλ' οὐκ ἐγκλειόμενον· ἐκτὸς ἁπάντων, ἀλλ' οὐκ ἐκκλειόμενον· καὶ διὰ τοῦτο μὲν ἐνδότερος εἶ, ὡς πάντα συνέχων· διὰ τοῦτο δὲ ἐξώτερος, ὡς διὰ τὸ ἄμετρον τοῦ σοῦ ἀπεριγράπτου μεγαλείου πάντα ἐμπερικλείων. Καὶ διότι μὲν ἔνδον εἶ, ἀναφαίνῃ δημιουργός· διότι δ' ἐκτὸς, ὁ πάντων δείκνυσαι κυβερνήτης. Καὶ ἐντὸς μὲν εἶ, τῷ πάνθ' ἅπερ ἐποίησας, σοῦ ἄνευ μὴ εἶναι· ἐκτὸς δὲ ὑπάρχεις, τῷ πάντα ὑπὸ σοῦ ἐμπερικλείεσθαι, οὐχὶ τοπικῷ μεγέθει, δυναμικῇ δὲ παρουσίᾳ τῆς ἁπανταχοῦ σῆς ὑπάρξεως, καὶ τῷ ἅπαντά σοι παρεῖναι: καί περ εἰσὶ μὲν, οἳ τάδε συνίασιν, εἰσὶ δὲ, οἳ οὐδαμῶς ἐννοοῦσιν.

Ἡ μὲν οὖν ἀχώριστος μονὰς τῆς σῆς φύσεως κεχωρισμένα οὐκ ἂν ἔχοι τὰ πρόσωπα· ὅτι ὥσπερ Τριὰς εἶ ἐν Μονάδι, καὶ Μονὰς ἐν Τριάδι, οὕτω διαχωρισμὸν ἔχειν τῶν προσώπων οὐ δύνασαι. Ὀνομάζεται γὰρ ἐνίοτε καθ' ἕκαστα ἰδίᾳ τὰ πρόσωπα, ἀλλ' οὕτως ἠβουλήθης ὁ Τριαδικὸς Θεὸς ἀδιαχώριστον σεαυτὸν τοῖς προσώποις ὄντα ἐνδείξασθαι, ὡς μηδέν σοι ὄνομα ἐφ' ἑκάστῳ τῶν προσώπων

εἶναι, τὸ μὴ πρὸς θάτερον σχετικῶς προσαναφερόμενον. Ὡς γὰρ ὁ ὁ Πατὴρ πρὸς τὸν Υἱὸν, καὶ ὁ Υἱὸς πρὸς τὸν Πατέρα, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον πρός τε τὸν Πατέρα καὶ πρὸς τὸν Υἱὸν πανα-ληθέστατα ἀναφέρεται. Τὰ δὲ δὴ ὀνόματα, ἅπερ ἤτοι οὐσίαν, ἢ φύσιν, ἢ δύναμιν τὴν ἐν σοὶ ἐκδηλοῦσιν· ἢ ὅ,τι δήποτε κυρίως λέ-γεται ὁ Θεὸς, ἅπασιν ἐπίσης τοῖς προσώποις εἰσὶ προσήκοντα· οἷον ὁ Θεὸς, ὁ Μέγας, ὁ Παντοδύναμος, ὁ Αἰώνιος, καὶ πάντα τὰ κατὰ τὴν οὐσίαν καὶ τὴν φύσιν περὶ σοῦ τοῦ Θεοῦ λεγόμενα. Οὐδὲν ἄρα τῆς Θεαρχίου φύσεως σημαντικὸν ἐστὶν ὄνομα, τὸ οὕτω σοὶ τῷ Θεῷ καὶ Πατρὶ προσῆκον, ὅ μὴ προσήκοι τὸ αὐτὸ καὶ τῷ σῷ Υἱῷ, καὶ τῷ ἁγίῳ σου Πνεύματι. Σὲ οὖν τὸν Πατέρα φύσει Θεὸν εἶναι φαμέν· ἀλλὰ καὶ ὁ Υἱὸς φύσει Θεὸς ἐστί· καὶ Θεὸς δὲ φύσει καὶ τὸ Πνεῦμα τὸ ἅγιον· οὐ μὴν Θεοὶ τρεῖς, ἀλλ' εἷς τῇ φύσει Θεὸς, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα.

Διὰ τοῦτο δὴ ἀδιαχώριστος εἶ ἁγία Τριὰς ὁ Θεὸς, ἐν προσώ-ποις τρισὶ νοουμένη, καί τοι φωνῇ κεχωρισμένα τὰ ὀνόματα φέρου-σα· ὅτι ἀριθμὸν πληθυντικὸν οὐκ ἐπιδέχῃ ἐπὶ τῶν ὀνομάτων, ἃ πρὸς τὴν φύσιν ἀνάγεται. Ἐν τούτῳ γὰρ δείκνυται μηδαμῶς ἔχειν διαχωρίζεσθαι ἀπ' ἀλλήλων τὰ πρόσωπα ἐπὶ τῆς ἁγίας Τριάδος, ἥτις Θεὸς ἀληθινὸς εἷς ἐστὶν, ὅτι ἑνὸς ἑκάστου τῶν προσώπων τοὔνομα πρὸς ἕτερον ἀεὶ πρόσωπον ἀναφέρεται. Ἐὰν εἴπω Πα-τέρα, Υἱὸν ὑπέφηνα· ἐὰν Υἱὸν ὀνομάσω, ἀνακηρύττω Πατέρα· ἐὰν Πνεῦμα ἅγιον ἀνακαλέσω, ἔσθ' οὗτινος ἐστὶ Πνεῦμα ἐξ ἀνάγ-κης ἐπεννοῶ, τοῦ Πατρὸς αὐτὸ δηλονότι καὶ τοῦ Υἱοῦ. Αὕτη ἐστὶν ἡ ἀληθινὴ πίστις, ἡ ἐκ τῆς ὑγειοῦς διδασκαλίας προήκουσα· αὕτη πάντως ἡ πίστις ἐστὶν ἡ Καθολικὴ καὶ ὀρθόδοξος, ἣν ὁ Θεὸς ἐμυήσατό με ἐν κόλποις τῆς Μητρὸς Ἐκκλησίας διὰ τῆς αὐτοῦ χάριτος.



ΚΕΦ. Δ.

Δέησις πρὸς τὴν Παναγίαν Τριάδα.

Ἐπικαλεῖται Σὲ τοίνυν, Κύριε ὁ Θεός μου, ἡ ἐν ἐμοὶ πίστις αὕτη, ἣν εἰς ἐμὴν σωτηρίαν ἐδωρήσω μοι ἕνεκεν τῆς χρηστότητός σου. Ἡ ψυχὴ γὰρ ἡ τοῦ πιστεύοντος, ἐκ μὲν πίστεως ζῇ, ἐν δ' ἐλπίδι κατέχει ὅ ἐν πράγματι ὄψεται. Ἐπικαλεῖται σὲ, ὁ Θεός μου, τὸ εἰλικρινὲς τοῦ ἐμοῦ συνειδότος, καὶ ὁ γλυκὺς ἔρως τῆς πίστεώς μου, δι' ἧς τὸν τῆς ἐν ἐμοὶ ἀγνοίας σκοτασμὸν διασκεδάσας, εἰς ἐπίγνωσιν ἀληθείας ὡδήγησάς με, καὶ τῆς πικρᾶς τοῦ αἰῶνος τούτου ὑπεξήγαγες ἀφροσύνης, καὶ τῷ ὑπὲρ μέλι καὶ κημίον ἡδυτέρῳ ἐλέει τῆς φιλανθρωπίας σου κατεγλύκανας. Ἐπιβοᾶται σε, ὦ Μακαρία Τριάς, κραυγῇ περιτράνῳ, καὶ πόθῳ ἀκραιφνεστάτῳ ἡ ἐν ἐμοὶ πίστις, ἣν ἐξ ἁπαλῶν ὀνύχων τῇ ἐλλάμψει τῆς χάριτός σου ἀεὶ διεφώτισας, καὶ διὰ τῶν διδαγμάτων τῆς Μητρὸς Ἐκκλησίας προσεπαυξήσας μοι ἐπεστήριξας. Σὲ ἐπικαλοῦμαι, ὦ Μακαρία, καὶ ὑπερευλογημένη, καὶ ὑπερύμνητε, μοναδική τε καὶ ἑνιαία Τριὰς, Πάτερ, καὶ Υἱὲ, καὶ Πνεῦμα πανάγιον, ὁ εἷς τε καὶ μόνος Θεὸς τε καὶ Κύριος· ὁ παράκλητος, ἡ ἀγάπη, ἡ χάρις, ἡ παντὸς ἀγαθοῦ χορηγία τε καὶ μετάδοσις.

Ὁ Γεννήτωρ, ὁ Γεννηθεὶς, ὁ Ἀναγεννῶν· τὸ ἀληθινὸν φῶς, τὸ ἐκ τοῦ ἀληθινοῦ φωτὸς ἀληθινὸν φῶς, ὁ ἀληθινὸς φωτισμός. Ἡ πηγὴ, ὁ φωτισμὸς, τὸ ῥεῦμα. Ἐξ ἑνὸς πάντα, δι' ἑνὸς πάντα, ἐν ἑνὶ πάντα. Ἐξ οὗ, δι' οὗ, ἐν ᾧ πάντα· Ζωὴ ζῶσα, Ζωὴ ἐκ Ζωῆς, Ζωὴ ζωοποιός. Εἷς ἐξ ἑαυτοῦ, δύω ἐξ ἑνὸς, καὶ τὰ τρία εἷς· Ἀλήθεια ὁ Πατὴρ, ἀλήθεια ὁ Υἱὸς, ἀλήθεια τὸ Πνεῦμα. Μία ἄρα (ὁ Πατὴρ, ὁ Λόγος, ὁ Παράκλητος) Οὐσία, μία Δύναμις, μία Ἀγαθότης, μία Μακαριότης, ὁ ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ μακάρια ἐστὶν, ὅσα τῶν ὄντων μακαριότητος ἔλαχεν.

ΚΕΦ. ΛΑ.

Ὅτι ὁ Θεὸς ἡ ἀληθινὴ καὶ ἀκροτάτη Ζωή ἐστιν.

Ὁ Θεὸς, ἡ Ζωὴ ἡ ἀληθινὴ καὶ ὑπέρακρος, ὑφ᾽ οὗ, καὶ δι᾽ οὗ, καὶ ἐν ᾧ ζῇ τὰ πάντα, ὅσα ἀληθῶς ζῇ, καὶ μακαρίως. Ὁ Θεὸς τὸ αὐτάγαθον καὶ αὐτοκαλόν· Ὑφ᾽ οὗ, καὶ δι᾽ οὗ, καὶ ἐν ᾧ ἀγαθύνεται καὶ καλλύνεται, ὅσα ἀγαθά ἐστι καὶ καλὰ, ἅπαντα. Ὁ Θεὸς, πρὸς ὃν ἡ πίστις ἡμᾶς διεγείρει, ἡ ἐλπὶς ἀναπτεροῖ, ἡ ἀγάπη συνάπτει· ὁ Θεὸς, ὁ αἰτεῖν ἐπιτάσσων, καὶ σὲ εὑρίσκειν τοὺς σὲ ζητοῦντας ποιῶν· ὁ κρούειν κελεύων, καὶ τῷ κρούοντι ἀνοίγων· ὁ Θεὸς, ἀφ᾽ οὗ τὸ ἀποστρέφειν, πίπτειν ἐστί· πρὸς ὃν τὸ ἐπιστρέφειν, ἀνίστασθαι ἐστίν· ἐν ᾧ τὸ μένειν, στηρίζεσθαι ἐστίν. Ὁ Θεὸς, ὃν οὐδεὶς ἀποβάλλει, εἰμὴ πλανηθείς· οὐδεὶς ἐπιζητεῖ, εἰμὴ νουθετηθείς· οὐδεὶς εὑρίσκει, εἰμὴ καθαγνισθείς· ὁ Θεὸς, ὃν εἰδέναι, ζῆν ἐστίν· ᾧ δουλεύειν, βασιλεύειν ἐστίν· ὃν αἰνεῖν, σωτηρία τε καὶ ἀγαλλίασις ψυχῆς ἐστί. Σὲ καὶ χείλεσι, καὶ καρδίᾳ, καὶ ἐξ ὅλης τῆς ἐν ἐμοὶ περιούσης δυνάμεως ἀνυμνῶ, εὐλογῶ, καὶ προσκυνῶ, καὶ τῇ σῇ ἀγαθότητι ὑπὲρ πασῶν τῶν παρὰ σοῦ εὐποιϊῶν τὴν εὐχαριστίαν σοὶ προσάγω, καὶ τὸν αἶνον τῆς σῆς δοξολογίας προσᾄδω· ἅγιος, ἅγιος, ἅγιος.

Ἐπικαλοῦμαι σὲ, ὦ Μακαρία Τριὰς, ἵνα προσεγγίσασά με, ναὸν ἀπεργάσῃ τῆς Δόξης σου ἄξιον. Ἱκετεύω τὸν Πατέρα διὰ τοῦ Υἱοῦ, ἱκετεύω τὸν Υἱὸν διὰ τοῦ Πατρὸς, καὶ σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καθικετεύω τὸ Πνεῦμα· καθαπεροῦν καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα διὰ τοῦ Πνεύματος ὅπως ἂν ἅπασα μὲν ἁμαρτίας φαυλότης ὡς πορρωτάτω ἐμοῦ ἀπείη, ἅπαν δ᾽ ἀρετῆς εἶδος ἁγίας ἐμφυτευθείη μοι. Ὦ ὁ Θεός μου, οὗ ἡ δύναμις ἄπειρος· ὑφ᾽ οὗ τὰ πάντα,

δι' οὗ τὰ πάντα, ἐν ᾧ τὰ πάντα ἐγένετο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· ὅς τὰ ὑπὸ σοῦ δημιουργηθέντα ἔξωθεν μὲν περιέχεις, ἔσωθεν δὲ πληροῖς, ἄνωθεν δὲ διεξάγεις, κάτωθεν δὲ κινεῖς· φύλαξόν με τὸν ἔργον χειρῶν σου ὄντα, τὸν εἰς σὲ πεποιθότα, καὶ μόνῳ τῷ σῷ ἐλέει ἐπιθαῤῥοῦντα· φύλαξόν με, δέομαί σου, ἐνταῦθα τε καὶ ἁπανταχοῦ, νῦν τε καὶ ἐς ἀεὶ, ἔσωθέν τε καὶ ἔξωθεν, ἔμπροσθεν καὶ ὄπισθεν, κύκλοθεν, ἁπάντοθεν, ὡς μηδεμίαν χώραν ὑπανεῷχθαι τοῖς πολεμίοις, τοῖς κατ' ἐμοῦ ἐνεδρεύουσι.

Σὺ εἶ ὁ πανσθενὴς Θεὸς, ὁ ὑπερασπιστής τε καὶ φύλαξ ἁπάντων τῶν ἐπὶ σοὶ ἐλπιζόντων· οὗπερ ἄνευ οὐδεὶς ἐν ἀσφαλείᾳ καθίσταται, οὐδεὶς κινδύνων ἀπήλλακται· σὺ ὁ Θεὸς, καὶ πλὴν σοῦ Θεὸς οὐκ ἔστιν οὐδεὶς, οὔτε ἐν τῷ οὐρανῷ ἄνω, οὔτε ἐπὶ τῆς γῆς κάτω· ὁ τὰ μέγαλα ποιῶν, καὶ τὰ θαυμαστὰ καὶ ἀνεξιχνίαστα, ὧν οὐκ ἔστιν ἀριθμός· σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει· σοὶ πάντες Ἄγγελοι, καὶ οὐρανοὶ, καὶ τῶν οὐρανῶν αἱ Δυνάμεις ἅπασαι ὑμνολογοῦσι, καὶ σοὶ τὴν δόξαν ἀκαταπαύστως ἀναπέμπουσιν, ὡς κτίσματα τῷ Κτίσαντι, ὡς δοῦλοι τῷ Δεσπόζοντι, ὡς στρατιῶται τῷ Βασιλεύοντι. Σὲ τὴν παναγίαν καὶ ἀδιαίρετον Τριάδα σύμπασα ἡ κτίσις μεγαλύνει, καὶ ἅπαν πνεῦμα δοξολογεῖ.

ΚΕΦ. ΛΒ.

Αἶνος Ἀγγέλων τε καὶ ἀνθρώπων.

Σοὶ οἱ ὅσιοι καὶ οἱ ταπεινοὶ τῇ καρδίᾳ, σοὶ τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν δικαίων, σοὶ ἅπαντες οἱ ἐπὶ τῆς ἄνω πολιτευόμενοι λήξεως, καὶ ἅπασαι τῶν μακαρίων πνευμάτων αἱ τάξεις, δόξαν τε καὶ τιμὴν καὶ προσκύνησιν ἀναπέμποντες ἀσιγήτως καθικετεύουσιν. Αἰνοῦσι, Κύριε, τὸ πάντιμόν τε καὶ μεγαλοπρεπὲς ὄνομά σου ἀπα-

ξάπαντες οἱ πολῖται ἐκεῖνοι οἱ ὑπερκόσμιοι. Ὑμνεῖ δὲ σὲ καὶ ἄνθρωπος, ἡ μεγάλη ἀπόμοιρα τῆς παρὰ σοῦ δημιουργηθείσης κτίσεως. Ἀλλὰ κἀγὼ τὸ πολυαμάρτητον ἀνθρωπάριον ἐξυμνεῖν σε καὶ ἀγαπᾷν σφόδρα ἐπιποθῶ τε καὶ ἔραμαι. Ὁ Θεός μου, ἡ Ζωή μου, ἡ ἰσχύς μου, ἡ αἴνεσίς μου, ποίησον δὴ κἀμὲ ἄξιον τοῦ αἰνεῖν καὶ δοξάζειν σε! παράσχου φῶς τῇ καρδίᾳ μου, λόγον τῷ στόματί μου· ὅπως ἂν ἡ μὲν καρδία ἡ ἐμὴ μελετῴη τὴν δόξαν σου, ἡ δὲ γλῶσσά μου διεξέρχηται ᾄδουσα ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Ἀλλ' ἐπεὶ γὰρ οὐ καλός ἐστιν ὁ αἶνος ἐν ἁμαρτωλοῦ στόματι, καὶ ἐπεὶ ἄνθρωπος ἀκάθαρτα χείλη ἔχων ἐγώ εἰμι, καθάρισον, δέομαί σου, ἀπὸ παντὸς μολυσμοῦ τὴν καρδίαν μου! ἁγίασόν με ὁ παντοδύναμος ἁγιαστὴς, ἔσωθέν τε καὶ ἔξωθεν, καὶ ποίησόν με τοῦ αἰνεῖν σε ἄξιον. Πρόσδεξαι εὐμενῶς καὶ εὐαρέστως ἐκ χειρὸς τῆς ἐμῆς καρδίας, καὶ ἐξ ἀγάπης τῆς ἐν τῇ διανοίᾳ μου, πρόσδεξαι δὴ τὴν ἐκ τῶν ἐμῶν χειλέων ταύτην θυσίαν, καὶ γενέσθω αὕτη εὐπρόσδεκτος ἐνώπιόν σου, καὶ ἀναβήτω πρὸς σὲ εἰς ὀσμὴν εὐωδίας· τὸ τῆς σῆς ἁγιότητος ἐμὲ τὴν ἐπίμνησιν ἔχειν, καὶ τῆς ἐν σοὶ μακαρίας γλυκύτητος ἀπολαύειν, προκατασχέτω μου τὴν ψυχὴν ὅλην, καὶ ταύτην ἐναρπασάτω πρὸς πόθον τὸν τῶν ἀοράτων ἐξαίρουσα! Μεταβαινέτω μου ἡ διάνοια ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ μὴ ὁρώμενα, ἀπὸ τῶν ἐπιγείων ἐπὶ τὰ οὐράνια, ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια! Μεταβήτω δὴ, καὶ θεασάσθω θέαν ἐξαίσιον!

Ὦ ἡ αἰώνιος ἀλήθεια, καὶ ἡ παναληθὴς ἀγάπη, καὶ ἡ ὑπεραγάπητος αἰωνιότης! σὺ εἶ ὁ Θεός μου· πρὸς σὲ στενάζω νυκτὸς καὶ ἡμέρας· πρὸς σὲ κέχηνα· πρὸς σὲ ἀνατείνομαι· ὡς λίαν ἐφικέσθαι πρὸς σὲ ἱμείρομαι! Ὃς ἄν σε γνοίη, ἔγνω τὴν ἀλήθειαν, ἔγνω τὴν αἰωνιότητα· ἡ ὑπὲρ ἅπαντα ὑπεριδρυμένη ἀλήθεια, σὺ αὐτὸς εἶ: Σὲ δ' ἡμεῖς ἐποψόμεθα καθάπερ εἶ, ἐπειδὰν ἡ τυφλὴ καὶ ἐπίκηρος ζωὴ αὕτη παρέλθῃ, ἐν ᾗ λέγεται ἡμῖν: » Ποῦ ἐστιν ὁ Θεός » σου; Καὶ αὐτὸς δ' ἐγὼ νυνὶ λέγω: Ποῦ εἶ ὁ Θεός μου; Ἐν σοὶ δ' ἀναπνέω βραχύ τι, ἐν ᾧ ἐκχέω πρὸς σὲ τὴν ψυχήν μου,

ἀνακράζων ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος καὶ ἑστιῶντος. »Ἀλλὰ γὰρ πάλιν περίλυπος ἐστὶν ἡ ψυχή μου, » ἐπεὶ παρολισθαίνουσα μεταπίπτει, καὶ καθίσταται ἄβυσσος, μᾶλλον δὲ ἑαυτῆς οὔσης ἀβύσσου ἐπαισθάνεται: ἡ δ' ἐμὴ πίστις, ἣν ὡς ἐν νυκτὶ πρὸ τῶν ποδῶν μου ἀνῆψας, αὐτῇ μου τῇ ψυχῇ ἀντεπίστροφος λέγει:

» Ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; »ἔλπισον ἐπὶ τὸν Θεόν: Λύχνος ἐστὶ τοῖς ποσί μου τὸ ῥῆμα αὐτοῦ.» Ἔλπισον δὴ, καὶ ὑπόμεινον ἕως ἂν ἡ νὺξ παρατραπείη προκόψασα, ἡ τῶν ἀνομούντων γεννήτρεια· ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου, ἧς ποτε ἦμεν τέκνα· (Ἐσθ' ὅτε γὰρ ἦμεν σκοτία:) Ἕως ἂν ὁ τῶν ὑδάτων οὗτος παραῤῥεύσῃ κατάῤῥους, ἐπισύρωμεν ἔτι τὰ λείψανα ἐν τῷ ὑπὸ τῆς ἁμαρτίας νεκρωθέντι ἡμῶν σώματι: Ἕως οὗ ἡμέρα » διαυγάσῃ, καὶ κλιθήσωνται αἱ σκιαὶ, ἔλπισον ἐπὶ τῷ Κυρίῳ· τὸ πρωῒ παρέσομαι καὶ θεάσομαι, καὶ ἀεὶ ἐξομολογήσομαι αὐτῷ· τὸ πρωῒ παραστήσομαι, καὶ ἐπόψομαι τὸ σωτήριον τοῦ προσώπου μου, τὸν Θεόν μου, ὅς ζωοποιήσει τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος ἐν ἡμῖν Πνεύματος αὐτοῦ, ὡς καὶ ἄρτι φῶς ἡμᾶς εἶναι, ὅτε δὴ ἐν ἐλπίδι τῆς σωτηρίας ἐτύχομεν, καὶ υἱοὶ φωτὸς ἐσμὲν, καὶ υἱοὶ ἡμέρας, οὐχὶ νυκτὸς, οὐδὲ σκότους. Ἦμεν γάρ ποτε σκότος, νυνὶ δὲ φῶς ἐσμὲν ἐν σοὶ ὁ Θεὸς ἡμῶν· παρ' ὅσον, ὅτι διὰ πίστεως ἔτι, καὶ οὔπω ἐν εἴδει: ἡ γὰρ ἐλπὶς ἡ καθορωμένη οὐκ ἔστιν ἐλπίς.

Αἰνοῦσί σε, Κύριε, οἱ ἀθάνατοί σου δῆμοι, οἱ τῶν Ἀγγέλων ἐκεῖνοι, καὶ δοξάζουσί σου τὸ ὄνομα αἱ Δυνάμεις αἱ οὐράνιοι, αἱ μηδὲ χρήζουσαι τὴν γραφὴν ἡμῶν ταύτην διέρχεσθαι, ἵν' ἐπιγνῶσι σὲ τὴν Τριάδα τὴν τρισαγίαν καὶ ἀδιαίρετον. Τὸ σὸν γὰρ ἀεὶ καθορῶσι πρόσωπον, κἀκεῖ ἀναγινώσκουσιν ἄνευ συλλαβῶν χρονικῶν ὁποῖον τὸ ἀπ' αἰῶνος σὸν ἐστὶ θέλημα· ἀναγινώσκουσι, καὶ αἱροῦνταί τε καὶ ἐρῶσιν· ἀναγινωσκούσας δ' ἐς ἀεὶ, οὐδέ ποτε παροίχεται τὸ ἀναγνωσθέν: αἱρούμεναί τε γὰρ καὶ ἐρῶσαι, αὐτὴν τὴν

τῆς βουλῆς σου ἀναγινωσκουσιν ἀτρεψίαν, καὶ ὁ κώδηξ αὐτῶν οὐ κλεισθήσεται, οὐδὲ συμπτυχθήσεται αὐτῶν τὸ βιβλίον· Σὺ γὰρ αὐταῖς αὐτὸ τοῦτο εἶ, καὶ εἰς τὸν αἰῶνα ἔσῃ. Ὦ μακάρταται αἱ τῶν οὐρανῶν αὗται Δυνάμεις, αἷς ἁγνώτατα καὶ καθαρώτατα ἔπεστιν αἰνεῖν μεθ' ὑπερβαλλούσης, καὶ ἀῤῥήτου ἀγαλλιάσεως! Ἐκεῖθεν γὰρ αὐταῖς ὁ αἶνος, ὅθεν ἡ ἀγαλλίασις, ἅτε ἀδιαλείπτως καθορώσαις, ὅθεν ἂν καὶ ἀγαλλιᾶσθαι καὶ αἰνεῖν ἔχοιεν.

Ἡμεῖς δὲ οἱ τῷ τῆς σαρκὸς πιεζούμενοι ὄγκῳ, καὶ πόῤῥω τοῦ σοῦ προσώπου κατὰ τήνδε τὴν παρεπιδημίαν ἠλάσκοντες, κἂν ταῖς κοσμικαῖς ταύταις περιτροπαῖς συνεχόμενοί τε καὶ περισπώμενοι ἐπαξίως αἰνεῖν σε οὐκ ἔχομεν· αἰνοῦμεν δ' οὖν ὅμως καὶ αὐτοὶ διὰ πίστεως, ἀλλ' οὐκ ἐν εἴδει· τά γε μὴν ἀγγελικὰ πνεύματα ἐν εἴδει αἰνεῖ σε, οὔκουν ἐκ πίστεως. Τουτὶ γὰρ ἡ σὰρξ ἡμῖν προμνηστεύεται, τὸ μακρὰν ἄλλως ἡμᾶς αἰνεῖν σε, ἤπερ ἐκεῖνα: καί τοιγε, καὶ εἰ διαφόρως αἰνοῦμεν, ἀλλ' εἷς Θεὸς εἶ σὺ, ὁ δημιουργὸς τῶν ἁπάντων, ᾧ περ ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ἡ τῆς αἰνέσεως θυσία προσάγεται. Ἀφιξόμεθα δ' οὖν ποτε καὶ ἡμεῖς διὰ τοῦ σοῦ ἐλέους ἐπὶ τὴν σὺν ἐκείνοις συγκλήρωσιν, καὶ μετ' αὐτῶν ἀεί σε ὀψόμεθα; καὶ ἀπεράντως αἰνέσομεν. Ἀλλὰ παράσχου καὶ ἐμοὶ, Κύριε, ὅπως ἄν, καὶ ἐν ὅσῳ τῷδε τῷ ἐπικήρῳ σύνειμι σώματι, ἀνυμνῇ σε ἡ καρδία μου, αἰνῇ σε ἡ γλῶσσά μου, καὶ πάντα δὲ τὰ ὀστᾶ μου ἀνακράζῃ βοῶντα: Κύριε, τίς ὅμοιός σοι;

Σὺ ὁ παντοκράτωρ Θεὸς ὑπάρχεις, ὃν Τριαδικὸν μὲν ὄντα τοῖς προσώποις, μοναδικὸν δὲ τῇ φύσει λατρεύοντες, προσκυνοῦμεν: Πατέρα ἀγέννητον, Υἱὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα, Πνεῦμα ἅγιον ἐκ τοῦ Πατρὸς αὐτοῦ ἐκπορευόμενον, καὶ ἐν τῷ Υἱῷ ἀναπαυόμενον· Τριάδα παναγίαν καὶ ἀδιαίρετον· Θεὸν ἕνα, πάντα δυνάμενον· τὸν μηδόλως μὲν ὄντας, πανσθενῶς ἡμᾶς δημιουργήσαντα· διὰ δὲ κακίαν ἡμετέραν ἀπολωλότας, τῷ σῷ ἐλέει καὶ τῇ σῇ ἀφάτῳ χρηστότητι καὶ φιλανθρωπίᾳ ἐπανακτησάμενον. Μὴ ἐγκαταλίποις ἡμᾶς, δεόμεθά σου, ὡς ἀναξίους τῶν οἰκτιρμῶν σου

ὀφθῆναι, καὶ πρὸς τὸ πλῆθος τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν σου ἀγνώμονας, θερμῶς λίαν, Κύριε, σοῦ δεόμεθα, καὶ λιπαρῶς ἀντιβολοῦμέν σου καὶ καθικετεύομεν, αὔξησον ἐν ἡμῖν τὴν εἰς σὲ πίστιν, αὔξησον τὴν πρὸς σὲ ἐλπίδα, αὔξησον τὴν ἀγάπην!

Ποίησον ἡμᾶς διὰ τῆς σῆς χάριτος, ἐν μὲν τῇ πίστει ἐστηριγμένους ἐς ἀεὶ εἶναι, ἐν δὲ ταῖς πράξεσιν ἐνεργοὺς τε καὶ δραστηρίους, ἵνα διά τε τῆς ὀρθῆς πίστεως, καὶ διὰ τῶν κατ' αὐτὴν προσαπαιτουμένων ἀξίως ἔργων, σοῦ ἐλεοῦντος, εἰς ζωὴν ἥξωμεν τὴν αἰώνιον· ἔνθα τὴν σὴν κατοπτεύοντες δόξαν, ὥσπερ ἐστὶ, τῇ σῇ λατρεύωμεν μεγαλωσύνῃ, καὶ παραπλησίως τοῖς, οὕς περ αὐτῆς γενέσθαι θεωροὺς κατηξίωσας, καὶ αὐτοὶ λέγειν ἔχωμεν. Δόξα τῷ Πατρὶ τῷ ἡμᾶς ποιήσαντι· Δόξα τῷ Υἱῷ τῷ ἡμᾶς ἐξαγοράσαντι· Δόξα τῷ ἁγίῳ Πνεύματι τῷ ἡμᾶς καθαγιάσαντι· Δόξα τῇ ἐν ὑψίστοις ἁγίᾳ τε καὶ ὁμοουσίῳ καὶ ἀδιαιρέτῳ Τριάδι, ἧς τὰ ἔργα ἀδιαχώριστα, ἧς τὸ κράτος αἰώνιον· Σοὶ πρέπει αἶνος, Σοὶ πρέπει ὕμνος, Σοὶ δόξα πρέπει, Σοὶ τιμὴ πᾶσα, καὶ προσκύνησις, καὶ εὐλογία, καὶ εὐχαριστία τῷ πανσθενεῖ καὶ παντοδυνάμῳ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦ. ΛΓ.

Ἐνταῦθα ὁ ἄνθρωπος ποτνιᾶται διὰ τὸ μὴ καταναίγεσθαι ἐν τῷ διὰ προσευχῆς Θεῷ ἐντυγχάνειν, ὁπότε δὴ καὶ αὐτοὶ οἱ Ἄγγελοι τὸν Θεὸν καθορῶντες τρέμουσιν.

Ἄνες, Κύριε, ἄφες πανάγαθε, ἄφες καὶ ἐλέησον! Φεῖσαι τῆς ἐμῆς ἀνοίας, καὶ τῆς πολλῆς ἀθλιότητος! Μή με ὡς θρασὺν ἀπο-

δοκιμάσης, ὅτι ὁ σὸς ἐγὼ δοῦλος (ὄφελον κἂν ἀγαθὸς, καὶ οὐχὶ ἀχρεῖος τε καὶ πονηρὸς, ἐξ οὗ δὴ καὶ πονηρὸς πάμπαν) ἐπιτολμῶ σὲ τὸν Θεόν μου τὸν ἀπειροδύναμον, καὶ φοβερὸν, καὶ φρικώδη, ἄνευ κατανενυγμένης καὶ συντετριμμένης καρδίας, καὶ δακρύων πηγὰς προχεούσης, ἄνευ εὐλαβείας τῆς ἐποφειλομένης, καὶ ἄνευ τρόμου, αἰνεῖν καὶ προσκυνεῖν σε προάγομαι. Εἰ γὰρ οἱ Ἄγγελοι προσκυνοῦντές σε καὶ ὑμνολογοῦντες τρέμουσι, καί τοιγε ὑπερφυοῦς ὄντες ἀγαλλιάσεως ἔμπλεοι, πῶς ἐγὼ ὁ ἁμαρτιῶν συνεχόμενος πλήθει οὐ καταπτήσσω, ἐν ᾧ παριστάμενός σοι ὕμνον προσάγω καὶ θυσίαν αἰνέσεως; ἵνα τί οὐ δέδοικα τῇ καρδίᾳ; τί οὐκ ὠχριῶ τὸ πρόσωπον; πῶς οὐ τρέμω τοῖς χείλεσι; πῶς οὐχ ὅλῳ τῷ σώματι φρίττω; πῶς οὐ κλαίω ἐνώπιόν σου δακρυῤῥοῶν ἄπαυστα; Ἐθέλω, Δέσποτα, ἐθέλω μὲν, ἀλλ᾽ οὐκ ἔχω· οὐ γὰρ οὗ περ ἐφίεμαι, τοῦτο καὶ δύναμαι· ἐξ οὗ μοι καὶ σφόδρα θαυμάζειν κατ᾽ ἐμαυτὸν ἔπεισιν, ἐν ᾧ σὲ τὸν φοβερώτατον Θεὸν ὀφθαλμοῖς ἐπιδέρκομαι τοῖς ἐκ πίστεως. Ἀλλὰ τίς ποτε καὶ τοῦτο ἰσχύσει, μὴ συνεπαρηγούσης τῆς παρὰ σοῦ χάριτος; ἅπασα γὰρ ἡμῶν ἡ σωτηρία μέγα σὸν ἐστὶν ἔλεος.


Φεῦ μοι τῷ ἐλεεινῷ καὶ ἀθλίῳ, πῶς οὕτως ἄφρων καὶ ἀνάλγητος ἡ ψυχή μου κατέστη, ὡς μὴ φόβῳ συνέχεσθαι καὶ τρόμῳ, ἐπειδὰν ἐνώπιον τοῦ Θεοῦ παρισταμένη, τὰς αἰνέσεις αὐτῷ ἐπᾴδουσα διεξέρχεται! Ὦ μοι τῷ παναθλίῳ! πῶς κατεσκλήρυνται ἡ καρδία μου; πῶς οὐχὶ δακρύων πηγὰς οἱ ὀφθαλμοί μου ἀενάως προχέωσιν, ὅτε ὁ δοῦλος διαλεγόμενος ἐντυγχάνει τῷ Κυρίῳ αὐτοῦ; ὁ ἄνθρωπος τῷ Θεῷ, τὸ κτίσμα τῷ κτίσαντι; ὁ ἐκ τοῦ πηλοῦ, τῷ τὰ πάντα ἐκ τοῦ μηδενὸς ὑποστήσαντι; Ἰδοὺ, Κύριε, θοῦ με κατενώπιόν σου, καὶ ὅ,τι δὴ ἐν ἀποῤῥήτοις περὶ ἐμαυτοῦ τυγχάνω φρονῶν, ὠσὶν ἀδελφικοῖς οὐ σιγήσω. Σὺ ὁ πλούσιος ἐν οἰκτιρμοῖς, καὶ δαψιλὴς ἐν ἀνταποδόσεσι, παράσχου μοι ἐκ τῶν σῶν ἀγαθῶν, ἵνα ἐξ αὐτῶν σοὶ δουλεύσω· οὐ γὰρ ἄλλοθεν ποθεν σοὶ δουλεύειν δυνάμεθα, οὔτε εὐαρεστεῖν, εἰμὴ ἐξ ὧν ἂν ἡμῖν αὐτὸς ἐπιχορηγήσαις.

Καθήλωσον, δέομαι, ἐκ τοῦ φόβου σου τὰς σάρκας μου! εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου! Ὄφελον, Κύριε, ἡ ἐμὴ ψυχὴ ἡ πολυαμάρτητος, οὕτω διατελείη φοβουμένη σε, καθάπερ ὁ ἅγιος ἐκεῖνος, ὁ εἰπὼν ἀεὶ τὸν Θεὸν γενέσθαι φοβούμενος, ὡς τὰ ἐκ τρικυμίας αὐτῷ ἐπερχόμενα κύματα. Ἀλλ' ὁ τῶν ἀγαθῶν οὖν παροχεὺς Θεὸς, δίδου μοι μεταξὺ τῶν πρὸς σὲ ὑμνολογιῶν πηγὰς δακρύων προχέειν ἐν καθαρότητι καρδίας καὶ ἀγαλλιάσει πνεύματος, ὅπως ἂν ἐντελῶς σε ἀγαπῶν, καὶ ὑμνῶν ἐπαξίως, ἐν αὐτῇ τῇ τῆς ἐμῆς ψυχῆς ὑπερώᾳ αἰσθανθείην, γευθείην, καὶ ἐπιγνοίην, ὅτι γλυκὺς καὶ χρηστὸς ὑπάρχεις σὺ, Κύριε, ὡς γέγραπται· « Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Μακά-
» ριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλα-
» λαγμόν. Μακάριος ἀνὴρ, ᾧ ἐστὶν ἀντίληψις αὐτῷ παρὰ σοί·
» ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυ-
» θμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
» ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ
» σου, Κύριε, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. »

ΚΕΦ. ΛΔ.

Δέησις πρὸς εὐλάβειάν τε καὶ θείαν ἀγάπησιν οὐ μικρὰν ἐνάγουσα.

Ἰησοῦ ἡ ἐξαγορὰ ἡμῶν, καὶ ἡ ἀγάπη καὶ ἐπιπόθησις· ὁ ἐκ τοῦ Θεοῦ Θεὸς, πάρεσό μοι τῷ σῷ θεράποντι· σὲ ἐπικαλοῦμαι, πρὸς σὲ κράζω μεγάλῃ τῇ φωνῇ, ἐξ ὅλης μου τῆς καρδίας σὲ ἐπιβοῶμαι, εἴσελθε εἰς ψυχὴν τὴν ἐμὴν, καὶ σαυτῷ ταύτην συνεφάρμοσον, ἵν' ἔχῃς αὐτὴν ἄνευ ῥύπου τε καὶ σπιλώματος· τῷ γὰρ καθαρωτάτῳ Κυρίῳ καθαρὰ ἐποφείλεται δήπου ἡ οἴκησις· Ἁγίασόν με



τοίνυν τὸ σκεῦος τὸ σὸν, ὅ ἐποίησας· ἐκκένωσον αὐτὸ ἀπὸ πάσης κακίας, ἔμπλησον τῆς σῆς χάριτος, καὶ ταύτης ἔμπλεων συντήρησον, ὥστε τῆς σῆς ἐνοικήσεως σκήνωμα ἐπάξιον ἀναδεῖξαι, καὶ νῦν, καὶ ἀεί ποτε. Γλυκύτατε, εὐμενέστατε, ἐρασμιώτατε, χαριέστατε, πανσθενέστατε, ποθεινότατε, ὑπερτιμιώτατε, ὑπεραγάπητε, περικαλλέστατε, μέλιτος γλυκερώτερε, γάλακτος καὶ χιόνος λευκότερε, νέκταρος ἡδύτερε, χρυσοῦ τε καὶ λίθων τιμίων ἀξιοτιμότερε, καὶ γηΐνης ἁπάσης περιουσίας τε καὶ δόξης ἀσυγκρίτως ὑπερφερέστερε.

Τί φημὶ, ὦ Κύριε ὁ Θεός μου; ἡ μόνη ἐλπίς μου; τὸ ὑπέρμεγα ἔλεός μου; τί λέγω, ὦ γλυκύτης ὑπερευδαιμονεστάτη, καὶ πανασφαλεστάτη; τί λέγω, τὰ τοιάδε λέγων; λέγω ὅ,τι περ ἰσχύω· ἀλλ' οὐ λέγω, ὅπερ ἔδει με λέγειν. Εἴθε λέγειν ἔχοιμι τοιαῦτα, οἷα αἱ ὑμνῳδοί σου ἐκεῖναι Ἀγγελικαὶ χοροστασίαι! Ὦ... πῶς ἂν ἥδιστα ἐν τοῖς πρὸς σὲ ὕμνοις καὶ αὐτὸς ἐμαυτὸν ὅλον ἐξέχεα! Ὦ... μεθ' ὅσης δὴ τῆς εὐλαβείας, καὶ μεθ' ὅσου τοῦ πόθου, τὰ τῆς ἐπουρανίου μελῳδίας ἐκείνης ᾄσματα, εἰς αἶνον τε καὶ δόξαν τοῦ σοῦ ὀνόματος, ἑστὼς ἐν μέσῳ τῆς Ἐκκλησίας, ἀκαμάτως ἂν καὶ αὐτὸς ἐξεβόησα! Ἀλλ' ἐπεὶ τοιαῦτα αὐτὸς οὐ δύναμαι, μή τοιγε δὴ σιωπήσομαι; φεῦ τοῖς σιγᾷν αἱρουμένοις περὶ σοῦ, τοῦ καὶ τὰ τῶν μογιλάλων στόματα λύοντος! τοῦ καὶ ἐκ στομάτων νηπίων, καὶ θηλαζόντων ἀκάκων σεαυτῷ καταρτίζοντος αἶνον· φεῦ τοῖς περὶ σοῦ σιγῶσιν, ὅτι καὶ λαλίστατοι αὐτοὶ ὄντες, ἀφασίαν νοσεῖν ἐοίκασιν ἐπειδὰν τὰς σὰς ὑμνολογίας οὐκ ἐξαγγέλουσι.

Τίς δ' ὁ ἐπαξίως αἰνεῖν σὲ δυνάμενος, τὴν ἀνερμήνευτον τοῦ Θεοῦ καὶ Πατρὸς σοφίαν καὶ δύναμιν; ἀλλ' ἐπεὶ γὰρ οὐχ εὑρίσκω ῥήματα, τὰ σὲ τὸν πάντα καὶ ἰσχύοντα καὶ εἰδότα ὁπωσοῦν ἀναπτύξαι δυνάμενα, ἐρῶ τὸ τέως καθ' ὅσον δύναμαι, ἄχρις οὗ μετὼς σὲ παραγενέσθαι κελεύσειας, ἔνθα τὸ σοὶ πρέπον, κἀμοὶ προσῆκον ἐκφράσαι ἂν ἔχοιμι. Διὸ ἱκετεύων δέομαί σου, μὴ δὴ πρὸς ὅ νῦν λέγω μόνον ἐπίδοις, ἀλλὰ καὶ πρὸς ὅ νῦν λέγειν ἐφίεμαι.

Ἐπιθυμῶ γὰρ ἐπιθυμίᾳ μεγάλῃ σφόδρα περὶ σοῦ φάναι ὅ,τι καὶ προσῆκον ἐστὶ καὶ πρέπον· σοὶ γὰρ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, καὶ σοί τιμὴ πᾶσα καὶ προσκύνησις ἐποφείλεται. Οἶδας οὖν ὁ κρυφιογνώστης Θεός μου, ὅτι καὶ τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, καὶ πάντων τῶν ἐν αὐτοῖς, σύ μοι εἶ προφερέστερος σύ μοι ἐρασμιώτερος. Ἀγαπῶ καὶ γὰρ σὲ, ὑπὲρ τὸν οὐρανὸν, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς τούτοις ξύμπαντα· μᾶλλον δὲ, δι ἀγάπην τοῦ σοῦ ὀνόματος, πάνθ᾿ ὅσα παρέρχεται οὐ δόλως εἶναι μοι ἀδιστάκτως κρίνω ἀγαπητέα. Ἀγαπῶ οὖν σὲ τὸν ἐμὸν Θεόν τε καὶ Κύριον ἐν ἀγάπῃ μεγάλῃ· καὶ μὲν δὴ, καὶ ἐπὶ πλεῖον ἔτι σὲ ἀγαπᾷν ὡς λίαν ἐπιθυμῶν ἐπεθύμησα.

Δός μοι τοίνυν, Κύριε, τὸ ἐς ἀεί σε ἀγαπᾷν, ὅσον ἐθέλω, ὅσον τε ὀφείλω, ἵνα σὺ μόνος εἴης ὅλος μου ὁ λογισμὸς, καὶ ἅπαν τὸ ἐμοὶ μελετώμενον. Μελετῴην δὴ περὶ σοῦ καθ᾿ ἑκάστην ἡμέραν ἀδιαλείπτως· σοῦ καὶ ὑπνῶν ἔτι διαισθανοίμην· σοὶ καὶ νύκτωρ συνεντυγχάνον εἴη τὸ πνεῦμα μου· σοὶ συνοαρίζουσα γένοιτο ἡ ψυχή μου· ἐν τῷ φωτὶ τῆς σῆς ἁγίας ὁράσεως ἐνδιαυγάζοιτο ἡ καρδία μου· ἵνα με σοῦ κατευθύνοντος, σοῦ καθοδηγοῦντος, ἀπὸ δυνάμεως χωροίην προβαίνων εἰς δύναμιν, καὶ τέως σὲ ἴδοιμι τὸν Θεὸν τῶν Θεῶν ἐπὶ τῆς Σιὼν· νῦν μὲν ἐν ἐσόπτρῳ καὶ δὶ αἰνίγματος, τηνικαῦτα δὲ πρόσωπον πρὸς πρόσωπον, ἔνθα σε ἐπιγνώσομαι καθάπερ καὶ ἐπεγνώσθην. » Μακάριοι οἱ καθαροὶ τῇ καρ» δίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ κατοικοῦντες ἐν » τῷ οἴκῳ σου, Κύριε, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος αἰνέσουσί σε.» Δέομαί σου τοιγαροῦν, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐν οἷς ἐκ τοῦ θανάτου ἀπερρύσθημεν, μάλθαξόν μου τὴν καρδίαν τὴν σκληρὰν ταύτην, καὶ λιθώδη, καὶ πετρώδη, καὶ σιδηρᾶν, διὰ τῆς μυστικωτάτης καὶ δραστικωτάτης σου ἐπιχρίσεως· καί γε ἐν πυρὶ τῷ τῆς κατανύξεως θυσίαν με ζῶσαν καὶ ἐνδελεχῆ γενέσθαι ποίησον.

Ποίησόν με καρδίαν ἔχειν συντετριμμένην ἀεὶ καὶ τεταπεινωμέ-

νην ἐνώπιόν σου, κρουνοὺς δακρύων πηγάζουσαν! ποίησον τὸν ἐν ἐμοὶ περὶ τὰ ἐγκόσμια ταῦτα πόθον ἄρδην ἀποσβεσθῆναι, καὶ τῶν ἐνταῦθα παρερχομένων πάντων ἐπιλησθῆναι, καὶ διὰ μέγεθος τοῦ τε πόθου καὶ τῆς περὶ σὲ ἀγάπης οὕτως ἐπὶ τοῖς δε τοῖς προσκαίροις διακείμενον εἶναι με, ὡς μήτ' ἐπὶ τούτοις ἐπολοφύρεσθαι, μήτ' ἐπιχαίρειν, μήτ' ἐγκαταπτοεῖσθαι ἐπερχομένοις· μήτε δ' ἐκθύμως αὐτῶν ἐφίεσθαι, μήτ' ἐπιθελγόντων διαφθείρεσθαι, μήτ' ἀντιπιπτόντων κατασαλεύεσθαι. Ἐπεὶ δὲ κραταιὰ ἐστὶν ἡ σὴ ἀγάπησις, ὥσπερ θάνατος καταπιέτω δὴ ἀντιβολῶ τὴν ψυχήν μου, ἀπὸ πάντων ὅσα ὑπὸ τὸν οὐρανὸν ἐστὶν, ἡ τῆς σῆς ἀγάπης διάπυρός τε καὶ μελισταγὴς δύναμις, ἵνα σοὶ μόνῳ προσκολλώμενος, μόνῃ διατρεφοίμην τῇ μνήμῃ τῆς σῆς ὑπερηδίστης χρηστότητος.

Καταβήτω, Κύριε (δέομαί σου) καταβήτω ἐπὶ τῆς καρδίας μου ἡ γλυκίστη ὀδμή σου! ἐνσταλαχθήτω μοι ὁ μελίρρους σὸς ἔρως! ἀφίχθω μοι ἡ διὰ τῆς σῆς ἀπογεύσεως ὑπερφυὴς καὶ ἄφατος εὐωδία ἀλήκτους ἐνεγεροῦσά μοι ἐπιθυμίας, κἀκ τῆς ἐμῆς καρδίας ἐκρήξουσα φλέβας ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. Ἀμέτρητος αὐτὸς εἶ, Κύριε, διὸ καὶ ἄνευ μέτρου ἀγαπητέος εἶ, καὶ αἰνετέος ὑπὸ τῶν ἐξαγορασθέντων διὰ σοῦ τοῦ ἀπειροτίμου αἵματος ὦ τῶν ἀνθρώπων ἐραστὰ ὑπερευμενέστατε· Δέσποτα πανελεημονέστατε, καὶ Κριτὰ δικαιότατε· ᾧ τὴν κρίσιν πᾶσαν ἔδωκεν ὁ Πατὴρ, καὶ ὅ,τι περ ἄν αὐτὸς κρίνῃς τῇ ὑπερσόφῳ εὐθύτητί σου, ἐκεῖνο μόνον ἐστὶ τὸ ὀρθὸν καὶ τὸ δίκαιον. Φεῦ ὅπως οἱ υἱοὶ τοῦ αἰῶνος τούτου, υἱοὶ νυκτός τε καὶ σκότους, πλείονι σὺν πόθῳ καὶ σπουδῇ καὶ δυνάμει τὸν ἀπολούμενον πλοῦτον, καὶ τὰς τιμὰς τὰς δραπέτιδας φιλοῦντες εἰσὶ καὶ ζητοῦντες, ἤπερ ἡμεῖς αὐτοὶ οἱ σοὶ κατεπαγγελλόμενοι εἶναι θεράποντες, σὲ τὸν Θεὸν ἡμῶν ἀγαπῶντες διατελοῦμεν, τὸν μηδαμῶς μὲν ὄντας ποιήσαντα, ἑαλωκότας δ' ἐξαγοράσαντα.

Εἰ γὰρ ἄνθρωπος ἄνθρωπον οὕτω τὰ πολλὰ τυγχάνει φιλῶν, ὡς θάτερον ἀπεῖναι θατέρου μόλις ἀνέχεσθαι· εἰ οὕτως ἡ νυμφευ-

θεῖσα τῷ νυμφίῳ προστέτηκεν, ὡς δὶ ἐπίτασιν ἔρωτος μηδεμιᾶς ὅλως ἔχειν ἀναπαύσεως ἀπολαύειν, μηδὲ τὴν ἀπουσίαν τοῦ ἐρωμένου ἀνίας δίχα ἐπαναντλᾶν· ποίῳ ἄρα τῷ φίλτρῳ, οἵᾳ τῇ σπουδῇ, ἡλίκῃ τε ζέσει, ἡ, ἣν περ διὰ τῆς πίστεως ἐνυμφεύθης ἐν ἐλέει ψυχὴ ἀγαπᾶν σὲ ὀφείλει τὸν Νυμφίον τὸν πάνυ περικαλλῆ καὶ ὡραῖον, ὅς τοσοῦτον ἡμᾶς ἠγάπησας, ὥστε ὑπὲρ τῆς ἡμῶν σωτηρίας τοσαῦτα τε καὶ τηλικαῦτα διαπράξασθαι; Εἰ γὰρ καὶ τὰ κάτω δὴ ταῦτα ἰδίας ἔχει τινὰς πρὸς ἔρων ἴυγγας, οὐχ οὕτως ἀλλ' οὖν εἰσὶν ἐπευφραίνοντες οἱ ἔρωτες οὗτοι, ὡς σὺ ὁ Θεὸς ἡμῶν. Ἐπὶ σοὶ γὰρ ὁ δίκαιος ἐπιθέλγεται, ὅτι σοῦ ἡ ἀγάπη ἡδεῖα τις ἐστι καὶ ἀτάραχος· ὅτι, ἅπερ ἂν στέρνα αὐτὸς ἐπικαταλάβοις, γλυκύτητός τε αὐτὰ καὶ θυμηδίας ἐμπιπλᾷς καὶ γαλήνης· τοὐναντίον δὲ, ἡ τοῦ αἰῶνος καὶ τῆς σαρκὸς ἀγάπη πολυμέριμνός τε ἐστὶ καὶ ταραχώδης, καὶ ταῖς ψυχαῖς, αἷς ἂν αὐτὴ ἐμφιλοχωρήσειεν, ἥκιστα καθηρεμεῖν ἐπιτρέπουσα, διηνεκέσι δὲ τύρβαις τε, καὶ ὑπονοίαις, καὶ πτοήσεσι παντοίαις ἐπιθροοῦσα τε καὶ κατασείουσα.

Σὺ γὰρ εἶ τῶν ἐν εὐθύτητι διαπορευομένων ἡ εὐφροσύνη, καὶ ἧ που εἰκότως· κρατερὰ γὰρ παρὰ σοὶ ἡ ἠρέμησις, καὶ ἀθρόντος ὁ βίος· καί γε ὁ εἰσιὼν ὡς σὲ, ὑπεράγαθε Κύριε, εἰς τὴν χαρὰν εἴσισι τοῦ Κυρίου αὐτοῦ, καὶ περαιτέρω οὐ πτοηθήσεται· χώραν δ' ἐπισχὼν τὴν ἀρίστην, ἐρεῖ. » Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα » αἰῶνος· ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν. Καὶ, Κύριος » ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με » κατεσκήνωσε· » Χριστέ μου γλυκύτατε, Ἰησοῦ μου ὑπεράγαθε, ἔμπλησόν μου τὴν καρδίαν, δέομαί σου, τῆς ἀσβέστου σῆς ἀγαπήσεως, καὶ τῆς ἐνδελεχοῦς σου ἐπαναμνήσεως, ὥστε με δίκην φλογὸς καιομένης διαπίμπρασθαι τῷ γλυκασμῷ τῷ τοῦ περὶ σὲ ἔρωτος, ὅν περ, οὐδ' ἂν ὕδατα ἐπιχυθῇ ἄπλετα, ἔχοιεν ἀποσβέσαι. Ῥέξον, γλυκύτατε Κύριε, ὅπως ἂν ὦ ἀγαπῶν σε, καὶ διὰ τοῦ σοῦ πόθου ἅπαν τῶν σαρκικῶν ἐπιθυμιῶν μου ἀποθῶμαι τὸ ἄχθος, καὶ τῶν ἄλλων γηΐνων ἐπιβριθεστάτων ἀποφορτισθῶ ἀρέ-

ξεων, αἳ τὴν οἰκτρὰν μοῦ ψυχὴν ἐπιταλαιπωροῦσι καὶ καταθλίβουσιν· ἵνα ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμὼν ἑτοίμως, ἄχρι τοῦ καὶ τῆς ὄψεως τοῦ σοῦ κάλλους ἐς κόρον ἀπολαῦσαι ἀξιωθείην, σοῦ ὁδηγοῦντος, ὡς ἔνι τάχιστα.

Δισσοὶ γὰρ ἔρωτες, ὁ μὲν ἀγαθὸς, ὁ δ᾽ ἕτερος φαῦλος: καὶ ὁ μὲν γλυκὺς, ὁ δὲ πικρὸς, οὐκ ἄν ἐφ᾽ ἑνὶ στέρνῳ κατὰ τὸ αὐτὸ συνάμα χωρήσειαν: ἔνθεντοι καὶ εἴτις ἕτερον παρὰ σὲ ἀγαπῶν τυγχάνοι, οὐκ ἔστιν ἡ σὴ ἀγάπη, ὁ Θεὸς, ἐν αὐτῷ. Ὢ γλυκύτητος ἀγάπη, καὶ ἀγάπης γλυκύτης! ὢ ἀγάπη ἡ μηδαμῶς ὀδυνῶσα, ἀλλὰ καθηδύνουσα! ὢ ἀγάπη ἡ ἁγνῶς τε καὶ ἀκραιφνῶς εἰς αἰῶνα ἅπαντα διαρκοῦσα! ἀγάπη ἡ ἀεί ποτε καιομένη, ἀποσβεννυμένη δὲ μηδέ ποτε. Χριστέ μοι γλυκύτατε, Ἰησοῦ ὑπεράγαθε, ἡ ἀγάπη, ὁ Θεός μου, ἔγκαυσόν με ὅλον τῷ σῷ πυρὶ, τῇ σῇ ἀγαπήσει, τῇ σῇ ἡδύτητι καὶ γλυκύτητι, τῇ σῇ τερπνότητι καὶ ἀγαλλιάσει, τῇ σῇ τρυφῇ καὶ ἐφέσει, τῇ ἁγίᾳ τε καὶ χρηστῇ οὔσῃ, ἁγνῇ καὶ καθαρωτάτῃ, γαληνίῳ τε καὶ ἀσφαλεστάτῃ, ὡς ἄν ὅλος τῷ γλυκασμῷ τοῦ πόθου σου ἔμπλεως, ὅλος τῇ φλογὶ τῆς ἀγάπης τῆς σῆς πυρπολούμενος, ἀγαπῴην σὲ τὸν Θεόν μου ἐξ ὅλης μου τῆς καρδίας, ἐξ ὅλων μυελῶν τῶν ἐμῶν σπλάγχνων, καὶ οὕτως ἔχοιμί σε καὶ ἐπὶ καρδίας, καὶ διὰ στόματος, καὶ πρὸ ὀφθαλμῶν μου πάντοτε καὶ ἁπανταχοῦ, μηδεμιᾶς ἐν ἐμοὶ ἐνυπολειπομένης χώρας ἐς εἴσοδον ταῖς νόθοις τε καὶ κιβδήλοις τῶν ἀγαπήσεων.

Ἐπάκουσον ὁ Θεός μου! ἐπάκουσόν μου τὸ φῶς τὸ τῶν ὀφθαλμῶν μου! Ἐπάκουσόν μου τῶν αἰτήσεων, καὶ χάρισαί μοι τὸ ὑπὲρ ὧν αἰτοῦμαι σε ἐπακούειν μου! Οἰκτίρμων καὶ πολυέλεε Κύριε, μὴ δή μοι ἀδυσώπητος γένοιο διὰ τῶν ἁμαρτιῶν μου τὸ πλῆθος, ἀλλ᾽ ἕνεκεν τῆς χρηστότητός σου πρόσδεξαί μου τὰς δεήσεις τοῦ δούλου σου, καὶ δώρησαί μοι τῶν αἰτήσεων καὶ τοῦ πόθου μου τὴν ἐκπλήρωσιν, πρεσβευούσης τε καὶ δεομένης ὑπὲρ ἐμοῦ, καὶ ἐκδυσωπούσης σε τῆς ὑπερενδόξου ἀειπαρθένου μητρός σου Μαρίας τῆς Κυρίας μου μετὰ πάντων σου τῶν ἁγίων. Ἀμήν.

ΚΕΦ. ΛΕ.

Δέησις εὐλαβεστάτη, σὺν ὕμνοις, καὶ αἰνέσεσιν.

Κύριε Ἰησοῦ Χριστὲ, ὁ τοῦ Πατρὸς Υἱός τε καὶ Λόγος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, δέομαί σου, διὰ τὰ συμπαθέστατα σπλάγχνα τῶν οἰκτιρμῶν σοῦ ἐπανόρθωσόν μου τὸν βίον, ἀγάθυνόν μου τοὺς τρόπους, διεύθυνόν μου τας πράξεις· ἄφελε ἀπ' ἐμοῦ πᾶν τὸ ἐμοὶ μὲν λυμαινόμενον, σοὶ δ' ἀπαρέσκον, καί μοι παράσχου, ὅ σοὶ μὲν οἶδας εὐάρεστον ὂν, ἐμοὶ δὲ συμφέρον. Τίς δύναται καθαρὸν τὸν ἐξ ἀκαθάρτου γεννηθέντα σπέρματος ἀναδεῖξαι, εἰμὴ σὺ μόνος; Σὺ εἶ ὁ Θεὸς, ὁ ὑπερσθενής τε καὶ ὑπεράγαθος· ὁ δικαιῶν τοὺς παρανομοῦντας, καὶ ζωοποιῶν τοὺς διὰ τὴν ἁμαρτίαν νεκρωθέντας· ὁ τοὺς ἁμαρτάνοντας μετασκευάζων, καὶ οὐκ εἰσίν. Ἆρον τοίνυν ἀπ' ἐμοῦ ὅ,τι δή σοι τῶν ἐν ἐμοὶ ἐστὶν ἀπαρέσκον· τὸ γὰρ πλῆθος τῶν ἐμῶν πλημμελημάτων ὁρῶσιν οἱ ὀφθαλμοί σου. Ἔκτεινον τὴν χεῖρα τῆς περὶ ἐμέ σου ἀγαθωσύνης, καὶ ἄφελε ἀπ' ἐμοῦ πᾶν τὸ τοῖς ὀφθαλμοῖς προσκροῦον τῆς σῆς χρηστότητος· ἐνώπιόν σου, Κύριε, καὶ ἡ ῥῶσις μου πρόκειται καὶ ἡ ἀσθένειά μου· ἐκείνην συντήρησον (δέομαί σου) ταύτην ἐξίασαι.

Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι· σῶσόν με καὶ σωθήσομαι. Σὺ ὁ τὰ ἀσθενῆ θεραπεύων, καὶ τὰ θεραπευθέντα συντηρῶν· σὺ ὁ μόνῳ τῷ νεύματί σου τὰ καταῤῥαχθέντα καὶ κατηρειπότα ἀνασκευάζων. Ἐὰν γὰρ ἀξιώσῃς ἐν τῷ σῷ ἀγρῷ, τῇ καρδίᾳ μου, ἀγαθὸν σπόρον ἐνσπεῖραι, ἀνάγκη πρότερον τὰς τῶν κακιῶν μου ἀκάνθας προθελύμνους ἐκσπάσασθαι. Γλυκύτατε, εὐμενέστατε, πανευνούστατε, προσφιλέστατε, ποθεινότατε, ἐρασμιώτατε, περι-

καλλέστατε· ἐπίχεέ μου τοῖς στέρνοις τὸν γλυκασμὸν τὸν ἐκ τοῦ ἐλέους σου, ὡς ἂν μηδὲν γήϊνον, μηδὲν σαρκῶδες ἐπιθυμῶν ὦ καὶ διανοούμενος, ἀλλ' ἢ σὲ μόνον ἀγαπῴην, σὲ μόνον ἐν τῇ καρδίᾳ φέροιμι, κἀν τοῖς χείλεσιν! Ἐγχάραξον τῷ δακτύλῳ σου ἐπὶ τοῦ ἐμοῦ στήθους τὴν ὑπερηδίστην μνήμην τοῦ μελισταγοῦς σου ὀνόματος, μηδέ ποτε λήθῃ γενησομένην ἐξίτηλον. Ἐπίγραψον ἐπὶ τῶν τῆς ἐμῆς καρδίας πινάκων τὸ σὸν θέλημα, καὶ τὰ σὰ δικαιώματα, ἵνα σὲ τὸν γλυκύτατόν μου Κύριον, καὶ τὰ σὰ ἐντάλματα, πάντοτε καὶ ἁπανταχοῦ πρὸ ὀφθαλμῶν ἔχοιμι. Ἄναψον τὴν ψυχήν μου ἐν ἐκείνῳ σου τῷ πυρί, ὅπερ ἐπὶ τῆς γῆς ἔπεμψας, καὶ σφόδρα ἠθέλησας αὐτὸ ἀνακαίεσθαι, ὡς ἂν σοι θυσίαν πνεύματος κατανενυγμένου, καὶ καρδίας συντετριμμένης ἐν ῥοαῖς δακρύων καθ' ἑκάστην προσάγοιμι.

Χριστέ μου γλυκύτατε, Ἰησοῦ ὑπεράγαθε, καθάπερ ἐφίεμαι; καθὰ ἐξ ὅλης μου τῆς ψυχῆς ἐξαιτοῦμαι, δώρησαί μοι τὴν περὶ σὲ ταύτην ἁγίαν τε καὶ ὑπέραγνον ἀγάπην, ἥ τις ἂν με ἐμπλησαμένη ἐπικατάσχῃ, καὶ ὅλον προσοικειώσηται κατισχύσασα· καὶ ταύτης δὲ σημεῖον ἀρίδηλον παράσχου μοι δακρύων ὀχετοὺς ἀειρρόους· ἵνα καὶ αὐτά μου τὰ δάκρυα ἐπιμαρτυρῇ καὶ τὴν τοιαύτην πρός σέ μου ἀγάπησιν, αὐτὰ ἐμφαίνῃ, αὐτὰ ἐκφράζῃ, ὅσον σοῦ ἐρᾷ ἡ ψυχή μου, ἥ τις διὶ ὑπερβολὴν τοῦ πρὸς σὲ ἔρωτος οὔθ' ἑαυτὴν κατέχειν, ὥστε μὴ δακρυῤῥοεῖν, δύναται.

Ἐπαναμιμνήσκομαι, Δέσποτα πολυεύσπλαγχνε, τῆς χρηστῆς γυναικὸς Ἄννης, τῆς ἐπὶ τὴν σκηνὴν ἐλθούσης ὑπὲρ τεκνογονίας προσεύξασθαι· περὶ ἧς ἡ Γραφὴ διέξεισιν » ὅτι, μετὰ τὰ δάκρυα » καὶ τὰς δεήσεις, τὸ πρόσωπον αὐτῆς οὐκέτι συνέπεσεν· ἀλλὰ γὰρ ἐμὲ αὐτὸν, καὶ ἀρετῆς τοσαύτης, καὶ τηλικαύτης στεῤῥότητος μεμνημένον, στρεβλοῖ τὸ συνειδὸς καὶ συνεκταράττει, ὅτι ταύτης ἐμαυτὸν συνορῶ ὁ τάλας πολὺ κάτω κείμενον. Εἰ γὰρ οὕτως ἔκλαυσε, καὶ οὕτως ἐνεπέμεινε κλαίουσα γυνὴ υἱὸν αἰτουμένη, πόσον ἄρα θρηνεῖν, καὶ τῷ κλαυθμῷ ἐπιδιατρίβειν ὀφείλει ἡ ἐμὴ ψυχή, Θεὸν

ζητοῦσα τε καὶ ἀγαπῶσα, καὶ αὐτῷ προσοικειοῦσθαι δι' ἐφέσεως ἔχουσα; ὅπως γοᾶσθαι ὀφείλει καὶ ἀπολοφύρεσθαι ἡ τοιάδε ψυχὴ, ἡ Θεὸν αἰτοῦσα νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ πλὴν τοῦ Χριστοῦ, μηδενὸς ἑτέρου ἐρᾷν ἐθέλουσα; Θαῦμα δή που ἂν εἴη, ἣν μὴ ἐφημερινὸς αὐτῇ καὶ ἐπινύκτιος ἄρτος τὰ δάκρυα γένοιτο. Ἐπίβλεψον τοίνυν ἐπ' ἐμὲ, Κύριε, καὶ ἐλέησόν με, ὅτι αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν. Παράσχου μοι τὴν οὐράνιόν σου παραμυθίαν, μηδ' ἁμαρτήμασιν ἐνεχομένην ψυχὴν παρίδοις, ὑπὲρ ἧς καὶ θανεῖν κατηξίωσας. Δός μοι δάκρυα, δέομαι, ἐξ ὅλης μου ἔσωθεν τῆς καρδίας ἀναποδύοντα, τὰ τὰς σειρὰς τῶν ἐμῶν ἁμαρτημάτων λῦσαι δυνάμενα, καὶ ἀγαλλιάσεως οὐρανίου τὴν ἐμὴν ψυχὴν διηνεκῶς ἐμπιπλῶντα· ὅπως ἂν, εἰμὴ τοῖς γνησίοις τε καὶ ἀκριβεστέροις τῶν μοναζόντων (ὧν τοῖς ἴχνεσι παρακολουθῆσαι οὐκ ἔχω) ταῖς γοῦν ὁσίαις τῶν γυναικῶν συμμετασχεῖν πηλικησοῦν τῆς μερίδος ἐν τῇ βασιλείᾳ σου γένωμαι ἄξιος.

Ἔπεισί μοι παραπλησίως καὶ γυναικὸς ἑτέρας τὴν ὁσιότητα διενθυμεῖσθαι, τῆς ἐν τάφῳ σε τεθέντα ἐκθύμως ἀναζητούσης· ἥ τις καὶ τῶν Ἀποστόλων αὐτῶν ἀποχωρησάντων, αὐτὴ οὐδαμῶς ἀφίστατο, ἀλλ' ἐπὶ πολὺ ἀπολοφυρομένη εἱστήκει παρὰ τῷ μνημείῳ περίλυπος καὶ κατώδυνος· εἶτ' ἐξαναστᾶσα, δάκρυσί τε περιῤῥεομένη πολλοῖς, πάλιν τε καὶ πάλιν τὰ τοῦ κενωθέντος τύμβου ἄντρα ὄμμασιν ἐγρηγορόσιν ἐπήρχετο πολυπραγμονοῦσα, εἴποθί σε κατίδοι τὸν ὑπερζέοντι πόθῳ ἀναζητούμενον. Πάντως γὰρ δήπου, αὐτὴ ἅπαξ τε καὶ δεύτερον τὸ μνημεῖον εἰσῄει περιαθροῦσα· διαφερόντως ἀλλ' οὖν ὑπὸ τῆς ἀγάπης συνεχομένη, τοσοῦτον αὐτῇ οὐκ ἤρκει· καλὸν γὰρ τὸ ταῖς χρησταῖς ἐγχειρήσεσιν ἐνεπιμένειν· ἡ δὲ, ὅτι ὑπὲρ τοὺς πολλοὺς ἠγάπησε, καὶ ἀγαπῶσα ἔκλαυσε, καὶ κλαίουσα ἐπεζήτησε, καὶ ζητοῦσα προσεπιδιέμεινε· διὰ δὴ τοῦτο καὶ πρώτη εὑρεῖν σε, καὶ κατιδεῖν, καὶ συλλαλῆσαι σοὶ κατηξίωται.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοῖς τοῖς Μαθηταῖς αὕτη τῆς σῆς ἐνδόξου ἀναστάσεως ἀνεδείχθη προάγγελος σοῦ κελεύσαντος,

καὶ φιλανθρώπως ὑποβαλόντος : » Πορεύου, καὶ εἰπὲ τοῖς ἀδελφοῖς » μου ἀπελθεῖν εἰς τὴν Γαλιλαίαν, ἐκεῖ με ὄψονται. » Εἰ τοίνυν οὕτως ἐγένετο κλαίουσα, καὶ τῷ κλαυθμῷ προσενδιατρίβουσα ἡ γυνὴ, ἡ ἐν νεκροῖς σὲ τὸν ζῶντα ἐπιζητοῦσα, καὶ σοῦ ἐφαπτομένη τῇ χειρὶ τῇ ἐκ πίστεως, πόσον ἄρα εἰκός ἐστι κλαίειν, καὶ τῷ κλαυθμῷ ἐπιμένειν τὴν ψυχὴν τὴν τὸν ἑαυτῆς σωτῆρα καὶ λυτρωτὴν, τὸν οὐρανοῖς ἤδη ἑδριάζοντα, καὶ ἐπὶ πάντων βασιλεύοντα, καρδίᾳ τε πιστεύουσαν, καὶ στόματι καθομολογοῦσαν; πόσον ἐπιγοᾶσθαι καὶ κατοδύρεσθαι ἡ τοιάδε ψυχὴ οὐκ ὀφείλει, ἡ ἐξ ὅλης μὲν τῆς καρδίας σὲ ἀγαπῶσα, ἐξ ὅλης δὲ τῆς διανοίας σὲ ἐπιποθοῦσα θεάσασθαι, τὸν μόνην ὄντα καταφυγὴν τῶν ἀθλίων, καὶ μόνην ἐλπίδα, ὅν ἄνευ τοῦ ἐλεηθήσεσθαι ἐπελπίζειν, οὔποτ' ἄντις καθικετεύσειεν;

Δός δή μοι τήνδε τὴν χάριν διὰ σὲ αὐτὸν, Κύριε, καὶ διὰ τὸ ὄνομά σου τὸ ἅγιον! ἵν' ὁσάκις ἐγὼ περὶ σοῦ τυγχάνω ἐννοῶν, περὶ σοῦ λέγων, περὶ σοῦ γράφων, περὶ σοῦ ἀναγινώσκων, περὶ σοῦ διασκοπούμενος, ὁσάκις σου διαμνημονεύω, καὶ ἐνώπιόν σου παρίσταμαι θυσίαν αἰνέσεώς τε καὶ ἱκεσίας προσάγων, τοσαυτάκις ὄμβρους δακρύων ἐμοὶ ἐπιγινομένων, δαψιλῶς τε καὶ ἡδέως ἐκχέοιμι· ὥστε νυκτὸς καὶ ἡμέρας τὰ δάκρυά μου γίνεσθαί μοι τὸν ἄρτον μου· Σὺ γὰρ ὁ Βασιλεὺς τῆς δόξης, καὶ ὁ ἀρετῆς ἁπάσης καθηγεμὼν, ἐδίδαξας ἡμᾶς καὶ λόγῳ, καὶ ὑποδείγματι θρηνεῖν τε καὶ ἐποδύρεσθαι: » Μακάριοι (εἰπὼν) οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρα» κληθήσονται. » Σὺ ἐπὶ τῷ φίλῳ σου ἔκλαυσας τεθνηκότι, καὶ ἐπὶ τῇ ἀπολουμένῃ δὲ πόλει πολλὰ ἐδάκρυσας.

Δέομαι οὖν σου, Ἰησοῦ πανάγαθε, δι᾽ ἐκεῖνα σου τὰ πολύτιμα δάκρυα, καὶ διὰ πάντας τοὺς οἰκτιρμούς σου, ἐν οἷς ἡμῶν τῶν ἀπολωλότων ἀντιλαβέσθαι θαυμασίως ἠξίωσας, δός δή μοι τὴν τῶν δακρύων ταύτην χάριν, ἧς λίαν ἐπιθυμεῖ καὶ ἐφίεται ἡ ψυχή μου· ταύτην γὰρ μὴ σοῦ δωρησαμένου, ἀπ' ἐμαυτοῦ ἔχειν οὐ δύναμαι, ἀλλ' ἢ διὰ τοῦ ἁγίου σου πνεύματος, τοῦ τὰς καρδίας μαλ-

θάσσοντος τῶν ἐξαμαρτανόντων, καὶ εἰς τὸ θρηνεῖν κατανύγοντος. Δός μοι τὴν τῶν δακρύων χάριν, ὡς αὐτὴν ἔδωκας τοῖς Πατράσιν ἡμῶν, ὧν με δέον διὰ μιμήσεως τοῖς ἴχνεσιν ἕπεσθαι, διὰ παντὸς τοῦ βίου ἐμαυτὸν ἀπολοφυρόμενον, ὥσπερ ἑαυτοὺς ἐκεῖνοι διὰ νυκτὸς καὶ ἡμέρας ἐνδελεχῶς ὑπῆρχον κατοδυρόμενοι· ταῖς ἐκείνων αὐτῶν πρεσβείαις τῶν εἰς σὲ εὐαρεστησάντων, καὶ σοὶ πιστῶς δουλευσάντων, οἴκτειρον κἀμὲ τὸν ἐς ἄγαν ἐλεεινὸν καὶ ἀνάξιον δοῦλόν σου· δώρησαι κἀμοὶ τόδε τοῦ ἐνδελεχῶς δακρύειν τὸ χάρισμα, δός μοι τὴν τοιαύτην ἀρδείαν, ἄνωθέν τε καὶ κάτωθεν ὄμβροις δακρύων κἀμὲ ἀναδείξας ἐπαρδευόμενον: Ἵν' οὕτω τὰ τοιαῦτα δάκρυα γένοιτό μοι νυκτὸς καὶ ἡμέρας ὁ ἄρτος μου, καὶ παραστῶ κατενώπιόν σου, ὁ Θεός μου, διὰ τοῦ πυρὸς τῆς συντριβῆς, ὡς ὁλοκαύτωμα πῖον καὶ μεμυελωμένον, ἐπὶ τοῦ τῆς ἐμῆς καρδίας θυσιαστηρίου σφαγιασθὲν, καὶ πιμελῆς καὶ στέατος ἀνάμεστον προσδεχθὲν, εἰς ὀσμὴν εὐωδίας σοὶ προσφερόμενον.

Δός μοι, γλυκύτατε, πηγὴν τοιαύτην ἀειῤῥουν, πηγὴν καθαρὰν, ἐν ᾗ τόδε μου τὸ καταμολυνθὲν ὁλοκαύτωμα ἐκπλυνθὲν σοι προσάγοιτο. Εἰ γὰρ, τῆς σῆς μοι συνεπαρηγούσης χάριτος, ἐμαυτὸν ὅλον ἐγκαθιέρωσα, ἀλλ' ἐν πολλοῖς ὁσημέραι προσκρούω ἐξαμαρτάνων διὰ τὸ ὑπερβάλλον τῆς ἐμῆς ἀβληχρότητος· χάρισαί μοι τοίνυν τῶν δακρύων τὴν χάριν ὁ εὐλογητὸς Θεὸς καὶ ὑπεράγαθος, καὶ τῇ γλυκύτητι μάλιστα τῆς σῆς ἀγάπης, καὶ τῇ ἐπαναμνήσει τῶν οἰκτιρμῶν σου ἑτοίμασόν μοι ταύτην τὴν τράπεζαν ἐνώπιόν σου, καὶ ἐνίσχυσόν με ἐξ αὐτῆς, ὁσάκις ἂν βουλοίμην, κορέννυσθαι.

Δίδου μοι κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου καὶ τοῦ ἐλέους σου, ἵνα τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον, ἄδην ἐπικορεννύῃ τὴν δίψαν μου· ὅπως ἂν πρὸς σὲ ἐπιχαίνῃ τὸ πνεῦμα μου, καὶ πρὸς τὴν σὴν ἀγάπησιν περιφλέγηται ἡ διάνοιά μου, ἐπιλησθεῖσα πάσης ματαιότητός τε καὶ ἀθλιότητος. Εἰσάκουσον ὁ Θεός μου! εἰσάκουσον ὁ φωτισμός μου! εἰσάκουσον ὑπὲρ ὧν αἰτοῦμαι σε, καὶ δὸς αἰτεῖσθαί με ὑπὲρ ὧν εἰσακούσαις μου, ὦ πανοικτίρμον

καὶ ἐξιλάλλακτε Κύριε! Μηδέ μοι γένοιο ἀδυσώπητος διὰ τὰς πολλάς μου ἁμαρτίας, ἀλλ' ἕνεκεν τῆς χρηστότητός σου προσδέξαιο τὰς ἱκεσίας τοῦ δούλου σου, καὶ πληρώσαις τὰς αἰτήσεις ὧν περ ἐφίεμαι, πρεσβείᾳ καὶ χάριτι τῆς ὑπερενδόξου παρθένου Μαρίας τῆς Κυρίας μου, καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

ΚΕΦ. Λϛ.

Διὰ ταύτης τῆς ἱκεσίας ἐπὶ πλεῖον ἡ ψυχὴ κατανύγεται, ἀναγινωσκομένης ἐν ἡσυχίᾳ.

Ἰησοῦ, Κύριέ μου, Ἰησοῦ πανοικτίρμον, Ἰησοῦ ἀπειράγεθε, ὁ θανεῖν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καταδεξάμενος, καὶ ἀναστὰς ὑπὲρ τῆς ἡμῶν δικαιώσεως· αἰτοῦμαί σε διὰ τὴν σὴν ἀνάστασιν τὴν ὑπερένδοξον, ἐξανάστησόν με ἀπὸ τοῦ τάφου πασῶν τῶν πλημμελειῶν καὶ ἀνομιῶν μου, καὶ μέρος μοι καθ' ἑκάστην ἐν προλαβούσῃ ἀναστάσει παράσχου, ἵνα ἄξιος γένωμαι καὶ μερίδος τυχεῖν ἀληθῶς τῆς σῆς ἀναστάσεως. Ὦ γλυκύτατε, εὐμενέστατε, πανευνούστατε, χαριτόβλυτε, ὑπερτιμιώτατε, ὑπερπόθητε, ὑπεραγάπητε, ὑπερκάλλιστε, ὅς ἀνῆλθες εἰς οὐρανὸν θριαμβεῦσαι ἐν τῇ δόξῃ σου, καὶ καθῆσαι ἐν δεξιᾷ τοῦ Πατρὸς, ἅτε Βασιλεὺς κραταιότατος· ἀνέλκυσον δή με ἄνω πρὸς σὲ, ἵν' εἰς τὴν ὀσμὴν τῶν σῶν μύρων δράμω ὀπίσω σου. Δραμοῦμαι πάντως, καὶ οὐκ ἐλλείψω σοῦ ἀνελκύοντος, σοῦ τρέχοντα ὁδηγοῦντος. Ἕλξαι στόμα ψυχῆς διψώσης σε, ἐπὶ τὰ ὑπερκόσμια τοῦ αἰωνίου κόρου σου χεύματα: μᾶλλον δὲ πρὸς σὲ αὐτὸν ἕλξαι με τὴν πηγὴν τὴν ζῶσαν, ἵνα, κατὰ τὸ ἐγχωροῦν ἐμοὶ, ἐξ αὐτῆς πίωμαι, ὅθεν ἂν ἐς ἀεὶ ζήσωμαι, ὁ Θεός μου, ἡ ζωή μου!

Σὺ γὰρ Δέσποτα, ἐν τῷ ἁγίῳ καὶ εὐλογητῷ στόματί σου εἶπας: Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω: ὢ ἡ πηγὴ, ἡ τὴν ζωὴν βρύουσα, δὸς ψυχῇ διψώσῃ ἐς ἀεὶ ἀπὸ σοῦ πίνειν, ἵνα κατὰ τὴν σὴν ἁγίαν τε καὶ ἀψευδεστάτην ἐπαγγελίαν, ἐκρεύσωσιν ἐκ τῆς ἐμῆς κοιλίας ὕδατα ζῶντα! Ὦ ἡ πηγὴ τῆς ζωῆς, ἔμπλησον τὴν διάνοιάν μου ἐκ τοῦ χειμάῤῥου τῆς τρυφῆς σου· μέθυσόν μου τὴν καρδίαν τῇ τῆς σῆς ἀγαπήσεως νηφαλίῳ τε καὶ σώφρονι μέθῃ, ὡς ἂν τῶν ματαίων ἐπιλάθωμαι καὶ γηίνων, καί σε ἀδιαλείπτως διὰ μνήμης ἔχων εὐφραίνωμαι, κατὰ τὸ γεγραμμένον » ἐμνήσθην τοῦ Θεοῦ καὶ ηὐφράνθην. »

Δός μοι τὸ σὸν ἅγιον πνεῦμα, ὅπερ ἐκεῖνα ὑπεδήλουν τὰ ὕδατα, ἅτινα τοῖς διψῶσι διδόναι ὑπέσχου! δὸς ὁλοκλήρῳ τῷ πόθῳ, καὶ σπουδῇ πάσῃ με σπέρχειν, ἔνθα μεθ' ἡμέρας τεσσαράκοντα ἀπὸ τῆς ἀναστάσεως, πιστεύομέν σε ἀναβεβηκέναι· ἵν' ἐπὶ τῆς παρούσης ἀθλιότητος, μόνῳ μὲν ὢ κάτοχος τῷ σώματι, μετὰ σοῦ δὲ διὰ παντὸς τῷ λογισμῷ καὶ τῇ προθυμίᾳ ὑπάρχω· ἵν' ἐκεῖ ἡ καρδία μου ᾖ, ἔνθα σὺ ὑπάρχεις ὁ θησαυρός μου, ὁ ποθεινὸς καὶ ἀσύγκριτος, καὶ σφόδρα μοι περισπούδαστος. Ἐν γὰρ τῷ μεγάλῳ τῷδε κατακλυσμῷ τοῦ ἐνεστῶτος βίου, ἐν ᾧ ὑπὸ τῶν περιϊσταμένων τρικυμιῶν καταδονούμεθα, ἔνθα κατάστασις οὐδεμία ἑδραία καὶ ἔμπεδος, οὐθ' ὑπερκύπτον χωρίον ἐστὶν, οὗ ἂν οἱ πόδες ἔχοιεν οἱ τῆς περιστερᾶς ἐπερείσασθαι, οὐδαμοῦ ἡμῖν ἀσφαλὴς ἡ εἰρήνη, οὐδαμοῦ ἀτρεμὴς ἡ ἀνάπαυσις· πανταχοῦ μάχαι καὶ ἔρεις, πανταχοῦ οἱ ἐχθραίνοντες: ἔξωθεν πόλεμοι, ἔσωθεν φόβοι.

Ἐπειδὴ δὲ θάτερον μὲν οὐρανοῦ, θάτερον δὲ γῆς ἀπόμοιρα οἱ βροτοὶ πεφύκαμεν, σῶμα δὲ τὸ φθειρόμενον τῇ ψυχῇ ἐπιβρίθει; ἔνθεντοι ἡ ἐμὴ ψυχὴ ἡ συγκοινωνὸς ἐκείνῳ καὶ συνήθης, ἔγκοπος ἤδη ἀπὸ τῆς ὁδοῦ, καὶ ἀπειρηκυῖα, ἐξητόνησέ τε καὶ κεῖται πάρετος· διασχισθεῖσα δὲ, καὶ κατασπαραχθεῖσα ταῖς ματαιότησι, δι' ὧν διῆλθε, σφοδρῷ συνέχεται λιμῷ τε καὶ δίψει· οὐδ' εὐπορῶ ὅ,τι καὶ αὐτῇ παραθήσομαι: ἐπεὶ πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.

Σὺ οὖν, Κύριε, ὁ ἀγαθοῖς ἅπασι βρύων, ὁ τῶν ὑπερκειμένων ἑστιάσεων περιούσιος δαιτυμὼν, δὸς δὴ τῷ λιμώττοντι βρῶσιν, συνάγαγε τὸν κατασκεδασθέντα, συνούλωσον τὸν διασχισθέντα! Ἰδοὺ ἔστηκε πρὸ τοῦ σοῦ πυλῶνος καὶ κρούει, Ἐκλιπαρῶ σε διὰ τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου, ἐν οἷς, ἀνατολὴ φανεὶς ἡ ἐξ ὕψους, ἡμᾶς ἐπεσκέψω· ἄνοιξον τῷ οἰκτρῷ γε κρούοντι, ἐκτείνας τὴν χεῖρα τοῦ ἐλέους σου· καὶ εὐΐλατος αὐτῷ γενέσθαι καταξιώσας, κέλευσον ἵνα εἰσέλθοι πρὸς σὲ, ἀναπαυθείη ἐν σοὶ καὶ ἐπαναψυχθείη, ἐπισιτισθεὶς ἐκ σοῦ τοῦ ἄρτου τοῦ οὐρανίου καὶ ζῶντος· ὅπως ἂν κορεσθείς τε καὶ ἐπιῤῥωσθεὶς, ἐπὶ τὰ ἀνώτερα ἔτι προέλθοι, καὶ τὴν κοιλάδα ταύτην ὑπερβὰς τοῦ κλαυθμῶνος, καὶ πτερώματι ἀφαρπαγεὶς πόθου ἐνθέου, ἐπὶ τὴν βασιλείαν πετασθείη τὴν ἐπουράνιον.

Προσλαβέτω, Κύριε, προσλαβέτω (δέομαί σου) πτέρυγας, ὡς ἀετοῦ τὸ ἐμὸν πνεῦμα, καὶ πετασθήτω, καὶ μὴ ἐκλειπέτω. Πετασθήτω δὴ καὶ ἐφικέσθω ἄχρι τῆς εὐπρεπείας τοῦ οἴκου σου, καὶ ἕως τόπου σκηνώματος δόξης σου, ἵνα ἐφ' ἧς εὐωχοῦνται τραπέζης οἱ πολῖται οἱ ὑπερκόσμιοι, καὶ αὐτὸ τὸ ἐμὸν πνεῦμα μετάσχοι τῆς τῶν σῶν ἀποῤῥήτων νομῆς, ἐν τόπῳ χλόης, παρὰ τὰ ἐκεῖ προῤῥέοντα δαψιλέστατα νάματα· ἀναπαυθείη ἐν σοὶ τῷ Θεῷ μου ἡ καρδία μου. Ἡ καρδία μου, τὸ πέλαγος τὸ μέγα, τὸ ἐξωδηκὸς ἐν φαληριῶσι τοῖς κύμασι· σὺ ὁ τῇ καταιγίδι ἐπιτάξας, καὶ ἔστη εἰς αὔραν, βημάτισον ἐπὶ τῶν κυμάτων τῆς καρδίας μου, ἵνα κοπάσῃ, καὶ εἰς γαλήνην τε καὶ εὐδίαν καταστῇ τὰ ἐμὰ ἅπαντα, ὥστε σοῦ τε καὶ μόνου τοῦ ἐμοὶ ἀγαθοῦ ὄντος, περιπτύσσεσθαί με καὶ περιέχεσθαι, καὶ σὲ τὸ τῶν ὀφθαλμῶν μου γλυκύτατον φῶς ἐπιθεωρεῖν, τῆς τυφλῆς ὁμίχλης ἀπαλλαγέντα τῶν πολυταράχων διενθυμήσεων. Καταφευγέτω δὴ ἡ ψυχή μου ὑπὸ τῇ τῶν πτερύγων σου σκέπῃ, Κύριε, ἀπὸ τῆς ζάλης τῶν διαλογισμῶν τοῦ αἰῶνος τούτου, ἵνα τῇ παρὰ σοῦ ἀναψύξει ἐπηλυγαζομένη γηθοσύνως ἐπᾴδῃ λέγουσα ὁ Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.»

Κοιμηθήτω, ἀντιβολῶ, Κύριε ὁ Θεός μου, ὑπνωσάτω ἡ ἐμὴ μνημοσύνη, ἀπὸ παντὸς κακοῦ ἀπαργήσασά τε καὶ σχολάσασα· ἀδικημάτων ἀποστρεφέσθω, τηρείτω τὰ δίκαια· τί γὰρ κάλλιον, τί δ' ἥδιον αὐτῇ γένοιτο, ἢ ἐν τῇ παρούσῃ σκοτομαίνῃ τοῦ βίου, καὶ ταῖς τούτῳ ἐπιπολαζούσαις πικρίαις, πρὸς τὴν ἐκ Θεοῦ γλυκύτητα ἐπιχαίνειν, καὶ ἐπιστενάζειν ὀπίσω τῆς παραταθησομένης εἰς αἰῶνας μακαριότητος; κἀκεῖσε ὁλοψύχως προσέχειν, ἔνθα βεβαίως τῶν ἀληθινῶν ἐστὶν ἀπολαύειν τέρψεων; Γλυκύτατε, εὐμενέστατε, πανευνούστατε, χαριτόβλυτε, ποθεινότατε, ὑπεραγάπητε, ὑπερκαλλέστατε, πότε δή σε ὄψομαι; πότε τῷ προσώπῳ σου παραστήσομαι; πότε τοῦ κάλλους τοῦ σοῦ χορτασθήσομαι; πότε τῆς ζοφερᾶς με ταύτης φυλακῆς ἐξάξεις, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, ὡς μηκέτι μοι δεῖν τοῦ λοιποῦ συντριβῆς τε καὶ κατανύξεως;

« Πότε μεταβήσομαι ἐπὶ τὸν θαυμαστὸν ἐκεῖνον καὶ ὡραιότατον » οἶκόν σου, ἐν ᾧ ἠχεῖ φωνὴ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως, ἐν » σκηναῖς δικαίων; Μακάριοι οἱ κατοικοῦντες ἐν αὐτῷ σου τῷ οἴκῳ, » Κύριε, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Ὡς μάκαρες, » καὶ ὄντως παμμάκαρες, οὓς ἐξελέξω καὶ προσελάβου εἰς τὴν οὐ- » ράνιον ἐκείνην κληρονομίαν σου· » Ἰδοὺ, Κύριε, οἱ ἅγιοί σου ὡσεὶ κρῖνα ἐνώπιόν σου ἀνθοῦσιν. Ἐμπίπλανται γὰρ τῆς πιότητος τοῦ οἴκου σου, καὶ ἐκ τοῦ χειμάῤῥου τῆς τρυφῆς σου αὐτοὺς ποτίζεις. »Σὺ γὰρ εἶ ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν τῷ φωτί σου ὀπτάνονται φῶς,» ὥστε καὶ αὐτοὺς καθεστῶτας φῶς, τὸ ὑπὸ σοῦ δηλονότι φωτισθὲν τοῦ Θεοῦ τοῦ φωτίσαντος τὸν κόσμον, ἐξαστράπτειν τῇ ὄψει καθάπερ ἥλιος. » Βαβαὶ! ὡς θαυμαστὰ, ὡς ὡραῖα, ὡς ἀγαπητὰ τὰ σκη- » νώματά σου, Κύριε τῶν δυνάμεων! ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ἁμαρ- » τωλὸς ψυχή μου εἰς αὐτὰ εἰσιέναι. Κύριε, ἠγάπησα εὐπρέπειαν » οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. »

» Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω· τοῦ κατοι- » κεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὡς ἐπι- » ποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ

» ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προ-
» σώπῳ τοῦ Θεοῦ ; » πότε ἐπόψομαι τὸν Θεόν μου , ὅν ἐδίψησεν ἡ ψυχή μου ; πότε αὐτὸν θεάσομαι ἐν τῇ γῇ τῇ τῶν ζώντων ; ἐπὶ γὰρ τῆς τῶν θνησκόντων γῆς τῆσδε , οὐκ ἂν ὁραθείη θνητοῖς ἐν ὄμμασι · τί οὖν δράσω ὁ ἐλεεινὸς ἐγώ; ὁ πεπεδημένος τῷ βάρει τῶν πέδων τῆς ἐμῆς θνητότητος ; τίποτε ῥέξω ; Ἕως οὗ ἐσμὲν ἐν σώματι, ἀποδημοῦμεν ἀπὸ τοῦ Κυρίου · » Οὐκ ἔχομεν δὲ ὧδε μένου-
» σαν πόλιν , ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν · τὸ δὲ πολίτευμα
» ἡμῶν ἐν οὐρανοῖς ἐστίν.»

» Οἴ μοι , ὅτι ἡ παροικία μου ἐμακρύνθη ! κατεσκήνωσα μετὰ
» τῶν σκηνωμάτων Κηδάρ · πολλὰ παρῴκησεν ἡ ψυχή μου · τίς
» δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς , καὶ πετασθήσομαι , καὶ
» καταπαύσω ; οὐδὲν ἐστί μοι οὕτως ἡδὺ , ὡς τὸ σὺν τῷ Κυρίῳ μου
» εἶναι. Ἐμοὶ γὰρ ἀγαθὸν ἐστὶ τὸ τῷ Θεῷ προσκολλᾶσθαι. Παρά-
» σχου μοι , Κύριε , τὸ, ἐφ' ὅσον τοῖς ἐπικήροις συνέσται μέλεσι ,
» προσκολλᾶσθαι γοῦν σοι , ὡς γέγραπται ! ὅτι ὁ κολλώμενος τῷ
» Κυρίῳ, ἓν Πνεῦμα ἐστὶ σὺν αὐτῷ » Δός μοι, Κύριε, πτερὰ θεωρίας,οἷς πτερωθεὶς ἄνω πετασθήσομαι· Ἐπεὶ δέ τοι ἅπαν εὐώνυμον κάτω που κεῖται , ἐπίσχες μου τὴν ψυχὴν , μή ποτε εἰς τὰ ἔσχατα τῆς ζοφώδους ἀποκαταῤῥεύσῃ κοιλάδος· μή, τῆς γαιηρᾶς προσεγχωρούσης ἀχλύος , ἀπὸ σοῦ τοῦ τῆς δικαιοσύνης ἡλίου ἀποζευχθείη , καὶ τῆς ἐκ τῶν σκιῶν ἐπισκοτησάσης ὁμίχλης , ἀπειρχθείη τοῦ ἐπὶ τὰ ὑψηλὰ ἀναβλέψαι. Διὰ τοῦτο τοίνυν ἀνατείνομαι ἐπὶ τὰ τερπνὰ τῆς εἰρήνης , καὶ πρὸς τὴν ἐν τῷ φωτὶ πανευφρόσυνον ἐκείνην καὶ γαληνοτάτην κατάστασιν.

Ἐν τῇ χειρί σου κάτεχε τὴν καρδίαν μου · σοῦ γὰρ ἄνευ , οὐχ οἵα τε ἐστὶν ἐπὶ τὰ ὑψηλότερα ἀναρπάζεσθαι. Ἐκεῖσε σπεύδω , ὅπου ἀκροτάτη μὲν ἡ εἰρήνη ἀνάσσει , διηνεκὴς δὲ ἡ εὐδία ἐκπυρ-ῥάζει. Κάτεχε καὶ διεύθυνόν μου τὸ πνεῦμα , κατὰ τὸ σὸν ἀνειλικρινὲς... φῶς βούλημα · ἵνα , σοῦ ὁδηγοῦντος , ἐπὶ τὴν πανεύφορον χώραν ἀνέλθῃ , ὅπου αὐτὸς ἐστὶν ὁ ποιμαίνων τὸν Ἰσραὴλ ἐν νομῇ ἀλη-

θείας · ἵν' ἐκεῖ ἐν ἁρπαλέᾳ γοῦν τῇ διανοήσει, ἐπιδράξαιτό σου τῆς ὑπερτάτης σοφίας τῆς ἀνὰ πάντα χωρούσης, διὰ πάντων διαβαινούσης, πάντα διακυβερνώσης. Ἢ που δὲ οὕτω πρὸς σὲ τὴν ψυχήν μου πτερυσσομένην πολλά ἐστι τὰ διαθορυβοῦντα καὶ ἐκταράττοντα · ἀλλὰ γὰρ τῷ σῷ κελεύσματι, Κύριε, πάντα μοι κατασιγασθήσεται. Αὐτὴ μόνον καθ' ἑαυτὴν ἡ ψυχή μου σιγάτω, πάντα παρελθέτω, πάνθ' ὅσα κτιστὰ ὑφέστηκεν ὑπερβαινέτω, καὶ πρὸς σὲ προσίτω, πρὸς σὲ μόνον τὸν δημιουργὸν τῶν ἁπάντων τοὺς ὀφθαλμοὺς τοὺς ἐκ πίστεως στηριζέτω · πρὸς σὲ ἐπιχαινέτω, σοὶ ἐνατενιζέτω, σὲ διασκοπείτω, σὲ ἀναθεωρείτω, σὲ πρὸ ὀφθαλμῶν ἑαυτῆς ἐς ἀεὶ τιθέτω, σὲ ἐκ καρδίας ἀνακαλείτω ὅλης, τὸ ἀγαθὸν τὸ ἀληθινὸν καὶ ὑπέρτατον, τὸ ἀγαλλίαμα τὰ διαμενοῦν τέλους ἐπέκεινα.

Πλείονες μέν εἰσι θεωρίαι, ἐν αἷς ἡ ψυχή, ἥτις ἂν σοὶ καθιερῶτο, θαυμασίως ἐκτρέφοιτο · ἀλλ' ἐν οὐδεμιᾷ τούτων οὕτως ἡ ψυχή μου ἐνήδεται καὶ ἀναπαύεται ὡς ἐν σοί, ὅτε σὲ καὶ μόνον διανοεῖται καὶ διασκέπτεται. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε! ὡς θαυμαστῶς ταῖς τῶν ἀγαπώντων σε καρδίαις ἐμπνέεις! ὡς ὑπερφυὴς ἡ γλυκύτης τῆς σῆς ἀγάπης, ἧς ἀπολαύουσιν οἱ μηδὲν ἀγαπῶντες πλὴν σοῦ, μηδὲν ἄλλο ζητοῦντες, μηδὲ νοεῖν ἐφιέμενοι! Εὐδαίμονες ὅσοις σὺ μόνος εἶ ἡ ἐλπίς, ὧν ἅπαν τὸ ἔργον ἐστὶ τὸ προσεύχεσθαι! Μακάριος ὁ ἐρημικὸς καὶ ἡσυχαστής, ὁ ἀδιαλείπτως ἐπὶ τῆς ἰδίας ἑαυτοῦ φυλακῆς ἑστὼς νυκτὸς καὶ ἡμέρας, ὁ κἂν τῷδε προσέτι τῷ ἐπικήρῳ σαρκίῳ τοῦ γλυκασμοῦ σου ὁπωσοῦν προαπογευόμενος!

Δέομαί σου, δι' ἃς ὑπὲρ τῆς σωτηρίας ἡμῶν ζωοπαρόχους ὑπήνεγκας πληγάς, δι' ὧν τὸ πολύτιμον ἐκεῖνο ἐξεπήγασεν αἷμα, ἐν ᾧ ἐξηγοράσθημεν τιμῆς, τρῶσόν μου τήνδε τὴν φιλαμαρτήμονα ψυχήν, ἧς χάριν καὶ θανεῖν εἵλου · τραυμάτισον αὐτὴν τῷ πεπυρωμένῳ καὶ ἰσχυροτάτῳ βέλει τῆς ὑπερβαλλούσης σου ἀγαπήσεως · » Ζῶν γάρ ἐστιν ὁ τοῦ Θεοῦ λόγος, καὶ δραστήριος, καὶ πάσης

» ῥομφαίας διστόμου τομώτερος. » Σὺ τὸ τόξον τὸ ἐκλεκτὸν, καὶ ἡ ὀξυτάτη ῥομφαία, ἡ διὰ τοῦ κατασκλήρου θυρεοῦ τῆς ἀνθρωπίνης καρδίας διϊκνεῖσθαι ἰσχύουσα τῇ δυνάμει σου· ἐνδιάπειρόν μου τὴν καρδίαν τῷ βελέμνῳ τοῦ πόθου σου, ἵνα λέγῃ πρὸς σὲ ἡ ψυχή μου· τετρωμένη τῇ περὶ σὲ ἀγάπῃ εἰμί· ὥστε μοι κἀκ τοῦ τοιοῦδε τραύματος τῆς πρὸς σὲ ἀγάπης ἀποῤῥεῖν δαψιλῶς ἀπ᾽ ὀφθαλμῶν μου νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν τὰ δάκρυα.

Πάταξον, Κύριε, πάταξον (δέομαί σου) ταύτην μου τὴν κατασκληρυνθεῖσαν ψυχὴν τῇ ἀκμαίᾳ τε καὶ εὐσπλάγχνῳ αἰχμῇ τῆς σῆς ἀγαπήσεως, καὶ βαθύτερον εἰς τὰ ἐνδότερά μοι διὰ τῆς ὑπερφυοῦς σου δυνάμεως χωρήσας, ἐξάγαγε ἐκ τῆς κεφαλῆς μου ὕδωρ ἄφθονον, ὥστε δακρύων πηγὰς ἀειῤῥόους ἀποῤῥαγῆναι ἀπὸ τῶν ὀφθαλμῶν μου, διακαεστάτῳ ἔρωτι καὶ πόθῳ συνεχομένου τῆς ὑπερκαλλίστης σῆς θέας· καὶ οὕτω τοίνυν ποίησόν με κλαίειν ἀκαταπαύστως, μηδεμίαν ἐπὶ τοῦ παρόντος βίου παραμυθίαν ἐπιδεχόμενον, ἄχρις οὗ ἐν τῷ ἐπουρανίῳ σου θαλάμῳ καταξιωθείην ἰδεῖν σὲ τὸν Νυμφίον τὸν κάλλει ὡραῖον, καὶ Θεόν μου καὶ Κύριον· ὅπως ἂν ἐκεῖ, τὴν ἔνδοξόν σου καὶ θαυμασίαν, καὶ ὑπερκαλλεστάτην, καὶ παντοίας γλυκύτητος ὑπεργέμουσαν κατοπτεύων ὄψιν, συνάμα τοῖς ἐκλεκτοῖς σου ἱκέτης κἀγὼ παρασταίην ἐνώπιον τῆς σῆς μεγαλωσύνης· καὶ ἔμπλεως δὲ καταστὰς τῆς οὐρανίου σου ἐκείνης καὶ ἀνερμηνεύτου ἀγαλλιάσεως, ἀνακράξωμαι καὶ αὐτὸς μετὰ τῶν ἀγαπώντων σε λέγων· ἰδοὺ δὴ, οὗ περ ἐφιέμενος ὑπῆρχον, αὐτὸν τοῦτον ἤδη θεῶμαι· ὅ περ ἐπήλπιζον, ἤδη κατέχω· ὅ περ ἐπεπόθουν, νῦν κέκτημαι. Ἐν οὐρανοῖς γὰρ ἐκείνῳ συνήφθην, ὃν, ἐπὶ γῆς διατρίβων, ἐξ ὅλης τῆς ἐν ἐμοὶ ἰσχύος ἠγάπησα· ᾧ περ ὅλῳ τῷ πόθῳ συνεπεπλάκην, ὁλοκλήρῳ τῷ ἔρωτι προσεκολλήθην, αὐτὸν ἀνυμνῶ, εὐλογῶ τε καὶ προσκυνῶ, τὸν Θεόν μου τὸν ζῶντα καὶ βασιλεύοντα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΚΕΦ. ΛΖ.

Δέησις ἐπὶ συνοχῇ θλίψεως.

Ἐλέησόν με, Κύριε, ἐλέησόν με, εὔσπλαγχνε, ἐλέησόν με τὸν ἐλεεινότατον ἁμαρτωλόν, τὸν ἀνάξια μὲν πράττοντα, ἐπάξια δὲ πάσχοντα· τὸν συχνὰ μέν σοι πταίοντα, καθ' ἡμέραν δὲ τὰς ἐκ σοῦ μάστιγας ὑφιστάμενον. Ἐὰν ἐπισταθμήσω τὸ πονηρὸν ὅ καθ' ἑκάστην ἐποίησα, οὐκ ἀντίσταθμόν ἐστιν ὅσον ὑπέχω. Βαρύτερον ἐστὶν ὅ ἔδρασα, κουφότερον τοῦ ὅ περ ἀνέχομαι. » Δίκαιος εἶ, » Κύριε, καὶ εὐθεῖα ἡ κρίσις σου· πάντα τὰ σὰ κρίματα καὶ » δίκαια ἐστὶ, καὶ ἀληθινά. Δίκαιος καὶ εὐθὺς εἶ, Κύριε, ὁ Θεὸς » ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν σοί. » Οὐ γὰρ ἀδίκως, οὐδ' ἀνηλεῶς ἡμᾶς καταθλίβεις ἐξαμαρτάνοντας, Κύριε, παντοδύναμε καὶ πανοικτίρμον, ὅς μηδαμῶς μὲν ἡμᾶς ὄντας πανσθενῶς ἐποίησας, ἀπολωλότας δὲ δι' ἡμετέραν κακίαν, ἐν ἐλέει καὶ φιλανθρωπίᾳ θαυμαστῶς ἐπανέσωσας.

Οἶδ' ἐγὼ, εὖ τε καὶ ἀνενδοιάστως οἶδα, ὡς ὁ βίος ἡμῶν οὐκ εἰκῇ καὶ ᾗ περ ἔτυχε φέρεται, ἀλλὰ παρὰ σοῦ τοῦ Κυρίου καὶ Θεοῦ τῶν ὅλων οἰκονομεῖται καὶ διεξάγεται, αὐτὸς δὲ κηδόμενος εἶ ἁπάντων μὲν, διαφερόντως δὲ τῶν σῶν δούλων, τῶν ἅπασαν αὐτῶν τὴν ἐλπίδα ἐπὶ τῷ ἐλέει τῷ σῷ ἀνατιθεμένων· ἔνθεντοι παρακαλῶ ἱκετικῶς σου δεόμενος, μή μοι κατὰ τὰς ἐμὰς ἁμαρτίας ποιήσῃς, δι' ἃς τῆς σῆς ὀργῆς ἐγενόμην ἔνοχος, ἀλλὰ κατὰ τὸ μέγα ἔλεός σου, ὅ καὶ ὑπὲρ τὰ ἁμαρτήματα ἔτι τοῦ σύμπαντος κόσμου μεῖζον ἐστί· Σὺ οὖν, Κύριε, ὁ Θεός μου, ὁ τὰς μάστιγας ἔξωθεν ἐμοὶ ἐπιτρίβων, δὸς ἔσωθεν ὑπομονὴν τὴν ἐς ἀεί μοι παρεσομένην ἀδιαλείπτως, ὡς μηδέ ποτε τὸν σὸν αἶνον ἀπεῖναι τοῦ στόματός μου. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με καὶ βοήθησόν μοι ὡς αὐτὸς οἶδας ἀναγκαῖον μοι εἶναι καὶ τῇ ψυχῇ καὶ τῷ σώματι· πάντα ἐπίστασαι, πάντα δύνασαι ὁ ζῶν εἰς τοὺς αἰῶνας.

ΚΕΦ. ΛΗ.

Ἱκεσία πρὸς τὸν Υἱὸν εὐλαβεστάτη.

Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐπὶ τοῦ σταυροῦ τὰς χεῖρας ἐκτείνας, καὶ ὑπὲρ τῆς ἐξαγορᾶς τῶν ἀνθρώπων ἁπάντων τὸ τοῦ πάθους ποτήριον ἐκπιὼν, τὴν σὴν παρασχεῖν μοι βοήθειαν σήμερον καταξίωσον. Ἰδοὺ προσέρχομαι ὁ πτωχὸς σοὶ τῷ πλουσίῳ· ὁ ἐλεεινὸς τῷ ἐλεήμονι· μὴ δὴ παρέλθοιμι κενὸς, ἢ παρεωραμένος· πεινῶν ἐνάρχομαι, μὴ ἀπολήξω ἀπὸ σοῦ νῆστις· λιμώττων πρόσειμι, μὴ ἀπίω ἄσιτος· ἐπεὶ δὲ πρὶν φάγωμαι στενάζω, κἂν μετὰ τοὺς στεναγμοὺς παράσχου μοι φαγεῖν. Πρὸ πάντων οὖν, ὦ γλυκύτατε Ἰησοῦ, ἐνώπιον τῆς μεγάλης χρηστότητός σου ἐξαγορεύω κατ' ἐμοῦ τὴν ἀνομίαν μου. Ἰδοὺ, Κύριε, ἐν ἀνομίαις ἐγὼ συνελήφθην, καὶ ἐγεννήθην, καὶ σὺ μὲν ἀπέπλυνάς με καὶ καθήγνισας, ἐγὼ δ' ἔπειτα πάλιν ἐν μείζοσι κατεῤῥυπώθην τοῖς παραπτώμασιν. Ἐγεννήθην γὰρ ἐν τοῖς ἀναγκαίοις, ὕστερον δὲ ἐν τοῖς ἑκουσίοις ἐγκατεκυλίσθην.

Ἀλλὰ τοῦ ἐλέους σου, Κύριε, σὺ μνησθεὶς, ἐξήγαγείς με ἀπὸ τοῦ οἴκου τοῦ σαρκικοῦ πατρός μου, καὶ ἀπὸ τῶν σκηνωμάτων τῶν ἁμαρτωλῶν, καὶ ἐνέπνευσάς μοι τοῦ ἀκολουθῆσαι σοι μετὰ τῆς γενεᾶς τῶν ἐκζητούντων τὸ πρόσωπόν σου, τῶν διαπορευομένων τὴν εὐθεῖαν ὁδόν σου, τῶν ἐν κρίνοις ἁγνείας τε καὶ καθαρότητος διατριβόντων, καὶ μετὰ σοῦ ἀεὶ συνακειμένων ἐν τῷ ἑστιατορίῳ τῆς ὑψηλοτάτης πτωχεύσεως· ἐγὼ δὲ ἐπὶ τοῖς τηλικούτοις ἀγνωμονήσας εὐεργετήμασι, καίτοιγε τοῖς θρησκείας ἱεροῖς ἐμαυτὸν ἐγκαθοσιώσας, πολλὰ τῶν ἀθεμίτων ἐτόλμησα, πολλὰ τῶν ἀῤῥήτων διέπραξα, καὶ δέον τὰ ἐξημαρτημένα ἐπανορθώσασθαι, ἁμαρτάδας ἐφ' ἁμαρτάσι προσέθηκα. Τοιαῦτα μου τὰ κακὰ, Κύριε, δι' ὧν ἐγὼ, σὲ μὲν ἠτίμασα, ἐμαυτὸν δὲ κατεμόλυνα, τὸν δημι-

συργηθέντα κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν · ὑπερηφανία, κενοδοξία, καὶ ἄλλα, καὶ ἄλλα πάνυ πλεῖστα, ἐν οἷς περ ἡ τάλαινά μου ψυχὴ ἐκκακοῦται καὶ καταθλίβεται, διασπαράττεται καὶ διόλλυται.

Ἠνὶ, Κύριε, αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, καὶ ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ · καὶ ἐὰν μὴ σὺ (οὗ περ ἴδιον τὸ ἐλεεῖν τε καὶ σώζειν) κατοικτειρήσας τὴν δεξιὰν τῆς σῆς ὑποτείνῃς μοι μεγαλωσύνης, ὑποβρύχιος τῷ βυθῷ δῦναι ὁ ἐλεεινὸς ἀναγκάζομαι. Πρόσχες οὖν μοι, Κύριε, ὁ Θεός μου, καὶ ἴδε, ὅτι ἅγιος εἶ · καὶ νῦν ἐπεμβαίνει κατ' ἐμοῦ ἐπιχαίρων ὁ ἐχθρός μου, καὶ φησίν · » ὁ Θεὸς ἐγκατέλιπεν αὐτὸν, καταδιώξω καὶ κατα-» λήψομαι αὐτὸν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Καὶ σὺ, Κύριε, ἕως » πότε; ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσον με ἕνεκεν » τοῦ ἐλέους σου! ἐλέησόν σου τὸ τέκνον, ὅ ἐν ὀδύνῃ, οὔτοι με-τρίᾳ, ἐκτέτοκας · μηδὲ πρόσχοις τῇ ἐμῇ μοχθηρίᾳ, ὡς ἐπιλαθέ-σθαι τῆς σῆς χρηστότητος. Τίς ἐστι πατὴρ ὁ τὸν υἱὸν μὴ ῥυόμενος; ἢ τίς ἐστιν υἱὸς, οὗ ὁ πατὴρ οὐχὶ ἐν ῥάβδῳ ἐπιεικείας ἀντιλη-φθήσεται;

Τοιγαροῦν, ὦ Πάτερ καὶ Δέσποτα, εἰ καὶ ἁμαρτωλὸς εἰμὶ, ἀλλ' οὐκ ἔχω μὴ εἶναι υἱός σου · ὅτι σύ με καὶ ἔπλασας καὶ ἀνέ-πλασας · ἐπεὶ δ' οὖν ἥμαρτον, ἐπανόρθωσον · ἐν μάστιξι δὲ πρῶ-τον ἐπανορθωθέντα, οὕτω τῷ μονογενεῖ παράδος Υἱῷ σου. » Μὴ » ἐπιλησθήσεται μήτηρ τοῦ γεννήματος τῆς κοιλίας αὐτῆς; » Πάντως δὲ δή που κἂν αὕτη ἐπιλησθείη, ἀλλ' αὐτὸς ἔμπης, ὦ Πάτερ ἐπηγγείλω μηδόλως ἐπιλήσεσθαι. Ἰδοὺ κράζω, καὶ οὐκ εἰσα-κούεις μου; ὀδυνῶμαι, καὶ οὐ παραμυθεῖς με; τί εἴπω; καὶ τί ῥέξω ὁ ἐλεεινότατος; Τῆς τοιαύτης οὖν ἄρα παρακλήσεως ὁ τάλας ἐγὼ ἀμοιρήσας, ἀπέῤῥιμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Οἴ μοι! ἀφ' ὅσων ἀγαθῶν, ἐφ' ὅσα κακὰ κατηνέχθην! Οἷ περ ἤμην σπεύδων, καὶ ὅποι κατήντησα! Ποῦ ὑπάρχω; ποῦ δ' οὐχ ὑπάρχω; πρὸς ἅττα ἀνέπνεον, καὶ νῦν ἐν τίσιν ἐπιστενάζω; ἐξε-ζήτησα τὰ ἀγαθὰ, καὶ ἰδοὺ οὐ πάραχος! Ἰδοὺ δὴ θνήσκω, καὶ Ἰησοῦς οὐκ ἔστι μετ' ἐμοῦ! Καὶ δή που ἄμεινον ἦν μοι μηδαμῶς

εἶναι, ἢ τοῦ Ἰησοῦ ἄνευ εἶναι· Αἱρετώτερον μὴ ζῆν ὅλως, ἢ ζῆν τῆς ζωῆς ἀπάνευθεν.

Καὶ σὺ, Κύριε Ἰησοῦ, ποῦ εἰσὶ τὰ ἐλέη σου τὰ ἀρχαῖα; μήτοιγέ μοι ἐπωργίσθης εἰς τέλος; Ἐξιλάσθητι, δέομαί σου, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ὁ ἐπὶ τῷ ἐξαγοράσαι με μὴ ἀποστρέψας τὸ πρόσωπον ἀπὸ τῶν ἐπιῤῥαπιζόντων καὶ ἐμπτυόντων σε. Ἥμαρτον, ὁμολογῶ, καὶ συνειδὼς εἰμὶ ἐμαυτῷ ἀποστροφῆς ὄντι ἀξίῳ καὶ κατακρίσεως, μηδὲ τὸ μεταμέλεσθαί μοι ἀποχρῶν μοι εἶναι πρὸς ἱκανοποίησιν· ἀλλ' ἡ σὴ πάντως φιλανθρωπία πάσης ἐστὶν ἀνωτέρα ἁμαρτώδους προσκρούσεως. Μὴ δὴ, ἀπειράγαθε Κύριε, μὴ κατ' ἐμοῦ γράψῃς (δέομαί σου) ὅσα σε παρεπίκρανα, ἵν' εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου· ἀλλὰ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Φεῦ μοι τῷ ἀθλίῳ ἐπὰν ἔλθῃ ἡ ἡμέρα τῆς κρίσεως, καὶ αἱ βίβλοι τῶν συνειδήσεων ἀνοιχθῶσιν! Ἐπειδὰν περὶ ἐμοῦ ῥηθῇ· ἴδε ὁ ἄνθρωπος, καὶ τὰ ἔργα τὰ αὐτοῦ· τί δράσω τότε, Κύριε ὁ Θεός μου, ὅτε οἱ οὐρανοὶ τὴν ἐμὴν ἀνακαλύψουσιν ἀνομίαν, καὶ ἡ γῆ κατ' ἐμοῦ ἀναστήσεται; Ἰδοὺ οὐκ ἔσθ' ὅ,τι δυνήσομαι ἀποκρίνασθαι· ἀλλὰ κύψας τὴν κεφαλὴν ὑπ' αἰσχύνης, στήσομαι ἐνώπιόν σου τρέμων καὶ καταθορυβούμενος.

Οἴ μοι τῷ ἀθλίῳ! τί εἴπω; πρὸς σὲ, Κύριε, ὁ Θεός μου κεκράξομαι. Τί καὶ σιγῶν κατατρύχομαι! πλὴν, καὶ ἐὰν λαλήσω, οὐ καθηρεμήσει τὸ ἄλγος μου· κἂν σιγήσω, καταπίκρῳ πικρίᾳ τὰ ἐντός μου κατοδυνήσομαι. Ὀλοφύρου, ψυχή μου, ὡς ἡ ἐπὶ τῷ κουριδίῳ ἀλόχῳ χηρεύουσα. Ὀλόλυζε, τρισαθλία, καὶ ἐποδύρου, ὅτι σὲ ὁ Νυμφίος ὁ σὸς ἀπεπέμψατο, ὁ Χριστός. Ἀλλ' οὕτως ἐπ' ἐμὲ, Παντοκράτορ, μή ποτε ἐφορμήσαις! οὔποτε γὰρ ἂν ἐν ἐμοὶ ἐγχωρήσειας; Πάντῃ γὰρ οὐκ ἔστιν ἐν ἐμοὶ οὐδὲν, ὅ περ ἂν ὅλως σε ὑπομεῖναι δυνήσαιτο. Οἴκτειρόν με, μὴ κομιδῇ ἀπογνοίην, ἀλλὰ καὶ ἐν τῷ ἀπογινώσκειν ἔτι ἂν ἀναπνεύσαιμι. Εἰ δ' ἐγὼ κατέπραξα ὧν περ ἕνεκα πρεπόντως με καταδικάσαις, αὐτὸς οὐκ ἀπέθου ὅθεν σώζειν περ εἴωθας.

Σὺ, Δέσποτα, οὔτοι θέλεις τὸν θάνατον τῶν ἁμαρτωλῶν, οὐδ' ἐπιχαίρεις τῇ θνητῶν ἀπωλείᾳ· μᾶλλον δέ γε, ἵν οἱ θνητοὶ ζωὴν ἔχωσιν, αὐτὸς θανεῖν εἵλου· ὁ δὲ θάνατος ὁ σὸς τὸν θάνατον τῶν ἁμαρτωλῶν τεθανάτωκε, καὶ σοῦ τεθνηκότος, αὐτοὶ ἐξανέστησαν. Καὶ τοίνυν δέομαί σου καθικετεύων, ἵνα μὴ, σοῦ ζῶντος, αὐτὸς τεθνήξαιμι, ἔκτεινον ἐξ ὕψους τὴν χεῖρά σου, καὶ ῥῦσαι με ἀπὸ χειρὸς ἐχθρῶν μου, μή ποτε ἐπιχαρείησάν μοι καὶ εἴποιεν· βορὰν αὐτὸν ποιησόμεθα. Τίς ποτε, ὦ ὑπεράγαθε Ἰησοῦ, περὶ τὴν σὴν δυσπιστήσει φιλανθρωπίαν, ὁπότε σὺ καὶ ἐχθροὺς ἡμᾶς ὄντας διὰ τοῦ σεαυτοῦ ἐξηγόρασας αἵματος, καὶ τῷ Θεῷ κατήλλαξας; Ἰδοὺ τοίνυν ὑπὸ τῇ σκιᾷ τοῦ σοῦ ἐλέους σκεπόμενος ἐπὶ τὸν θρόνον τῆς δόξης σου προσαφίξομαι. Τρέχων αἰτοῦμαι, κράζω, κρούω ἕως οὗ οἰκτειρήσεις με· εἴπερ γὰρ εἰς ἄφεσιν αὐτὸς ἡμᾶς μὴ ζητοῦντας ἀνεκαλέσω, πόσῳ δὴ μᾶλλον ἡμῖν ἐκδυσωπηθήσῃ δεομένοις τυχεῖν ἀφέσεως;

Μὴ δὴ μνησθῇς τῆς σῆς δικαιωσύνης, Ἰησοῦ γλυκύτατε, κατὰ τοῦ σοὶ ἁμαρτήσαντος, ἀλλὰ τῆς χρηστότητός σου μνήσθητι τῆς πρὸς τὸ πλάσμα σου! μὴ τῆς ὀργῆς σου μνησθῇς κατὰ τοῦ ὑπευθύνου, ἀλλὰ τοῦ περὶ τὸν ἐλεεινὸν ἐλέους σου μνήσθητι. Ἐπιλάθου τοῦ ἀλαζόνος προκαλουμένου σε, καὶ ἔπιδε ἐπὶ τὸν δύστηνον τὸν ἐπικαλούμενον. Τί γάρ ἐστιν Ἰησοῦς, ἀλλ' ἢ σωτήρ; τοιγάρτοι διὰ σὲ αὐτὸν, ὦ Ἰησοῦ, ἀνάστηθι εἰς τὴν βοήθειάν μου· εἶπον τῇ ψυχῇ μου· σωτηρία σου εἰμὶ ἐγώ. Ὡς ἄγαν, Κύριε, τῇ σῇ τυγχάνω ἐπιθαῤῥῶν ἀγαθότητι. Ὅτι σὺ αὐτὸς εἶ ὁ ἐκδιδάξας με αἰτεῖν, καὶ ζητεῖν, καὶ κρούειν· καὶ διὰ τοῦτο πίσυνος τῇ σῇ ὑποθήκῃ, αἰτῶ τε, ζητῶ τε, καὶ κρούω.

Σὺ οὖν, Κύριε, ὁ αἰτεῖν με κελεύων, ποίησον ὅπως λάβω· ὁ ζητεῖν παραινῶν, δὸς ἵνα εὕρω· ὁ κρούειν διδάσκων, ἄνοιξον τῷ κρούοντι· καί γε ἀτονοῦντα στήριξον, ἀπολωλότα ἀποκατάστησον, νεκρωθέντα διέγειρον· καὶ πάσας μου τὰς αἰσθήσεις, καὶ διενθυμήσεις, καὶ πράξεις ἀπευθύνειν ἀξίωσον, καὶ διεξά-

γειν πρὸς τὸ εὐαρεστεῖν σοι· ὅπως ἂν τοῦ λοιποῦ σοὶ τυγχάνω δουλεύων, σοὶ ζῶν, σοὶ ἐμαυτὸν ἀναθέμενος. Οἶδα, Κύριε, ὡς ἐπεί με ἐποίησας, ὅλον σοὶ ἐμαυτὸν ἐποφείλω· ἐπειδὴ δέ με καὶ ἐξηγοράσω, καὶ ὑπὲρ ἐμοῦ ἄνθρωπος ἐγένου, τί ἂν ἔτι πλέον ἢ ἐμαυτόν σοι προσοφείλοιμι, εἰ δὴ καὶ ἔχοιμι; ὅσον σὺ μείζων εἶ τοῦ, ὑπὲρ οὗ σαυτὸν δέδωκας; Ἰδοὺ δ' ἄρα, οὐδὲ πλέον τι αὐτὸς ἔχω· οὐθ' ὅ περ ἔχω, αὐτό γε τοῦτο δοῦναι σοὶ ἔχω ἄνευ σοῦ. Ἀλλ' αὐτὸς ἀντιλαβοῦ μου, καὶ πρὸς σὲ ἕλκυσον, ἵνα σὸς ὦ τῇ μιμήσει τε καὶ τῇ ἀγάπῃ, ὥσπερ σὸς εἰμὶ τῇ καταστάσει τε καὶ τῇ κτίσει σοῦ τοῦ ζῶντος καὶ βασιλεύοντος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦ. ΛΘ.

Δέησις ὠφέλιμος.

Θεὲ καὶ Κύριε παντοκράτορ, ὁ τριαδικὸς Θεὸς καὶ ἑνιαῖος· ὁ πάντοτε, καὶ ἐν πᾶσι, καὶ πρὸ πάντων, καὶ ὑπὲρ ἅπαντα καὶ ὤν, καὶ προών, καὶ ἐσόμενος· ὁ εὐλογητὸς Θεὸς εἰς τοὺς αἰῶνας· σοὶ δὴ σήμερον, καὶ διὰ παντὸς, ἀνατίθημι τὴν ἐμὴν ψυχήν, τὸ ἐμόν τε σῶμα, τὴν ὅρασίν μου, τὴν ἀκοήν, τὴν γεῦσιν, τὴν ὄσφρησιν, τὴν ἀφήν, καὶ πάσας μου τὰς ἐνθυμήσεις καὶ διαθέσεις καὶ πράξεις· ἅπαντα τὰ ἐκτὸς ἐμοῦ καὶ τὰ ἐντός· τὴν αἴσθησιν καὶ τὴν διάνοιαν, τὴν ἐμὴν πίστην καὶ εὐπιστίαν, τὴν ἐπιμονὴν καὶ εὐστάθειαν· ταῦτα πάντα εἰς χεῖρας τῆς σῆς δυνάμεως παρατίθημι, ὅπως ἂν ἐν ἡμέραις τε καὶ νυξὶν, ἐν ὥραις τε καὶ ὡρῶν ἀκαρέσιν αὐτά μοι διαφυλάττοις. Ἐπάκουσόν μου, ὦ Τριὰς παναγία, καὶ διατήρησόν με ἀπὸ παντὸς κακοῦ, καὶ παντὸς σκανδάλου, καὶ παντὸς παραπτώματος θανασίμου, καὶ ἀπὸ πάσης ἐνέδρας καὶ ἐπιβουλῆς καὶ ἐπηρείας τῶν δαιμόνων, καὶ πάντων μου τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν! Εἰσάκουσόν μου προβαλλομένου σοι τὰς δεήσεις τῶν Πατριαρχῶν, τὰς ἀξιώσεις τῶν Προφητῶν, τὰς πρεσβείας τῶν Ἀποστόλων, τὴν καρτερίαν τῶν Μαρτύρων, τὴν πίστιν τῶν

Ὁμολογητῶν, τὴν ἁγνείαν τῶν Παρθενευόντων, καὶ τὰς ἐντεύξεις ἁπλῶς ἁπαξαπάντων σου τῶν ἁγίων, τῶν ἀπὸ καταβολῆς κόσμου εὐαρεστησάντων σοι.

Ἀπέλασον ἀπ' ἐμοῦ διανοίας ἔπαρσιν, καὶ ἐπίτεινόν μοι τὴν ἐκ καρδίας συντριβὴν καὶ κατάνυξιν· κατάστειλόν μοι τὸν τύφον καὶ τὴν ἀλαζονείαν, καὶ κατάρτισον ἐν ἐμοὶ ἀληθινὴν τὴν ταπείνωσιν· διέγειρόν με εἰς θρῆνον, μάλθαξόν μοι τὴν καρδίαν τὴν σκληρὰν καὶ λιθίνην. Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ πασῶν ἐνεδρῶν τῶν τοῦ πολεμήτορος, καὶ ἐν τῷ βουλήματί σου συντήρησόν με. Δίδαξόν με, Κύριε, τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Παράσχου μοι, Κύριε, τελείαν συναίσθησιν, καὶ σύνεσιν, εἰς τὸ συνορᾷν ἔχειν τὴν σὴν ἐπιείκειαν καὶ χρηστότητα. Δὸς παρὰ σοῦ αἰτεῖσθαί με τὸ Σοὶ μὲν εὐαρεστοῦν, ἐμοὶ δὲ συμφέρον. Δός μοι δάκρυα ἐξ ἀκραιφνοῦς πόθου ἀναποδύοντα, δι' ὧν τὰς τῶν ἁμαρτημάτων μου σειρὰς διαῤῥήσσειν ἂν ἔχοιμι.

Ἐπάκουσον δὴ ὁ Κύριός μου καὶ ὁ Θεός μου! ἐπάκουσον ὁ φωτισμὸς τῶν ὀφθαλμῶν μου! Εἰσάκουσόν μου ἅπερ αἰτοῦμαι σε, καὶ δὸς ἵνα σὲ αἰτούμενος εἴην, ὑπὲρ ὧν ἂν ἐμοῦ εἰσακούσειας! Ἐὰν με παρίδοις, ἀπόλλυμαι· ἐὰν ἐμοὶ ἐπιβλέψῃς, ζῶ. Ἐὰν τὴν ἐξ ἐμοῦ δικαιοσύνην ἐκζητήσῃς, νεκρὸς ἐγώ σοι ἤδη ἐπόζω· ἐὰν ἐπόψῃ ἐπὶ τὸ παρὰ σοῦ ἔλεος, ὀδωδότα περ ἐξανίστης τοῦ τάφου. Ἀφ' ὅτου γε δ' ἄρα τῶν ἐμῶν ἂν τυγχάνοις ἀποστρεφόμενος, ἀπ' ἐμοῦ τοῦτο ὡς πορρωτάτω ἀπέτρεψον, καὶ ἁγνείας πνεῦμα καὶ σωφροσύνης ἐν ἐμοὶ ἐγκατάσπειρον, ἵν' εἴτι ἂν αἰτήσωμαι, ἐν αὐτῷ γε τῷ αἰτεῖσθαι μηδέν σοι ἐποφθείην προσκρούων. Ἄφελε ἀπ' ἐμοῦ ἅπαν τὸ ἐμοὶ προσλυμαινόμενον, καὶ ἀντιπαράθου τὸ συνοῖσον. Φάρμακόν μοι ἐπόρεξον, Κύριε, δι' οὗ περ ἂν ἐξιαθεῖεν αἱ τραυματίαι μου. Χάρισαί μοι, Κύριε, τὸ φοβεῖσθαί σε· χάρισαί μοι καρδίας κατάνυξιν, διανοίας ταπείνωσιν, συνειδήσεως καθαρότητα· χάρισαί μοι τὸ τὴν ἀδελφικὴν ἀγάπην δύνασθαι ἀεί ποτε διασώζειν· καὶ τῶν μὲν ἐμῶν φαυλοτήτων μηδὲ ποτέ με ἐπιλανθάνεσθαι, τὰς δὲ τῶν ἄλλων μηδαμῶς ἐξετάζειν.

Φεῖσαι μου τῆς ψυχῆς, φεῖσαι τῶν ἐμῶν μοχθηριῶν· φεῖσαι μου τῶν ἀνομιῶν, φεῖσαι μου τῶν χαλεπῶν ἐγκλημάτων. Ἐπίσκεψαί με ἀσθενοῦντα, θεράπευσον νοσοῦντα, ἴασαι παραλυθέντα, ἔγειρον νεκρωθέντα. Δός μοι, Κύριε, καρδίαν σὲ φοβουμένην, ψυχὴν σὲ ἀγαπῶσαν, αἴσθησιν σὲ κατανοοῦσαν, ὦτα σοὶ ὑπακούοντα, ὄμματα σὲ κατοπτεύοντα. Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με. Ἐπίβλεψον ἐπ' ἐμὲ ἀπὸ θρόνου ἁγίας μεγαλωσύνης σου, καὶ τὴν σκοτόμαιναν τὴν ἐπὶ τῆς ἐμῆς καρδίας τῇ ἀκτίνι τῆς αἴγλης σου καταφώτισον. Δίδου μοι, Κύριε, τὸ μέσον ἀγαθοῦ τε καὶ κακοῦ μετὰ διακρίσεως διαστέλλειν, καὶ δώρησαί μοι αἴσθησιν ἔχειν ἐγρήγορον. Ἐπὶ τούτοις δὲ καὶ πρὸ τούτων, τὴν ἄφεσιν ἁπάντων τῶν παραπτωμάτων μου ἐξαιτοῦμαι παρὰ σοῦ, Κύριε, ὑφ' οὗ, καὶ δι' ὅν, γένοιτό μοι ἐξιλασμὸς ἐν καιρῷ ἀνάγκης καὶ θλίψεως.

Ὦ ὑπεραγία καὶ ὑπεράμωμε παρθένε Θεοτόκε Μαρία, ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μήτηρ, ἀξίωσον ὑπὲρ ἐμοῦ μεσίτρια γενέσθαι πρὸς αὐτὸν, οὗ ναὸς χρηματίσαι ἠξίωσαι. Προσέτι δὲ καὶ ὑμεῖς, ὦ Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ Ῥαφαὴλ, καὶ πάντες οἱ ἅγιοι τῶν Ἀγγέλων τε καὶ Ἀρχαγγέλων χοροί· και σύμπαντα δὲ τὰ στίφη Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἱερέων, Λευϊτῶν, Μοναστῶν, Παρθένων, καὶ πάντων τῶν δικαίων, καὶ ὑμεῖς αὐτὸν τὸν ὑμᾶς ἐκλεξάμενον, (οὗ τῆς θέας ἐν ἀπολαύσει ἐστὲ,) ἀντιβολῶ, ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἱκετεῦσαι μὴ ἀπαξιώσητε, τοῦ ῥυσθῆναί με ἀπὸ τῶν τοῦ διαβόλου φαρύγγων, καὶ ἀπὸ θανάτου τοῦ μηδὲν τέρμα ἔχοντος, κατὰ τὴν ὑπεράγαθον αὐτοῦ φιλανθρωπίαν, καὶ τὸ ἀμέτρητον ἔλεος.

Δὸς δὲ, Κύριε Ἰησοῦ Χριστὲ, τοῖς Ἱερεῦσιν ὁμοφροσύνην τε καὶ ἑνότητα, τοῖς Βασιλεῦσι τε καὶ ἄρχουσι, καὶ πᾶσι τοῖς ἐν δίκῃ κρίνειν τεταγμένοις γαλήνην τε καὶ εἰρήνην. Δέομαί σου δὲ προσέτι καὶ ὑπὲρ ἁπάσης τῆς ἁγίας σου Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας· ὑπέρ τε ἀνδρῶν καὶ γυναικῶν, μοναστικῶν τε καὶ τῶν ἐκ τοῦ λαοῦ· καὶ ὑπὲρ τῶν διεξάγειν κληρωθέντων τὸ χριστεπώνυμον πλήρωμα, καὶ ὑπὲρ πάντων τῶν εἰς σὲ πιστευόντων,

καὶ ἐξ ἀγάπης ἁγίας τῆς περὶ σὲ κοπιόντων, ἵν' ἐπιμόνως περὶ τὰ αὐτοῖς ἐπανήκοντα ἔργα διατελῶσιν ἐνασχολούμενοι· χάρισαι δὲ, Κύριε Βασιλεῦ αἰώνιε, τοῖς μὲν παρθενεύουσιν ἁγνότητα, τοῖς δ' ἐν συζυγίᾳ ἁγιωσύνην, τοῖς δ' ἐν μετανοίᾳ συγγνώμην, τοῖς δὲ ἐν χηρείᾳ τε καὶ ὀρφανείᾳ τῶν χρειωδῶν ἐπάρκειαν, τοῖς δὲ πενομένοις ὑπεράσπισιν, τοῖς δὲ ξενιτεύουσιν ἐπάνοδον, τοῖς δὲ πενθοῦσι παραμυθίαν, τοῖς δὲ ἐν πίστει κεκοιμημένοις αἰωνίαν ἀνάπαυσιν, τοῖς δὲ ναυτιλλομένοις ὅρμον σωτήριον· τοῖς ἀρίστοις δὲ, τὴν ἐν τῇ χρηστότητι ἐπιστήριξιν, τοῖς δ' ἀγαθότητι μετρίοις, τὴν ἐπὶ τὸ κρεῖττον ἐπίδοσιν, τοῖς φαύλως δὲ καὶ πλημμελῶς διακειμένοις, (ὥσπερ ἐμοὶ τῷ ἀθλίῳ) ταχεῖαν τὴν ἐπανόρθωσιν. Ὦ μακρόθυμε καὶ πολυεύσπλαγχνε Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τοῦ κόσμου σωτὴρ καὶ ῥύστης, μεταξὺ πάντων, καὶ κατὰ πάντα, ἐλεεινὸν ἁμαρτωλὸν ἐμαυτὸν ὄντα καθομολογῶ ὑπὲρ ἅπαντας.

Ἀλλὰ σὺ ὁ Πατὴρ ὁ ὕψιστος καὶ πανυπεράγαθος, ὁ πάντας οἰκτείρων, μὴ συγχωρήσῃς ἀλλότριον ὀφθῆναι με τοῦ ἐλέους σου. Κύριε ὁ Βασιλεὺς τῶν βασιλευόντων, ὁ ἀνοχὰς ἐμοὶ τοῦ ζῆν ἐπιχορηγῶν, παράσχου μοι καὶ διορθωθέντα, σοί γε ἀφοσιωθῆναι. Διέγειρόν μου τὴν διάνοιαν ὥστε σὲ ἐκζητεῖν, σὲ ἐπιποθεῖν, καὶ σὲ τὸν ἁπανταχοῦ ὅλον τριαδικόν τε καὶ ἑνιαῖον ἀεί ποτε ὑπὲρ ἅπαντα φιλεῖν, καὶ σὲ φοβεῖσθαι, καὶ τὸ σὸν θέλημα ἐκτελεῖν. Ἐξαιρέτως δὲ, πανάγιε Δέσποτα, ἱκετεύω σὲ τὸν ὑπερευλογημένον ὄντα καὶ ὑπερένδοξον εἰς τοὺς αἰῶνας, ὑπὲρ ἁπάντων τῶν ἐν ταῖς ἰδίαις αὐτῶν ἐντεύξεσι μνήμην ὑπὲρ ἐμοῦ ποιουμένων, καὶ ἀμοιβαδὸν σφᾶς ταῖς ἐμαῖς ἀναξίαις δεήσεσιν ἐπισυνιστώντων, καὶ ὅ, τιοῦν ἔργον χρηστότητος καὶ ἀγαπήσεως ἐπιτελεῖν περὶ ἐμὲ προθυμουμένων· καὶ μὲν δὴ, καὶ ὑπὲρ τῶν κατὰ γένους οἰκειότητα, ἢ ἀγχιστείαν ὁπωσοῦν ἐμοὶ προσηκόντων, τῶν τε νῦν ἔτι ἐν σώματι περιόντων, καὶ τῶν ἤδη τῷ χοΐ ἐνυποκαλυπτομένων, ἅπαντας αὐτοὺς σωτηρίας τυχεῖν ἕνεκεν τοῦ ἐλέους σου καταξιώσαις, ὡς μηδένα ἐξ αὐτῶν ἀπολέσθαι.

Εὐδοκήσαις δὲ καὶ πᾶσι χριστιανοῖς, ζῶσι μὲν βοηθὸς εἰς ἀντι-

ληψιν παρεῖναι, τεθνεῶσι δὲ ἐν τῇ πίστει εἰς ἄφεσίν τε καὶ τὴν διὰ παντὸς τοῦ αἰῶνος ἀνάπαυσιν. Κἀκεῖνο δὲ ὡς ἔνι μάλα καθικετεύω σε, Κύριε, ὅς ὑπάρχεις τὸ Α καὶ τὸ Ω, ἵν' ὅταν ἡ ἐσχάτη με ἐπιφθάσῃ ἡμέρα, καὶ τὸ τῆς ζωῆς ἐπιστῇ μοι πέρας, τότε δὴ κατὰ τοῦ ἐμοῦ κατηγόρου, τοῦ δολίου τε καὶ πονηροῦ δαίμονος, κριτὴς αὐτὸς ἐλεήμων εἴης μοι, καὶ συνήγορος, καὶ προστάτης κατὰ τοῦ ἀρχαίου μου ἐπιβούλου καὶ πολεμήτορος. Κἀμὲ τοῖς τῶν σῶν Ἀγγέλων, καὶ πάντων σου τῶν ἁγίων χοροῖς συνθιασώτην συγκατατάξαις, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕΦ. Μ.

Δέησις Ἱκετήριος ἐν ἀναμνήσει τοῦ πάθȣς τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃.

Κύριε, Ἰησοῦ Χριστὲ, τὸ ἐμοῦ λύτρον, τὸ ἐμὸν ἔλεος, ἡ ἐμὴ σωτηρία· πολλὰς ἀναπέμψαι πρὸς σὲ ἐφίεμαι τὰς εὐχαριστίας, εἰ καὶ πολλῷ ἀνίσους τῶν παρὰ σοῦ εὐεργετημάτων· εἰ καὶ λίαν ὑποδεεστέρας τῆς προσηκούσης μοι εὐλαβοῦς ὑποκλίσεως· εἰ καὶ γλίσχρας τε καὶ αὐχμηρὰς ταύτας, καὶ τῆς ἐφετῆς πιότητος τοῦ γλυκυτάτου πόθου σου πάμπαν ἀπολειπομένας· Εὐχαριστίας ἀλλ' οὖν ὁποιασοῦν, οὐχ ἡλίκας οἶδα με προσοφείλειν, ἀλλ' ὅσας γε δύναται κατὰ τὸ ἐνὸν αὐτῇ τῆς προθυμίας, ἀπονέμει σοι ἡ ψυχή μου. Ὦ, ἡ ἐλπὶς τῆς ἐμῆς καρδίας, ἡ ἰσχὺς τῆς ἐμῆς διανοίας, ἐπαναπληρωσάτω ἡ πανσθενεστάτη σου δύναμις ὅ περ ἐκπειρᾶται ἐπιτελέσαι ἡ χλιαρότης τῆς ἐν ἐμοὶ ἀβληχρότητος! Ὦ, ἡ ζωή μου! σὺ εἶ ὁ τῆς ἐμῆς ἐντάσεως ὅρος· καὶ εἰ μήπω ἄξιος ἐγὼ τοσούτου, ὁπόσον ἀγαπᾷν σε ὀφείλω, πάντως μέντοι τοὐλάχιστον ἐπιποθῶν εἰμὶ ἀγαπᾷν σε κατά γε τὸ ἐμοὶ ὀφειλόμενον.

Ὁ ἐμὸς φωτισμὸς, σὺ τὸ ἐμὸν συνειδὸς ἐπιδέρκῃ, ὅτι κατ' ἐναντίον σου ἐστὶν ἅπασα ἡ ἐπιθυμία μου, καὶ σὺ δωρῆσαι εἴτι ποτὲ

ἀγαθὸν ἐπιποθοῦσα ἐπιθυμεῖ ἡ καρδία μου. Εἰ δήπερ ἀγαθὸν ἐστὶ, Κύριε, ὅ περ ἐμπνέεις· μᾶλλον δὲ, ἐπεὶ ἀγαθὸν ἐστὶ τὸ βούλεσθαί με ἀγαπᾷν σε, δὸς ὅ ποιεῖς ἐμὲ βούλεσθαι· δὸς, ἵνα ὅσον κελεύεις, τοσοῦτον ἄξιος γένωμαι ἀγαπῆσαι σε. Αἴνους τε καὶ εὐχαριστίας προσάγω σοι, ὡς ἂν μὴ ἀτελεσφόρητόν μοι ᾖ τουτὶ τὸ σὸν δώρημα, ὅ εὐδοκήσας ἐδωρήσω μοι. Ἐκτέλεσον ὅ περ ἐνήρξω, καὶ χάρισαι, ὅ εὐμενῶς προφθάσας, ἐπιποθεῖν με ἐποίησας τὸν ἥκιστα ἄξιον. Τρέψον, ὦ ὑπεράγαθε, εἰς πόθον τὸν περὶ σὲ ζέοντα τὴν ἐμὴν ἀπονάρκωσιν. Εἰς τοῦτο γὰρ, ὦ πολυεύσπλαγχνε, ἡ παροῦσα μοι τείνει δέησις· εἰς τοῦτο ἡ μελέτη, καὶ ἡ τῶν σῶν εὐεργετημάτων ἐπαναπόλησις, ἵνα τὴν πρὸς σέ μου ἐξανάψῃς ἀγάπησιν.

Ἡ σή με, Δέσποτα, ἐπλαστούργησεν ἀγαθότης, ἡ σή με εὐσπλαγχνία, καθαρὸν ὑπὸ σοῦ δημιουργηθέντα, εἶτα διὰ τῆς προγονικῆς ἁμαρτίας ἀπ' ἐμαυτοῦ καταῤῥυπωθέντα, ἀνεξεκάθηρεν. Ἡ σὴ δύναμις, μετὰ τὴν κάθαρσιν τὴν διὰ τοῦ βαπτίσματος, καὶ εἰς παντοίων ἄλλων ἁμαρτημάτων βόρβορον ἐμοῦ ἀνακυλισθέντος ἄχρι τοῦδε, μακροθύμως ἠνέσχετό μου, καὶ διεθρέψατο, καὶ ἕως τοῦ νῦν περιέμεινε. Περιμένεις σὺ πάντως ὁ ἀπειράγαθος Θεὸς τὴν ἐμὴν ἐπανόρθωσιν· περιμένει δὲ ἡ ψυχή μου τὴν ἐπὶ τῷ μετανοῆσαι τε καὶ καλῶς ἐφεξῆς ζῆν διὰ τῆς σῆς χάριτος ἔμπνευσιν. Ὁ Θεὸς, ὁ πλάστης μου, ὁ καὶ ἀνεχόμενός μου, καὶ διατρέφων με, ὡς διψῶ σε, ὡς πεινῶ, ὡς ἱμείρομαί σου καὶ ἐπιστενάζω πρὸς σὲ, καὶ ὑπεργλίχομαι· καὶ ὡσεὶ νήπιον, ὅ τῆς τοῦ φιλοστόργου αὐτοῦ πατρὸς ἀποστερηθὲν παρουσίας, κλαῖον τε καὶ ἐπολολύζον ἀπαύστως, τὴν ἐκείνου φιλτάτην ὄψιν ἐν ὅλῃ τῇ καρδίᾳ περιπλέκεται· οὕτως ἐγὼ, οὐχ ὅσον ὀφείλω, ἀλλ' ὅσον σθένω, μνήμων ὢν τοῦ σοῦ πάθους, μνήμων τῶν κολαφισμῶν ὧν ὑπέτλης, καὶ τῶν μαστίγων καὶ τῶν μωλώπων σου, μεμνημένος ὅτι ὑπὲρ ἐμοῦ ἀνῃρέθης, ἐκηδεύθης, ἐτάφης· ἅμα δέ γε καὶ τῆς σῆς ἐνδόξου ἐγέρσεως ἐπιμιμνησκόμενος, καὶ τῆς θαυμασίας σου ἀναλήψεως· ταῦτα πίστει ἀνενδοιάστῳ πάντα κατέχων, καί γε τὰς ἀθλιότητας τῆς ἐμῆς ἀπολοφυρόμενος ἐξορίας, μόνην ἔχω τὴν ἐκ τῆς σῆς παρουσίας παραμυθίαν: καὶ

πόθῳ ζέοντι πυρπολοῦμαι, τοῦ τῆς ἐνδόξου ἐπόψεως τοῦ σοῦ προσώπου ἐλθεῖν εἰς ἀπόλαυσιν.

Οἴ μοι ὅτι κατιδεῖν οὐκ ἔσχον τὸν τῶν Ἀγγέλων δεσπόζοντα, ἄχρι τοῦ καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι ταπεινωθέντα, ὅπως ἂν τοὺς ἀνθρώπους πρὸς τὴν μετὰ τῶν Ἀγγέλων συναναστροφὴν ἀνυψώσειεν· ὁπότε δὴ Θεὸς, ᾧ προσέκρουσεν ἄνθρωπος, ἐνεκροῦτο, ἵνα ζωὴν ἔχῃ ὁ ἁμαρτωλὸς τῷ Θεῷ προσκρούσας! Οἴ μοι, ὅτι ἐπὶ τῆς οὕτω θαυμαστῆς, καὶ ἀνεξεικάστου φιλανθρωπίας παραστῆναί τε καὶ ἐκστῆναι οὐκ ἠξιώθην! Ἵνα τί σὲ μᾶλλον, ὦ ψυχή, οὐ διῆλθεν ἡ ὀξυτάτη ῥομφαία; ἐπεὶ οὐκ ἂν τετλαίης θεάσασθαι λόγχῃ τιτρωσκομένην τὴν πλευρὰν τοῦ σὲ σώζοντος· ἐπεὶ τοῖς ἥλοις οὐκ ἂν ὑπενέγκαις διαπεπαρμένον καθορᾷν χεῖρας καὶ πόδας τὸν σὲ πλαστουργήσαντα· ἐπεὶ φρίκῃ ἂν συνεσχέθης ἐπὶ γῆς τὸ αἷμα κατιδοῦσα τοῦ σὲ ἐξαγοράσαντος ἐκχεόμενον.

Πῶς γὰρ οὐχὶ πικροῖς διεμεθύσθης τοῖς δάκρυσιν, ἐκείνου τῆς χολῆς γευσαμένου; πῶς οὐκ ἂν συνέπαθες τῇ ὑπεράγνῳ Παρθένῳ καὶ ὑπερενδόξῳ μητρὶ ἐκείνου, καὶ σῇ Δεσποίνῃ; Ὦ Κυρία καὶ Δέσποινα ὑπερεύσπλαγχνε, πόσας ἆρ' ἂν εἴποιμι δακρύων πηγὰς ἐκ τῶν ὑπεραμώμων σου ὀφθαλμῶν, παρισταμένης τότε τῷ μονογενεῖ υἱῷ σου, τῷ ἀνευθύνῳ καὶ πάντῃ ἀναμαρτήτῳ, μαστιγουμένῳ τε καὶ σφαγιαζομένῳ ἐνώπιόν σου, ἡλίκους ἂν πιστεύσαιμι κλαυθμούς τε καὶ ὀδυρμοὺς τὸ μητρικόν σου πρόσωπον καταχέασθαι, τὸν σὸν υἱόν τε καὶ Κύριον καθορώσης ἐπὶ σταυροῦ καθηλούμενον, καὶ τὴν ἐκ τῆς σαρκός σου σάρκα ἀνηλεῶς ὑπὸ τῶν ἀνόμων σπαρασσομένην; τίσιν ἆρα λυγμοῖς ἡγησαίμην τὰ καθαρώτατά σου στέρνα κατατρυχωθῆναι, ἐπειδὰν ἀκηκόεις τὸ, ὦ μῆτερ, ἴδε ὁ υἱός σου· καὶ ὁ μαθητής· ἰδοὺ ἡ μήτηρ σου; ἐπειδὰν ἀντὶ μὲν τοῦ Διδασκάλου τὸν μαθητὴν ἀνεδέχου, ἀντὶ δὲ τοῦ Δεσπόζοντος τὸν θεράποντα;

Ὄφελον μετὰ τοῦ Ἰωσὴφ κἀγὼ ἀπὸ τοῦ σταυροῦ τὸν Κύριόν μου καθεῖλον, καὶ μύροις τε καὶ ἀρώμασι συνειλίσας ἐναπεθέμην τῷ μνήματι! ἢ γοῦν συμπρουπεμψάμην, καὶ συνηκολούθησα, ὡς ἐπὶ

τῆς κηδείας αὐτοῦ συντελέσαι τι κἀμὲ καὶ συνδιαπράξασθαι, μηδ' ἀπολειφθῆναι πάντη τῆς ὑπουργήσεως. Ὄφελον κἀγὼ συνάμα ταῖς γυναιξὶν ἐκείναις ταῖς μακαρίαις ἐπὶ τῇ ἀστραπηφόρῳ θέᾳ τῇ τῶν Ἀγγέλων συνεξεπλάγην, συνακουτισθεὶς τὸ τῆς τοῦ Κυρίου ἐγέρσεως Εὐαγγέλιον! τὸ Εὐαγγέλιον τῆς ἐμῆς παρακλήσεως, Εὐαγγέλιον τὸ τοσοῦτον ἐπιπροσδοκώμενον, τὸ οὕτω ποθούμενον! Ὄφελον, φημὶ, ἐκ τοῦ ἀγγελικοῦ καὶ αὐτὸς ἐπυθόμην στόματος. Μὴ φοβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον; ἐγήγερται· οὐκ ἔστιν ὧδε. Εὐμενέστατε, γλυκύτατε, γαληνότατε, πότε δὴ ἀποκαταστήσεις κἀμὲ, τὸν ἐκείνην τὴν ἀφθαρσίαν τῆς μακαρίας σαρκός σου μὴ τηνικαῦτα θεασάμενον; τὸν τὰ ἴχνη τῶν σῶν μωλώπων, καὶ τὰς ἐκ τῶν ἥλων διατρήσεις μὴ καταφιλήσαντα; τὸν μὴ δάκρυα χαρᾶς ἐπιχέαντα ἐπὶ τῶν στιγμάτων τοῦ σοῦ σώματος; Ὑπερθαύμαστε Κύριε, ἀνεξιχνίαστε, ἀπαράβλητε, πότε παραμυθήσεις με; πότε καταπαύσεις τὸ ἄλγος μου; οὐ γὰρ τὸ ἄλγημά μου ἐκλείπει ἄχρις οὗ ἀποδημῶν εἰμὶ ἀπὸ τοῦ Κυρίου μου.

Οἴ μοι ἐγὼ, Κύριε, οὐαὶ τῇ ψυχῇ μου! ἀπέστης ἀπ' ἐμοῦ ὁ τῆς ἐμῆς ψυχῆς παρακλήτωρ, καὶ οὐδὲ προσείρηκάς με. Εἰσελθὼν τὰς ὁδούς σου, ηὐλόγησας τοὺς σούς· ἐγὼ δ' οὐ παρήμην. Ἄρας σου τὰς χεῖρας ὑπὸ νεφέλης εἰς οὐρανὸν ἀνελήφθης, ἐγὼ δὲ οὐκ ἐθεασάμην· Ἄγγελοί σε πάλιν ἐπελευσόμενον προκατήγγειλαν, ἐγὼ δὲ οὐκ ἀκήκοα. Τί εἴπω; τί δράσω; ποῖ τραπήσομαι; ποῦ αὐτὸν ἐκζητήσω; ἢ πότε εὑρήσω; τίνα ἐπερωτήσω; τίς ἀναγγελεῖ τῷ ἠγαπημένῳ, ὅτι τετρωμένος ἀγάπης ἐγὼ εἰμί; ἐξέλιπεν ἡ χαρὰ τῆς
» καρδίας μου, καὶ εἰς πένθος ἐστράφη ὁ γέλως μου. Ἐξέλιπεν ἡ
» σάρξ μου καὶ ἡ καρδία μου, ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς
» μου! ὁ Θεὸς εἰς τὸν αἰῶνα· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου
» ὑπὸ ἄλλου, εἰμὴ ὑπὸ σοῦ, ὅς ἡ ἐμὴ εἶ γλυκύτης. Τί γάρ μοι
» ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;
» σὲ θέλω, σὲ προσδοκῶ, σὲ ἐκζητῶ· σοὶ εἶπεν ἡ καρδία μου,
» Κύριον ζητήσω· ἐξεζήτησα τὸ πρόσωπόν σου· τὸ πρόσωπόν σου,
» Κύριε, ζητήσω· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. »

» Φιλάνθρωπε καὶ ὑπεράγαθε! σοὶ ἐγκαταλέλειπται ὁ πτωχός·
» ὀρφανῷ σὺ ἦσθα βοηθός· ὦ συνήγορε κράτιστε ἐμοῦ τοῦ ταλα-
» νος, τοῦ ὀρφανοῦ ἐγκαταλειφθέντος· νήπιον εἰμὶ ἐγὼ τοῦ Πατρὸς
» ἀπορφανισθὲν, καὶ ἡ ψυχή μου ὡσεὶ χηρεύουσα· ἔπιδε ἐπὶ τὰ
τῆς ὀρφανίας μου καὶ τῆς χηρείας μου δάκρυα, ἃ προσάγω σοι,
ἕως οὗ ἐπιστρέψεις. Εἶα δή, Κυρίε, εἶα δὴ σὺ ἐμφάνηθί μοι, καὶ
παρακληθήσομαι. Παράστηθί μοι, καὶ τοῦ πόθου μου τεύξομαι·
ἀποκάλυψόν μοι τὴν δόξαν σου, καὶ πληρωθήσεται ἡ χαράμου.
» Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου; ἐδίψησεν
» ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα· πότε ἥξω,
» καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Κυρίου μου;

Πότε ἥξεις ὁ ἐμὸς παρακλήτωρ τίνα δὴ προσδοκῶν ἔσομαι;
Ὦ . . . . εἴποτε ὄψομαί σε, τὸ ἐμὸν ἀγαλλίαμα, οὗ περ ἐφίεμαι!
Ὦ . . . εἴποτε χορτασθήσομαι ἐν τῷ ὀφθῆναι μοι τὴν δόξαν σου,
» ἧς περ ἤδη λιμῷ συνέχομαι. Ὦ . . . . εἴποτε ἄρα μεθυσθήσομαι
» ἀπὸ πιότητος οἴκου σου, πρὸς ἣν ἐπιστενάζω! εἴποτε ποτιεῖς με
» ἀπὸ τοῦ χειμάῤῥου τῆς τρυφῆς σου, τὸν οὕτως ἀφορήτῳ δίψει
» κατεκτηκόμενον! γένοιτο δή μοι τὸ μεταξὺ γοῦν, Κύριέ μου,
» γένοιτο τὰ δάκρυά μου ἐμοὶ ἄρτος, ἡμέρας τε καὶ νυκτὸς, ἕως
» οὗ ἡ ψυχή μου ἀκούσηται· ἰδοὺ ὁ Νυμφίος σου. Ποίμανον δέ με
» τέως ἐν τοῖς ἐμοῖς ὀλολύγμασιν· ἀποκατάστησόν με, ἀνάθαλ-
ψόν με ἐν ἄλγεσιν ὀδυνῶν μου. Ἥξει δὴ ὁ ἐξαγοράσας με, ὅτι
ἀγαθός ἐστιν· ἥξει καὶ οὐ χρονιεῖ, ὅτι ἐλεήμων ἐστίν. Αὐτῷ
ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Τέλος τῶν Μελετῶν τοῦ Ἱεροῦ Πατρὸς Αὐγουστίνου.



ΤΟΥ

ΘΕΙΟΥ ΚΑΙ

ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ.

ΤΑ ΜΟΝΟΛΟΓΙΑ

ΗΤΟΙ

ΕΝΤΕΥΞΕΙΣ ΨΥΧΗΣ, ΜΟΝΗΣ ΜΟΝῼ Τῼ ΘΕῼ ΠΡΟΣΔΙΑΛΕΓΟΜΕΝΗΣ.

ΚΕΦ. Α.

Ψυχῆς ἀνάτασις πρὸς ἐπίγνωσιν Θεοῦ, καὶ ἀγάπην αὐτοῦ.

Γνοίην σε, Κύριε, τὸν γινώσκοντά με! ἐπιγνοίην σε, ὦ Δύναμις τῆς ψυχῆς μου! Δεῖξον μοι σεαυτὸν ὁ ἐμὸς παρακλήτωρ! ἴδοιμί σε τὸ φῶς τῶν ὀφθαλμῶν μου! ἐλθὲ ἡ χαρὰ ἡ τοῦ πνεύματός μου· ἴδοιμί σε τὴν τερπνότητα τῆς καρδίας μου· ἀγαπήσω σὲ τὴν ζωὴν τῆς ψυχῆς μου. Ἐπιφάνηθί μοι ἡ μεγάλη μου εὐφροσύνη, ἡ γλυκεῖα μου παραμυθία. Κύριε ὁ Θεός μου, ἡ πᾶσα τῆς ἐμῆς ψυχῆς ζωή τε καὶ δόξα. Εὕροιμι σὲ τῆς καρδίας μου τὴν ἐπιθυμίαν· κατάσχοιμι σὲ τῆς ψυχῆς μου τὸν ἔρωτα· περιπλακοίην σὲ, Νυμφίε οὐράνιε, τὴν ἐντὸς ἐμοῦ καὶ ἐκτὸς ὑπερέχουσαν χαρμοσύνην· ἀπολαύσαιμί σου, ὦ αἰωνία μακαριότης, ἀπολαύσαιμί σου ἐπὶ μέσης καρδίας, ὦ ζωὴ μακαρία, ὦ ἄκρα τῆς ἐμῆς ψυχῆς θυμηδία τε καὶ τέρψις· ἀγαπήσω

σὲ, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· ἀγαπήσω σὲ τὸν Θεόν μου, τὸν βοηθόν μου, τὸν πύργον τῆς ἐν ἐμοὶ ἰσχύος, τὴν ἐν ἁπάσαις ταῖς θλίψεσι γλυκίστην ἐλπίδα μου. Περιπτύξομαί σε τὸν ἀγαθὸν, οὗ ἄνευ οὐδὲν ἀγαθόν. Ἀπολάυσω σοῦ τοῦ ἀρίστου, οὗ ἄνευ οὐδὲν ἄριστον. Διάνοιξόν μου τοὺς τῶν ὤτων μυχοὺς, ὁ πάσης διστόμου μαχαίρας τομώτερος λόγος, ἵνα τῆς φωνῆς σου ἀκούσω. Βρόντησον ὑψόθεν, Κύριε, φωνῇ μεγάλῃ καὶ ἰσχυρᾷ· ἠχησάτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς· σαλευθήτω ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ.

Καταύγασον τοὺς ὀφθαλμούς μου, ὦ φῶς τὸ ἀπρόσιτον· ἄστραψον ἀστραπὴν, καὶ τὴν ἐν αὐτοῖς ἀχλὺν διασκέδασον, ἵνα μὴ ἴδωσι ματαιότητα· πλήθυνον ἀστραπὰς καὶ διατάραξον αὐτούς· ὀφθήτωσαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνακαλυφθήτω τὰ θεμέλια τῆς γῆς. Ὦ φῶς τὸ ἀόρατον, παράσχου μοι ὅρασιν, ᾗ σὲ ἐπόψεται· ὦ ἡ ζωῆς εὐωδία, κτίσον ἐν ἐμοὶ καινὴν ὄσφρησιν, ᾗ τις ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμεῖται. Ὑγείωσόν μου τὴν γεῦσιν, ἵν' εὐαισθήτως ἔχῃ τοῦ γινώσκειν τε καὶ διακρίνειν, ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις τε καὶ ἀγαπῶσι σε. Δὸς καρδίαν διαλογιζομένην σε, ψυχὴν ἀγαπῶσαν σε, φρένα ἐπαναπολοῦσαν σε, νοῦν συνιέντα σε, λόγον τὸν ἀεὶ σοῦ τοῦ ἀκροτάτου τῶν ἀγαθῶν ἀπρὶξ ἀντεχόμενον· καὶ ἀγαπῶντα ἐν σοφίᾳ σὲ τὴν ἀγάπην τὴν ἀπειρόσοφον.

Ὦ Ζωὴ, ἐν ᾗ ζῇ τὰ πάντα, ἡ κἀμοὶ τὸ ζῆν χορηγοῦσα· Ζωὴ, ἥτις ἐμὴ ζωὴ οὖσα ἐστὶ, δι' ἧς τε ζῶ, ἧς τε ἄνευ ἐκθνήσκω· ζωὴ, δι' ἧς ἐξανίσταμαι, καὶ ἧς ἄνευ ἐξαπόλλυμαι· δι' ἧς ἥδομαι, καὶ ἧς ἄνευ ἀνιῶμαι. Ζωὴ ζωογόνος, γλυκεῖα τε καὶ ἐρατεινὴ, καὶ διὰ παντὸς ἀξία ἐν μνήμῃ σώζεσθαι. Ποῦ, ποῦ ποτε εἶ, δέομαί σου; ὅποι εὑρήσω σε; ἵν' ἐν ἐμοί γε αὐτῷ ἐκλελοιπὼς, ἐγγὺς σοῦ ὑποστήσωμαι; Ἐγγὺς γενοῦ τῇ καρδίᾳ μου, ἐγγὺς τοῖς χείλεσί μου, ἐγγὺς τοῖς ὠσί μου, ἐγγὺς πρὸς βοήθειάν μου· ὅτι ἀγαπῶν σε ἐκλείπω· ὅτι ἄνευ σοῦ θνήσκω· ὅτι σοῦ ἐπιμνησθεὶς

ἀνεγείρομαι· ἡ σὴ ὀδμὴ ἀναψύχει με, ἡ ἀνάμνησις ἡ σὴ ἐπιῤῥώνυσιν· ἀλλὰ χορτασθήσομαι ἐπὰν ὀφθῇ μοι ἡ δόξα σου, ἡ ζωὴ τῆς » ψυχῆς μου· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου τοῦ σοῦ μιμνή- » σκεσθαι. Πότε ἥξω καὶ παραστήσομαί σοι, ὦ ἡ τερπνότης μου;

Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφῃς ἡ ἐμὴ χαρὰ ἐν ᾗ χαίρω; ποῦ εἶ κρυπτόμενος ὁ κάλλει ὡραῖος, οὗ περ ἐφίεμαι; τῆς μὲν εὐωδίας τῆς ἐκ σοῦ ἀπαρύωμαι, καὶ ζῶ, καὶ εὐφραίνομαι, σὲ δ' οὐχ ὁρῶ· τῆς φωνῆς σου ἀκούω, καὶ ἀναβιώσκω· ἀλλ' ἵνα τί τὸ πρόσωπόν σου μοι κρύπτεις; ἆρ' ὅτι ἔφησθα: οὐ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται; Εἶα, Κύριε, τεθναίην, ὅπως ἂν ἴδω σε! ἴδοιμί σε, ἵν' ὧδε θάνοιμι! Ζῆν οὐ βούλομαι, θανεῖν ἐθέ- » λω· ἐπιθυμῶ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· θανεῖν ἐφίε- » μαι, ἵνα Χριστὸν ἐπιδέρξωμαι· ζῆν παραιτοῦμαι, ἵνα σὺν Χριστῷ ζήσω· Κύριε Ἰησοῦ Χριστέ, δέξαι τὸ πνεῦμά μου· ἡ Ζωὴ ἡ ἐμή, παράλαβε τὴν ψυχήν μου· ἡ χαρὰ ἡ ἐμή, ἕλξαι πρὸς σὲ τὴν καρδίαν μου· ἡ γλυκεῖα μου βρῶσις, μετάσχοιμί σου· σύ μου εἶ κεφαλή, κατεύθυνόν με· σὺ τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, ἐπίλαμψόν μοι· σὺ τοὐμὸν μέλος, ἐνάρμοσόν με· τὸ ὀσφράδιόν μου, ζωοποίησόν με· ὁ τοῦ Θεοῦ λόγος, ἀνάκτισόν με· ἡ αἴνεσίς μου, εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου· εἴσελθε εἰς αὐτὴν ἡ χαρὰ ἡ ἀληθινή, ἵν' ἐν σοὶ χαίρῃ· εἴσελθε εἰς αὐτὴν ἡ ἀκροτάτη γλυκύτης, ἵνα καθηδυνθῇ· λάμψον ἐπ' αὐτῆς τὸ φῶς τὸ πρὸ τῶν αἰώνων, ἵνα σὲ καὶ νοοῦσα ᾖ, καὶ γινώσκουσα, καὶ ἀγαπῶσα. Διὰ γὰρ τοῦτο οὐκ ἀγαπᾷ σε, Κύριε, εἰμὴ σε ἀγαπᾷ, ὅτι σε οὐ γινώσκει· διὰ δὲ τοῦτο οὐ γινώσκει σε, ὅτι οὐχί σε νοεῖ· διὰ τοῦτο δέ σε οὐχὶ νοεῖ, ὅτι τὸ φῶς τὸ σὸν οὐ καταλαμβάνει· καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

» Ὦ φῶς νοερὸν, ὦ φαεσφόρος ἀλήθεια, ὦ μαρμαρυγὴ ἀληθὴς, » ἡ φωτίζουσα πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. (Ἐρχόμενον μὲν, οὐκ ἀγαπῶντα δὲ τὸν κόσμον· ὁ γὰρ τὸν κόσμον ἀγαπῶν, ἐχθρὸς ἄντικρυς καθίσταται τῷ Θεῷ) ἀποσκέδασον δὴ

τὸ σκότος ἀπὸ προσώπου τῆς ἀβύσσου τῆς διανοίας μου, ἵνα σε ἴδῃ νοοῦσα, καὶ ἐπιγνῷ καταλαμβάνουσα, καὶ ἀγαπᾷ ἐπιγινώσκουσα. Πᾶς γὰρ ὁ σὲ ἐπιγινώσκων, καὶ ἀγαπᾷ σε, καὶ ἐπιλανθάνεται δ' ἑαυτὸν, καὶ ἀποχωρεῖ μὲν ἑαυτοῦ, ἔρχεται δὲ πρὸς σὲ, ἵνα χαίρῃ ἐν σοί. Ἐντεῦθεν μοι, Κύριε, τὸ μὴ τοσοῦτον ἀγαπᾶν σε, ὅσον ὀφείλω, ὅτι οὐκ ἀποχρόντως γινώσκω σε. Ἐπεὶ γὰρ ὀλίγον γινώσκω, ὀλίγον καὶ ἀγαπῶ, ἐπεὶ δ' ὀλίγον ἀγαπῶ, ὀλίγον ἐπὶ σοὶ καὶ χαίρω· τῆς δὲ ἐν σοὶ χαρᾶς τῆς ἔνδοθεν καὶ ἀληθινῆς διὰ τῶν ἔξωθεν ἀφιστάμενος, ἐν ᾧ σοῦ μόνου ἀμοιρῶ, μοιχιδίους τινὰς φιλιώσεις ἐν τοῖς ἐκτὸς τούτοις ἀναζητῶ· καὶ οὕτως (οἴ μοι τῷ ἀθλίῳ!) τὴν ἐμὴν καρδίαν, ἣν ἐξ ὁλοκλήρου τε καὶ ἐνδιαθέτου ἀγάπης ἐν σοὶ καὶ μόνῳ ὤφειλον ἐπαναλίσκειν, τοῖς ματαίοις ἐξέδωκα, καὶ ἐματαιώθην ὁ τάλας, ἀγαπήσας τὴν ματαιότητα. Κἀντεῦθεν ἔτι προσεγένετό μοι τὸ μὴ χαίρειν ἐπὶ σοὶ, Κύριε, καὶ μὴ σοὶ προσεφῆφθαι. Ὅτι ἐγὼ μὲν τοῖς ἐκτὸς προσέχων εἰμὶ, σὺ δ' ἐν τοῖς ἐντὸς εἶ· ἐγὼ ἐν τοῖς προσκαίροις, σὺ δὲ ἐν τοῖς πνευματικοῖς· ἐγὼ ἐπὶ τοῖς παρερχομένοις τῇ ψυχῇ διαχέομαι, τῷ λογισμῷ ἀναστρέφομαι, τῷ φθέγματι ἐμπεριπλέκομαι· σὺ δὴ, Κύριε, οἰκεῖς ἐν τοῖς αἰωνίοις, καὶ ἡ αἰωνιότης αὐτὴ σὺ αὐτὸς εἶ· σὺ ἐν τῷ οὐρανῷ, ἐγὼ δὲ ἐπὶ τῆς γῆς· σὺ φιλεῖς τὰ ὑπέρτατα, ἐγὼ δὲ τὰ χθαμαλώτατα· σὺ τὰ οὐράνια, ἐγὼ τὰ χθόνια· πότε δ' ἂν ταῦτα εἰς ἓν συνέλθοι, τὰ οὕτω κατ' ἀλλήλων ἀντιφερόμενα;

ΚΕΦ. Β.

Περὶ τῆς τοῦ ἀνθρώπου ἀθλιότητος καὶ ἀσθενείας.

Ὤ μοι τῷ ταλαιπώρῳ! πότε ἄρα ἡ ἐμὴ στρεβλότης τῇ σῇ εὐθύτητι παρεξισωθῆναι δυνήσεται; Σὺ, Κύριε, χαίρεις τὴν μόνωσιν

ἐπιδοκιμάζων, ἐγὼ δ' ἀνθαιροῦμαι τὴν τύρβην· σὺ τὴν σιγὴν, ἐγὼ δὲ τὸν θροῦν· σὺ τὴν ἀλήθειαν, ἐγὼ τὴν ματαιότητα· σὺ τὴν καθαρότητα, ἐγὼ τὴν ἀκαθαρσίαν διώκω· τί δεῖ πλείω συνείρειν; σὺ εἶ, Δέσποτα, ὁ ὄντως ἀγαθὸς, ἐγὼ δὲ πονηρός· σὺ οἰκτίρμων, ἐγὼ δ' ἀνηλεής· σὺ ἅγιος, ἐγὼ δ' ἐναγὴς ὁ ἐλεεινός· σὺ δίκαιος, ἐγὼ δ' ἄδικος· σὺ τὸ φῶς, ἐγὼ δὲ τυφλώττω· σὺ ἡ ζωὴ, ἐγὼ δὲ νενέκρωμαι· σὺ ἡ ἴασις, ἐγὼ δὲ νοσῶ· σὺ ἡ χαρὰ, ἐγὼ δὲ ἡ ἀνία· σὺ ἡ ἀκροτάτη ἀλήθεια, ἐγὼ δ' ἡ ὁλοτελὴς ματαιότης, καθὰ καὶ ἅπας ἄνθρωπος ζῶν. Οἴ μοι! τί τοίνυν, ὦ Δημιουργὲ, εἴποιμι; ἄκουσον ὁ Δημιουργός μου· σὸν ἐγὼ δημιούργημα, ἠνὶ δ' ἀπόλωλα· σὸν εἰμὶ κτίσμα, ἤδη δὲ θνήσκω· σὸν εἰμὶ ἔργον, εἰς τὸ μηδὲν δ' ἤδη ἐπάνειμι· σὸν ἐγὼ πλάσμα· » Αἱ χειρές σου ἐποίησάν με » καὶ ἔπλασάν με » αἱ χεῖρες, φημὶ, ἐκεῖναι, αἱ τῷ ἰκρίῳ ὑπὲρ ἐμοῦ προσπαγεῖσαι. Κύριε, τὸ ἔργον τῶν χειρῶν σου μὴ παρίδοις! ἔπιδε, δέομαί σου, ἐπὶ τὰς πληγὰς τῶν χειρῶν σου! ἰδοὺ ἐν αὐταῖς σου ταῖς χερσὶ, Κύριε ὁ Θεός μου, ἀπέγραψάς με· ἀνάγνωθι τὴν ἀπογραφὴν ταύτην, καὶ σῶσον με! ἠνὶ πρὸς σὲ τὸ σὸν ἐγὼ ποίημα στοναχίζω. Ὁ κτίστης εἶ, ἐπανάκτισόν με. Ἠνὶ πρὸς σὲ τὸ κτίσμα τὸ σὸν ἀνακράζω· ἡ ζωὴ εἶ, ζωοποίησόν με. Ἠνὶ πρὸς σὲ ἀφορῶ τὸ πλαστούργημά σου· ὁ πλαστουργός μου αὐτὸς εἶ, ἐπανάπλασόν με. Φεῖσαι μου, Κύριε! ὅτι τὸ μηδὲν εἰσὶν αἱ ἡμέραι μου.

Τί ἐστιν ἄνθρωπος, ὥστε καὶ προσφθέγγεσθαι οἷος εἶναι πρὸς Θεὸν, τὸν αὐτὸν ποιήσαντα; Φεῖσαι μου, Κύριε, προσλαλοῦντός σοι! σύγγνωθι τῷ σῷ δούλῳ τῷ διᾶραι χείλη τολμῶντι πρὸς τηλικοῦτον ἑαυτοῦ Κύριον! Ἀνάγκη νόμος οὐ κεῖται· ἡ ἀχθηδών με λαλεῖν ἐπείγει· ἡ ἀθλιότης, ἣν ὑφίσταμαι, κράζειν με προσβιάζεται. Νοσῶν εἰμὶ, τὸν ἰατρὸν ἐπικαλοῦμαι· τυφλώττων εἰμὶ, ἐπὶ τὸ φῶς ἐπισπεύδω· νενέκρωμαι, πρὸς τὴν ζωὴν ἐπιστενάζω· σὺ εἶ ὁ ἰατρὸς, σὺ τὸ φῶς, σὺ ἡ ζωή. Ἰησοῦ Ναζαρηνὲ, οἴκτειρόν με· υἱὲ Δαυῒδ, ἐλέησόν με· ἡ πηγὴ τοῦ ἐλέους, ἐπάκουσον τί πρὸς σὲ ὁ ἀσθενῶν ἀνακέκραγε. Τὸ φῶς τὸ διερχόμενον, πρόσμεινον τὸν τετυφλωμέ-

νον· ὄρεξον αὐτῷ χεῖρα, ἵν' ὡς σὲ ἔλθῃ, καὶ ἐν τῷ φωτί σου φῶς ὄψηται. Ζωὴ ἡ ζῶσα, ἀναζώωσον τὸν νεκρωθέντα. Τίς εἰμὶ ἐγὼ ὁ προσλαλῶν σοί; Οὐαί μοι, Κύριε· φεῖσαι μου, Κύριε· ἐγὼ πτῶμα σεσηπὸς, τροφὴ σκωλήκων, σκεῦος δυσῶδες, νομὴ πυρός· τί ἐγὼ εἰμὶ ὁ συλλαλῶν σοι; Οὐαί μοι, Κύριε, φεῖσαι μου, Κύριε· ἄνθρωπος ἐγὼ ὁ τάλας· ἄνθρωπος ἐκ γυναικὸς γεννηθεὶς, ἐν βραχυτελεῖ ζωῆς χρόνῳ, πολλῆς κακοδαιμονίας ἀνάπλεως. Ἄνθρωπος (φημὶ) ὁμοιωθεὶς ματαιότητι, παρασυμβληθεὶς τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ γεγονὼς παραπλήσιος αὐτοῖς.

Τί δ' αὖθις ἐγώ; ἄβυσσος ζοφερὰ, γῆ ἀθλία, υἱὸς ὀργῆς, σκεῦος ἀτιμίας, κυοφορηθεὶς ἐν ἀκαθαρσίᾳ, ζῶν ἐν ταλαιπωρίᾳ, τεθνηξόμενος ἐν στενοχωρίᾳ. Φεῦ ὁ ἐλεεινός! τί ἄρ' εἰμί; τί δ' ἔσομαι; Ἀγγεῖον κοπρίας, κόγχη σαπρίας, δυσωδίας τε καὶ ἀηδίας καὶ βδελυγμίας φρικτῆς ἀνάμεστος· τυφλὸς, πτωχὸς, γυμνὸς, καὶ ἀνάγκαις μυρίαις ὑποκείμενος, καὶ τὴν εἴσοδόν μου ἀγνοῶν καὶ τὴν ἔξοδον. Οἰκτρὸς καὶ θνητὸς· οὗ αἱ ἡμέραι ὡσεὶ σκιὰ παράγουσιν· οὗ περ ὁ βίος οἱονεὶ σκοτόμαινά τις σεληναία ἐξαφανίζεται· καὶ ὡς ἄνθος φυτοῦ προκύπτει, καὶ αὐτίκα μαραίνεται· νῦν μὲν ἀνθεῖ πρὸς μικρὸν, καὶ μετ' οὐ πολὺ ξηραίνεται. Ἡ ζωή μου, λέγω, ζωή ἐστιν εὔθραυστος, ζωὴ εὔπτωτος· ζωὴ ὅσῳ μᾶλλον προαγομένη, τοσούτῳ μᾶλλον ὑποφθίνουσα· ἥτις ὅσῳ μᾶλλον πρόεισι, τοσούτῳ ἔγγιον τῷ θανάτῳ πρόσεισι· ζωὴ ἀπατηλὴ καὶ σκιώδης, νεκροποιῶν παγίδων ἀνάπλεως. Νῦν χαίρω, παραχρῆμα δ' ἀνιῶμαι· νῦν ἀκμάζω, παρ' αὐτὸ δ' ἀσθενῶ· νῦν ζῶ, αὐτίκα δὲ θνήσκω· νῦν εὐδαιμονεῖν δοκῶ! ἄφαρ δὲ κακοδαιμονῶ· νῦν γελῶ, ἐγγὺς δὲ κλαίω. Οὕτω δέ μοι μεταβολῇ τὰ πάντα ὑπόκειται, ὥστε μοι μόλις κατὰ τὴν αὐτὴν ὥραν ἐξ αὐτῶν τι μένειν ἐπὶ μιᾶς γε καὶ τῆς αὐτῆς καταστάσεως. Ἔνθεν φόβος, ἔνθεν δ' αὖ τρόμος· ἔνθεν λιμὸς, ἔνθεν δίψος· ἔνθεν καῦσος, ἔνθεν ῥῖγος· ἔνθεν ἀτονία, ἔνθεν ἀλγηδὼν ἐπιπλεονάζει. Ἐπὶ δὲ δὴ τούτοις ἐφέπεται φορτικῶς ὁ θάνατος, ὁ τοὺς ἐλεεινοὺς ἀνθρώπους ὁσημέραι τρόποις μυρίοις,

ἀδοκήτως ἁρπάζων· τὸν μὲν γὰρ πυρετοῖς ἀποκτείνει, τὸν δὲ ὀδύναις καταπιέζει· καὶ τὸν μὲν λιμῷ ἀποδαπανᾷ, τὸν δ' ἀποσβέννυσι δίψει· τὸν δ' ἐν ὕδασιν ἀποπνίγει, τὸν δ' ἀπόλλυσι διʼ ἀγχόνης· ἐκεῖνον ἐν φλοξὶν ἀναλίσκει, ἄλλον θηρῶν ἀγρίων ὀδοῦσι βορὰν καθίστησι· τοῦτον κασασφάττει σιδήρῳ, ἐκεῖνον δηλητηρίῳ διαφθείρει, ἕτερον δὲ τρόμῳ τινὶ αἰφνιδίῳ τὸν ἐν ταλαιπωρίαις βίον ἐκπερᾶναι καταναγκάζει. Ἤδη δ' ἐπὶ τούτοις ἅπασιν ἡ πάνδεινος προσεπιγίνεται ἀθλιότης, ὅτι οὐδὲν ὂν βεβαιότερον τοῦ θανάτου, ἀγνοῶν ὅμως ἐστὶν ὁ ἄνθρωπος τὸ τέλος τὸ ἑαυτοῦ, καὶ ἐν ᾧ ἑστᾶναι νομίζει, ἀφαρπάζεται, καὶ ἡ ἐλπὶς αὐτοῦ ἀποίχεται φρούδη· οὐ γὰρ οἶδεν ἄνθρωπος ὅτε, καὶ ὅπου δὴ, καὶ ὅπως τεθνήξεται, καί τοιγε βεβαίως εἰδὼς, ὅτι θανεῖν αὐτῷ πάντως πέπρωται.

Ἰδοὺ, Κύριε, ὅση ἡ ἀνθρώπου ἐστὶν ἀθλιότης, ἐν ᾗ ἐγὼ διάγω, καὶ οὐ πτοοῦμαι· ἡλίκη μου ἡ ταλαιπωρία, ἣν πάσχων εἰμὶ, καὶ οὔτ' ἀλγῶ, οὔτε πρὸς σὲ ἀνακράζω. Κεκράξομαι, Κύριε, πρὶν ἢ παρέλθω, εἴγε τυχὸν μὴ παρέλθοιμι, ἀλλ' ἐν σοὶ μένων εἴην· ἐρῶ τοίνυν, ἐρῶ, Κύριε, τὴν ἐμὴν κακοδαιμονίαν. Ἐξαγορεύσω, καὶ οὐκ αἰσχυνθήσομαι ἐνώπιόν σου τὴν οὐθένειάν μου. Βοηθησόν μοι ἡ δύναμίς μου, διʼ ἧς ἐπανακουφίζομαι· συνάρηξόν μοι ἡ ἰχύς μου, διʼ ἧς ὑπανέχομαι· ἐλθὲ τὸ φῶς διʼ οὗ βλέπω· ἐμφάνηθί μοι ἡ δόξα, ἐν ᾗ κατευφραίνομαι· ἐμφάνηθί μοι, Κύριε ὁ Θεός μου, ἡ ζωή μου, ἐν ᾗ ζήσομαι.

ΚΕΦ. Γ.

Περὶ τοῦ θαυμασίου θείου φωτός.

Ὦ τὸ φῶς τῆς ζωῆς, ὃ καθορῶν ἦν Τωβίας, ὅτε, ὀφθαλμοῖς κεκλεισμένοις, τὴν ὁδὸν τῆς ζωῆς τὸν ἑαυτοῦ υἱὸν ἐξεδίδασκε·

τὸ φῶς, ὅπερ Ἰσαὰκ ἔνδοθεν εἰσεδέρκετο, ἡνίκα ἔξωθεν ἀμβλυωπῶν διεξῄει τῷ τέκνῳ ἀυτοῦ τὰ ἐσόμενα· τὸ φῶς, φημὶ, τὸ ἀθέατον, ᾧ τινι ὁρατὴ ἐστὶ πᾶσα ἡ τῆς ἀνθρωπίνης καρδίας ἄβυσσος· τὸ φῶς, δὶ οὗ Ἰακώβ (ὡς ἔσωθεν ἐκίνεις ἀυτὸν ἐκδιδάσκων) τὰ ἐπερχόμενα τοῖς υἱέσι προήγγελλεν! Ἰδοὺ σκότος ἐν ἐμοὶ ἐπὶ προσώπου τῆς ἀβύσσου ἐπικέχυται τῆς ψυχῆς μου. Ἰδοὺ ἀχλὺς ζοφερὰ ἐπὶ τῶν ὑδάτων τῆς καρδίας μου ἐπεσκέδασται· σὺ εἶ ἡ ἀλήθεια.

Ὦ λόγε, δὶ οὗ πάντα ἐγένετο, καὶ οὗ χωρὶς οὐδὲν ἐστὶν ὅ γέγονεν· ὁ Λόγος ὁ πρὸ τῶν πάντων, οὗ πρότερον οὐδέν· Λόγος, ὁ πάντα παράγων τε καὶ διεξάγων οὗ ἄνευ, οὐδὲν τὰ πάντα· ὁ Λόγος, ὁ εἰπὼν ἐν ἀρχῇ » γενηθήτω φῶς, καὶ ἐγένετο φῶς » εἰπὲ δὴ καὶ νῦν ἐπ' ἐμοί· γενηθήτω φῶς, καὶ γένοιτό μοι φῶς· καὶ ἴδοιμι τὸ τοιόνδε φῶς, καὶ γνοίην πᾶν ὅ περ οὐκ ἔστι φῶς. Ὅτι σοῦ ἄνευ, ἡ μὲν σκοτία εἰς φῶς, τὸ δὲ φῶς εἰς σκοτίαν ἐμοὶ καθίσταται. Καὶ οὕτως, ἄνευ σοῦ τοῦ φωτὸς, οὐκ ἔστιν ἀλήθεια, πάρεστιν ἡ ἀπάτη, πάρεστιν ἡ ματαιότης· οὐκ ἔστιν ἀληθοῦς ἐξακρίβωσις, πάρεστι σύγχυσις, πάρεστιν ἄγνοια· οὐκ ἔστι σύνεσις, οὐδ' ἐπιστήμη, πάρεστι τυφλότης, ἄπεστιν ὅρασις· πάρεστιν ἀνοδία, οὐκ ἔστιν ὁδός· ἄπεστιν ἡ ζωὴ, πάρεστι θάνατος.

ΚΕΦ. Δ.

Περὶ ἀνθρώπου φύσεως θανάτῳ ὑποκειμένης.

Ἰδοὺ, Κύριε, παρὰ τὸ μὴ εἶναι φῶς, ἔστι θάνατος· μᾶλλον δὲ θάνατος οὐκ ἔστιν· οὐδὲν γὰρ ὁ θάνατος· δὶ ἀυτοῦ δ' εἰς τὸ μηδὲν εἶναι ἀυτοὶ χωροῦμεν, ἐν ᾧ ποιεῖν τὸ μηδὲν ἁμαρτάνοντες

οὐκ ὀῤῥωδοῦμεν. Καὶ ἐν δίκῃ δὴ τοῦτο, Κύριε· ἄξια γὰρ ὧν πράττομεν ἀπολαμβάνομεν· καὶ γὰρ ἐπὶ τὸ μηδὲν καταῤῥέομεν ὡσεὶ ὕδωρ τὸ διαπορευόμενον· σοῦ γὰρ ἄνευ γέγονεν οὐδὲ ἕν. Καὶ ἡμεῖς οὖν τῷ ποιεῖν τὸ μηδὲν ἐγενόμεθα τὸ μηδὲν, διὰ τὸ σοῦ χωρὶς εἶναι δὶ οὗ τὰ πάντα ἐγένετο, οὗ χωρὶς ἐγένετο οὐδὲ ἕν. Ὦ Κύριε Λόγε, ὦ Θεὲ καὶ Λόγε, δὶ οὗ τὰ πάντα γέγονε, καὶ οὗ χωρὶς ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν· οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις ἐκτυφλωθέντι, ὅτι σὺ μὲν εἶ τὸ φῶς, ἐγὼ δὲ χωρὶς σοῦ· Οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις τραυματισθέντι, ὅτι σὺ μὲν ἡ ἴασις, ἐγὼ δὲ χωρὶς σοῦ· Οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις μωρανθέντι, ὅτι σὺ μὲν ἡ ἀλήθεια, ἐγὼ δὲ χωρὶς σοῦ· Οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις πλανηθέντι, ὅτι σὺ μὲν ἡ ὁδὸς, ἐγὼ δὲ χωρὶς σοῦ· Οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις νεκρωθέντι, ὅτι σὺ μὲν ἡ ζωὴ, ἐγὼ δὲ χωρὶς σοῦ· Οὐαί μοι τῷ ἀθλίῳ τῷ τοσάκις ἐξουδενωθέντι, ὅτι σὺ μὲν ὁ λόγος δὶ οὗ πάντα ἐγένετο, ἐγὼ δὲ εἰμὶ χωρὶς σοῦ, οὗ χωρὶς ἐγένετο οὐδὲ ἕν.

Ὦ Κύριε Λόγε! ὦ Θεὲ Λόγε! ὅς εἶ τὸ φῶς, δὶ οὗ γέγονε τὸ φῶς· ὅς εἶ ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· ἐν ᾧ οὔτε σκότος ἐστὶν, οὔτ' ἐξαπάτη, οὔτε ματαιότης, οὔτε θάνατος· σὺ τὸ φῶς, οὗ χωρὶς τὸ σκότος· σὺ ἡ ὁδὸς, ἧς χωρὶς ἡ πλάνη· σὺ ἡ ἀλήθεια, ἧς χωρὶς ἡ ματαιότης· σὺ ἡ ζωὴ, ἧς χωρὶς ὁ θάνατος· εἰπὲ λόγον, εἰπὲ, Κύριε· γενηθήτω φῶς, ἵνα ἴδω τὸ φῶς, καὶ ἐκφύγω τὸ σκότος· ἴδω τὴν ὁδὸν, καὶ ἐκφύγω ἀνοδίαν· ἴδω τὴν ἀλήθειαν, καὶ ἐκφύγω τὴν ματαιότητα· ἴδω τὴν ζωὴν, καὶ ἐκφύγω τὸν θάνατον. Καταύγασόν με, Κύριε, ὁ φωτισμός μου καὶ ὁ σωτήρ μου, ὅν φοβηθήσομαι· ὁ Κύριός μου, ὅν ἀνυμνήσω· ὁ Θεός μου, ὅν εὐλογήσω· ὁ Πατήρ μου, ὅν ἀγαπήσω· ὁ Νυμφίος μου, ᾧ ἐμαυτὸν τηρήσω. Λάμψον, φημὶ, ὦ τὸ φῶς μου· ἐπίλαμψον τῷ τυφλῷ τούτῳ, τῷ παρισταμένῳ ἐνώπιόν σου· τῷ ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένῳ, καὶ κατεύθυνον τὰ διαβήματα αὐτοῦ εἰς ὁδὸν » εἰρήνης, δὶ ἧς εἰσελεύσομαι εἰς τόπον σκηνῆς θαυμαστῆς, ἕως τοῦ

» οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως.» Ἡ γὰρ ἀληθὴς ἄυτη ἐξομολόγησις ἐστὶν ἡ τρίβος, δὶ ἧς ἂν ὡς σὲ εἰσέλθοιμι· ἡ ὁδὸς, δὶ ἧς ἂν τῆς μὲν ἀνοδίας ἐκκλίναιμι, πρὸς σὲ δ᾽ ἐπανήξαιμι· ὅτι σὺ εἶ ὄντως ἡ ὁδὸς τῆς ζωῆς.

ΚΕΦ. Ε.

Τὶ ἐστὶ τὸ γίνεσθαι μηδέν.

Ἐξομολογήσομαι τοίνυν, ἐξομολογήσομαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐξομολογήσομαι τὴν ἐμὴν ἀθλιότητα, ὅπως ἐξῇ μοι ἐπὶ τὸ ἔλεος τὸ σὸν ἐφικέσθαι. Ἐλεεινὸς γὰρ ἐγενόμην, καὶ εἰς τὸ μηδὲν ἐτραπόμην, καὶ οὐκ ἔγνων, ὅτι σὺ μὲν εἶ ἡ ἀλήθεια, ἐγω δὲ οὐκ ἦν μετὰ σοῦ. Κατετραυμάτισάν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἤλγησα, ὅτι σὺ μὲν εἶ ἡ ζωή, ἐγὼ δὲ οὐκ ἦν μετὰ σοῦ· ἐπανήγαγόν με εἰς τὸ μηδὲν, ὅτι σὺ εἶ ὁ λόγος, κἀγὼ οὐκ ἦν μετὰ σοῦ, δὶ οὗ τὰ πάντα ἐγένετο, οὗ χωρὶς ἐγένετο μηδὲ ἕν· καὶ διὰ τοῦτο σοῦ ἄνευ, καὶ διὰ τοῦτο σοῦ χωρὶς, ἐγενόμην τὸ οὐδέν· τὸ μηδὲν γὰρ ἐστὶ τὸ ἐπάγον πρὸς τὸ οὐδέν· » Πάντα ἐγέ- » νετο διὰ τοῦ Λόγου, ὅσα ἐγένετο, καὶ οἷα ἐγένετο. Εἶδεν ὁ Θεὸς » πάντα ὅσα ἐποίησε, καὶ ἦν καλὰ λίαν » Πάνθ᾽ ὅσα γέγονε διὰ τοῦ Λόγου γέγονε, καὶ ὅσα γέγονε διὰ τοῦ Λόγου, καλὰ λίαν ἐστί. Διατί καλὰ ἐστί; ὅτι διὰ τοῦ Λόγου πάντα ἐγένετο » καὶ χωρὶς » αὐτοῦ ἐγένετο οὐδὲ ἕν » Οὐδὲν γὰρ ἀγαθὸν χωρὶς τοῦ ἄκρου ἀγαθοῦ· τὸ δὲ κακὸν ἐστὶν ἔνθα οὐδὲν ἐστὶν ἀγαθόν, ἤτοι, ἔνθα ἐστὶ τὸ οὐδέν· τὸ γὰρ κακὸν οὐδὲν ἐστὶν, ἀλλ᾽ ἤ περ ἡ τοῦ ἀγαθοῦ ἀπουσία καὶ στέρησις· ὥσπερ ἡ τυφλότης οὐδὲν ἄλλο ἐστὶν, ἤ περ ἡ στέρησις ἡ τοῦ φωτός.

Τὸ τοίνυν κακὸν ἐστὶ τὸ μηδὲν, ἅτε δὴ χωρὶς τοῦ Λόγου γεγονὸς, οὗ ἄνευ οὐδὲν ἐγένετο. Κακὸν δὲ ἐστι, τῷ δὶ αὐτοῦ τὸν ἄνθρωπον

ἀποστερεῖσθαι τοῦ ἀγαθοῦ, δι' οὗ ἐγένετο πάνθ' ὅσα ἐστί· τὰ δὲ μὴ ὄντα οὐκ ἐγένετο δι' αὐτοῦ, διὸ καὶ οὐδὲν εἰσί· καὶ διὰ τοῦτο κακὰ ἐστὶ τὰ μὴ γεγονότα, ὅτι πάντα ὅσα γέγονε, διὰ τοῦ Λόγου γέγονε, καὶ πάνθ' ἃ γέγονε διὰ τοῦ Λόγου ἐστὶν ἀγαθά. Ἐπεὶ οὖν ἅπαντα διὰ τοῦ Λόγου ἐγένετο, τὰ κακὰ δι' αὐτοῦ οὐκ εἰσί· καὶ λείπεται ἄρα, τὸ πάντα τὰ μηδαμῶς ὑπ' αὐτοῦ γεγονότα, μηδαμῶς ἀγαθὰ εἶναι, ὅτι πάνθ' ὅσα γεγονότα ἐστὶν, ἀγαθὰ ἐστί· διὸ καὶ κακὰ ἐστὶν, ὅτι οὐκ ἐγένετο, ὅθεν καὶ τὸ μηδὲν αὐτὰ ἐστὶν, ὅτι χωρὶς τοῦ Λόγου γέγονε μηδὲ ἕν· τοιγαροῦν τὸ κακὸν ἐστὶ μηδὲν, ὅτι οὐ γέγονεν. Ἀλλὰ πῶς ἐστι κακὸν εἰμὴ γέγονεν; ὅτι τὸ κακὸν ἐστὶ στέρησις τοῦ ἀγαθοῦ, δι' οὗ γέγονε τὸ ἀγαθόν· καὶ τὸ ἄρα χωρὶς εἶναι τοῦ Λόγου κακὸν ἐστίν· ὅ περ εἶναι οὐχ οἷον τε, διὰ τὸ χωρὶς τοῦ Λόγου αὐτοῦ εἶναι μηδέν: ἀλλὰ τί ἐστὶ τὸ ἀπὸ τοῦ Λόγου χωρίζεσθαι;

Εἰ τοῦτο εἰδέναι θέλεις, ἄκουσον τί ἐστὶν ὁ Λόγος. Ὁ Λόγος ὁ τοῦ Θεοῦ λέγει » Ἐγώ εἰμὶ ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή » τὸ τοίνυν ἀποκεχωρίσθαι τοῦ Λόγου ἐστὶ τὸ εἶναι χωρὶς τῆς ὁδοῦ, χωρὶς τῆς ἀληθείας, χωρὶς τῆς ζωῆς· διὸ καὶ τὸ αὐτοῦ χωρὶς εἶναι, τὸ μηδὲν εἶναι ἐστίν· ἔνθεντοι καὶ κακὸν, ὡς ἀποκεχωρισμένον τοῦ Λόγου, δι' οὗ πάντα τὰ γεγονότα ἐστὶν ἀγαθὰ λίαν· τὸ ἄρα τοῦ Λόγου ἀποκεχωρίσθαι, δι' οὗ τὰ πάντα ὑπέστη, οὐδὲν ἕτερον ἐστὶν, ἢ ἐκλείπειν τοῦ ὄντος, καὶ ἀπὸ τῆς ἕξεως ἐπὶ τὴν στέρησιν μεταβαίνειν· ὅτι χωρὶς αὐτοῦ ἐστὶ μηδὲ ἕν. Ὁσάκις οὖν, ἄνθρωπε, ἀπὸ τοῦ ἀγαθοῦ ἐκκλίνων τυγχάνεις, σαυτὸν ἀπὸ τοῦ Λόγου χωρίζεις, ὅτι αὐτὸς ἐστὶ τὸ ἀγαθόν· καὶ διὰ τοῦτο γίγνῃ τὸ μηδὲν, ὅτι χωρὶς ἀφέστηκας τοῦ Λόγου, οὗ ἄνευ γέγονεν οὐδὲ ἕν. Νῦν τοίνυν ἐφώτισάς με, Κύριε, ὅπως ἂν ἴδω σε. Μενοῦνγε εἶδον, καὶ οὕτως ἐμαυτὸν ἐπέγνων, συνιδὼν ὡς τοσάκις τὸ μηδὲν κατέστην, ὁσάκις ἀπὸ σοῦ ἀπέστην· ὅτι, τοῦ, ὅ περ αὐτὸς εἶ, ἀγαθοῦ ἐπελαθόμην, διὸ καὶ κακὸς ἐγενόμην. Οἴ μοι τῷ τάλανι! ἵνα τί τόδ' οὐκ ᾔδειν, ὡς ἄρα σὲ ἀπολείπων, ἐπὶ τὸ μηδὲν ἐτρεπόμην; ἀλλὰ τί τόδ'

ἐρωτῶ ; μηδὲν ταύτῃ γε ὤν , πῶς ἐκεῖνο ἐπιγνῶναι οὐ προηρούμην ; ἴσμεν , ὅτι τὸ κακὸν μηδὲν ἐστί · καὶ ὅ περ μηδὲν ἐστὶν , οὐδ' ἐστὶν ὅλως · καὶ ὅτι τὸ μὴ ἀγαθὸν , οὐκ ἔστιν , ἐπεὶ μηδὲν ἐστίν. Εἰ τοίνυν μὴ ἐγὼ ἦν , ὅτε σοῦ ἄνευθεν ἦν , ὡσεὶ μηδὲν ἄρα ἦν , καὶ οἷον εἴδωλον , τὸ μηδέν τι τῷ ὄντι ὄν · αὐτὸ γὰρ ὦτα μὲν ἔχει , ἀλλ' οὐκ ἀκούει · ῥίνα ἔχει , καὶ οὐκ ὀσφραίνεται · ὀφθαλμοὺς ἔχει , καὶ οὐκ ὀπτάνεται · στόμα ἔχει , καὶ οὐ φθέγγεται · χεῖρας ἔχει , καὶ οὐ ψηλαφᾷ · πόδας ἔχει , καὶ οὐ περιπατεῖ · καὶ ἅπασαν ἔχον τὴν τῶν μελῶν διάρθρωσιν , ἀναισθητεῖ.

ΚΕΦ. ϛ'.

Ἀθλιότης ψυχῆς, τῆς ἐν ἁμαρτίαις συνεχομένης.

Ὅτε τοίνυν χωρὶς σοῦ ἦν ἐγὼ , οὐδαμῶς ἦν · τὸ μηδὲν γὰρ ἦν , καὶ ταύτῃ γε καὶ τυφλὸς ἦν, καὶ κωφὸς, καὶ ὅλως αἰσθήσεως ἀμοιρῶν · καὶ μήτε τὸ ἀγαθὸν διακρίνων , μήτε τοῦ κακοῦ ἀπεκκλίνων, μήτε τοῦ ἐκ τῶν τραυμάτων τῶν ἐμῶν ἄλγους προσαισθανόμενος , μήτε τὸν περὶ ἐμὲ σκοτασμὸν συνορῶν · σοῦ γὰρ ἄνευ ἤμην , τοῦ φωτὸς τοῦ ἀληθινοῦ , τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Οὐαί μοι ! κατετραυμάτισάν με καὶ οὐκ ἤλγησα · παρέσυράν με καὶ οὐ συνήσθημαι · τὸ οὐδὲν γὰρ ἤμην, ὡς ἀμοιρῶν τῆς ζωῆς , ἥτις ἐστὶν ὁ Λόγος , δι' οὗ τὰ πάντα ἐγένετο. Διὰ τοῦτο οὖν , Κύριε , ὅς εἶ τὸ φῶς τὸ ἐμὸν , κατ' ἐμοῦ ἔδρασαν οἱ ἐχθραίνοντές μοι πᾶν ὅ,τι ἠθέλησαν. Ἐπάταξάν με , ἀπεγύμνωσάν με , κατεμίαναν , διέφθειραν , κατῄκισαν , καὶ τέως ἀπέκτειναν , ὅτι ἀπὸ σοῦ ἐμακρύνθην , καὶ γέγονα τὸ οὐδὲν ἄτερ σοῦ.

Οἴ μοι , Κύριε , ἡ ζωή μου , ὁ πλάστης μου , τὸ φῶς τὸ κατευθῦνον με , ὁ ὑπερασπιστής μου , ἐλέησόν με , καὶ ἐξανάστησόν με.

Ὁ Κύριος καὶ Θεός μου, ἡ ἐλπὶς ἡ ἐκ νεότητός μου, ἡ δύναμίς μου, καὶ ἡ ἰσχύς μου, καὶ ἡ ἐν ἡμέρᾳ θλίψεώς μου παράκλησις· ἔπιδε ἐπὶ τοὺς ἐχθραίνοντάς μοι, καὶ ῥῦσαί με. Φυγέτωσαν ἀπὸ προσώπου σου οἱ μισοῦντές με, ἐγὼ δὲ ζήσομαι ἐν σοὶ διὰ σοῦ. Αὐτοὶ γάρ, Κύριε, κατενόησάν με, καὶ σοῦ ἄνευ ἰδόντες με, ἐξουθένισάν με. Διεμερίσαντο ἑαυτοῖς τῶν ἀρετῶν τὰ ἱμάτια, οἷς μὲ σὺ κατεκόσμησας· τρίβον σφίσι δι' ἐμοῦ ἐποιήσαντο· κατεπάτησάν με ὑπὸ τοὺς πόδας αὐτῶν· ἐν ἰλύϊ ἁμαρτημάτων κατεβορβόρωσάν με, κατεμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. Ἔθεντό με ἔρημον, καὶ ἐν ὀδύνῃ κατεξειργάσαντο· διεπορευόμην ὀπίσω αὐτῶν τυφλός, καὶ σχοινίοις τοῖς τῶν ἁμαρτιῶν πεπαγιδευμένος. Περιεῖλκόν με ὄπισθεν ἑαυτοῖς ἀπὸ κακίας εἰς κακίαν, καὶ εἰς ἰλὺν ἐξ ἰλύος, καὶ προήειν ἄνευ ἰσχύος πρὸ προσώπου τοῦ ἐμὲ διώκοντος. Δοῦλος ὑπῆρχον, καὶ στέργων ἐδούλευον· τυφλός, καὶ τυφλώττειν ἐπόθουν· δέσμιος, καὶ τὰ δεσμὰ οὐχ ὑπέφριττον· πικρὸν μὲν τὸ γλυκὺ ἐδόκουν, γλυκὺ δὲ τὸ κατάπικρον.

Ἐλεεινὸς ἤμην, καί γε ἠγνόουν· τουτὶ δέ, ὅτι χωρὶς ὑπῆρχον τοῦ Λόγου, οὗ χωρὶς ἐγένετο οὐδέν, καὶ δι' οὗ τὰ πάντα συντηρεῖται, καὶ οὗ περ ἄνευ, εἰς τὸ μηδὲν πάντα ἐξοίχεται. Ὥσπερ γὰρ δι' αὐτοῦ πάντα ἐγένετο, καὶ αὐτοῦ ἄνευ ἐγένετο οὐδέν, οὕτω δι' αὐτοῦ τὰ πάντα συντηρεῖται, ὅσα γε ἐστὶ τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν τῇ θαλάσσῃ, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Καὶ γὰρ κἀπὶ τῶν λίθων αὐτῶν τῶν ἄλλων κτισμάτων οὑτινοσοῦν, οὐ δὲ μέρος μέρει προσφύεται καὶ συνέχεται, προσηρμένα ἀλλήλοις, εἰμὴ ὅτι ταύτῃ γε συνδιατηρεῖται ὑπὸ τοῦ Λόγου, δι' οὗ πάντα γέγονε. Σοῦ ἄρα τοῦ Λόγου ἀπρὶξ ἐχοίμην ἀναποσπάστως, ἵνα συντηροίης με σωζόμενον· σοῦ γὰρ ἀπομακρυνθεὶς ἀπολώμην ἂν κατ' ἐμαυτόν, εἰμή με φθάσας αὐτὸς ὁ πλαστουργήσας ἀνέπλασας. Ἀλλ' ἐγὼ μὲν ἐξήμαρτον, σὺ δ' ἐπεσκέψω· ἐγὼ πέπτωκα, σὺ δ' ἀνέστησας· ἐγὼ ἠγνόησα, σὺ δὲ μ' ἐξεπαίδευσας· ἐγὼ συνεσχέθην ἀβλεψίᾳ, σὺ δὲ μ' ἐφώτισας.

ΚΕΦ. Ζ.

Περὶ τῶν πολλαπλασίων τȣ̃ Θεȣ̃ περὶ τὸν ἄνθρωπον Εὐεργετημάτων.

Δεῖξόν μοι, Κύριε ὁ Θεός μου, ὅσον ἐγὼ ὁ τάλας ἀγαπᾷν καὶ ἀνυμνεῖν σε ὀφείλω· Γνώρισόν μοι ὅπως δεῖ με εὐαρεστεῖν σοι. Βρόντησον ἐξ ὕψους, Κύριε, φωνῇ μεγάλῃ καὶ ἰσχυρᾷ, εἰς τὸ μυχαίτατον οὖς τῆς καρδίας μου· δίδαξόν με καὶ σῶσον με, καὶ ὑψώσω σὲ τὸν ἐν ἀρχῇ τὸ μηδὲν ὄντα με κτίσαντα, τὸν φωτίσαντά με ἐν σκότει διάγοντα, τὸν ἐξαναστήσαντά με νεκρωθέντα, τὸν ἐκ νεότητός μου ἐν ἅπασι τοῖς σοῖς ἀγαθοῖς διεκθρέψαντα, καὶ πᾶσι τοῖς ἀρίστοις δωρήμασί σου, ἔτι καὶ νῦν, διεκτρέφοντα, ἐμὲ δηλονότι τὸν ἀχρεῖον σκώληκα, τὸν ἐν ἁμαρτίαις μυρίαις ἐκσεσηπότα, καὶ ἤδη ἀπόζοντα.

Ὦ ἡ κλεὶς ἡ τοῦ Δαυὶδ, ἄνοιξόν μοι ὁ ἀνοίγων καὶ οὐδεὶς ἔσται ὁ κλείων ᾧ ἂν ἀνοίξαις· καὶ κλείων, καὶ οὐδεὶς ἔσται ὁ ἀνοίξων ᾧ περ ἂν κλείσαις. Ἄνοιξόν μοι τὴν θύραν τοῦ φωτός σου, ἵνα εἰσέλθω, καὶ ἴδω, καὶ γνῶ, καὶ ἐξομολογήσωμαί σοι ἐν ὅλῃ καρδίᾳ μου, ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρύσω τὴν » ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Κύριε, ὁ Θεὸς ἡμῶν, ὡς θαυμα-» στὸν καὶ αἰνετὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! Καὶ τί ἐστὶν ἄν-» θρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ » αὐτόν; » Κύριε, ἡ τῶν ἐν ἁγιότητι ζώντων ἐλπὶς, καὶ ὁ πύργος ὁ τῆς ἰσχύος αὐτῶν· Κύριε, ἡ τῆς ψυχῆς μου ζωὴ, δι' ἧς ζῶ, καὶ ἧς ἄνευ ἐκθνήσκω· τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν δι' οὗ βλέπω, καὶ οὗ ἄνευ ἀβλεπτῶ· ἡ χαρὰ τῆς ἐμῆς καρδίας, καὶ τοῦ πνεύματός μου ἡ εὐφροσύνη· ἀγαπήσω σε ἐν ὅλῃ μου τῇ καρδίᾳ, καὶ ἐξ ὅλης μου τῆς ἰσχύος, καὶ ἐν ὅλοις τοῖς ἐνδοτάτοις μου σπλάγχνοις, ὅτι σὺ πρῶτος ἠγάπησάς με.

Πόθεν δέ μοι τοῦτο, ὦ ποιητὰ τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, καὶ τῆς ἀβύσσου, ὅς τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις, πόθεν μοι τοῦτο, ὅτι ἠγάπησάς με; ὦ σοφία, ἡ τὸ στόμα τῶν ἀλάλων ἀνοίγουσα! ὦ Λόγε, δἰ οὗ ἐγένετο πάντα! ἄνοιξόν μου τὸ στόμα, παράσχου δή μοι φωνὴν αἰνέσεως, ἵνα διηγήσωμαι τῶν εὐεργεσιῶν σου τὸ πλῆθος, ἅς ἐμοὶ, Κύριε, ἐξ ἀρχῆς ἐπεδαψιλεύσω. Ἰδοὺ γὰρ ἐγὼ ὑπάρχων εἰμὶ, ὅτι σὺ ἐποίησάς με καί ἔπλασάς με, καὶ τοῖς λοιποῖς ποιήμασί σου συγκατηρίθμησας· σύ με προώρισας ἐξ αἰῶνος ἀπ' ἀρχῆς, πρὶν ἄν τι ποιῆσαι, πρὶν τοὺς οὐρανοὺς ἐκτεῖναι· οὔπω δ' ἦσαν αἱ ἄβυσσοι, οὐδ' ἡ γῆ καθειστήκει, οὐδὲ τὰ ὄρη τεθεμελίωτο, οὐδ' ἐξεῤῥαγήκεσαν αἱ πηγαί. Πρὸ τοῦ γάρ σε τάδε πάντα ποιῆσαι, ἃ διὰ τοῦ σοῦ Λόγου ὑπέστησας, ἕν τι τῶν σῶν δημιουργημάτων, κατὰ τὴν ἀσφαλεστάτην πρόνοιαν τῆς σῆς ἀληθείας, κἀμὲ ἔσεσθαι προέγνως τε καὶ ἠθέλησας.

Τοῦτο δὲ ἄρα πόθεν ἐμοὶ, πανάγαθε Κύριε, Θεὲ ὑπερύψιστε, Πατὴρ τῶν οἰκτιρμῶν, ποιητὰ τοῦ παντὸς παντοδύναμε καὶ πανεύσπλαγχνε; τίς ἡ ἐν ἐμοὶ ἀξιότης; τίς δ' ἡ χάρις ἐνώπιον τῆς σῆς ἀπείρου μεγαλωσύνης, δἰ ἣν με δημιουργῆσαι ηὐδόκησας; Οὐκ ἦν ἐγὼ, καὶ παρήγαγες· τὸ μηδὲν ἦν, καὶ ἐκ τοῦ μηδενὸς εἶναί μέ τι ἐποίησας· ὁποῖον δέ τι; οὔκουν σταγόνα ὕδατος, οὐ πῦρ, οὐκ ὄρνιν, οὐκ ἰχθῦν, οὐχ ἑρπετὸν, οὐ κτῆνος, οὐ λίθον, οὐ ξύλον· οὐκ ἐξ ἐκείνων τοῦ γένους, ἃ μόνον ἔχει τὸ εἶναι, οὐδ' ἐξ ὧν καὶ εἶναι δύναται, καὶ αὔξειν μόνον, οὐδ' ἐξ ὧν καὶ εἶναι, καὶ αὔξειν, καὶ αἰσθάνεσθαι μόνον, ἀλλ' ὑπὲρ ἅπαντα τὰ τοιαῦτα· καὶ ἐξ ἐκείνων εἶναι με ἠβουλήθης, ἃ καὶ ἐστὶν, ὅτι εἰμί· καὶ ἐξ ἐκείνων, ἃ καὶ ἐστὶ καὶ αὔξει, ὅτι καὶ εἰμὶ καὶ αὔξω. καὶ ἐξ ἐκείνων δὲ, ἃ καὶ εἶναι, καὶ αὔξειν, καὶ αἰσθάνεσθαι φύσιν ἔχει, ὅτι καὶ εἰμὶ, καὶ αὐξάνω, καὶ αἰσθάνομαι· καί με τῶν Ἀγγέλων βραχύ τι ὅσον ἠλάττωσας, ὅτι κοινῇ σὺν αὐτοῖς καὶ λογικῆς δυνάμεως ἐπὶ τῷ σὲ γινώσκειν παρὰ σοῦ μετέσχον. Βραχὺ δ' ὅσον, ἔφην, τῶν Ἀγγέλων, ὅτι ἐκεῖνοι μὲν τῆς σῆς μακαρίας γνώσεως ἐν εἴδει ἀπολαύουσιν,

ἐγὼ δὲ δι' ἐλπίδος· ἐκεῖνοι πρόσωπον πρὸς πρόσωπον σὲ καθορῶσιν, ἐγὼ δὲ ἐν ἐσόπτρῳ, καὶ δι' αἰνίγματος· ἐκεῖνοι μὲν πεπληρωμένως, ἐγὼ δὲ ἐκ μέρους.

ΚΕΦ. Η

Περὶ τῆς ἐν τῷ μέλλοντι ἀξίας τοῦ ἀνθρώπου.

Ἀλλ' ὅταν ἔλθῃ τὸ τέλειον, καταργηθήσεται τὸ ἐκ μέρους, καὶ τότε ἀνακεκαλυμμένῳ προσώπῳ τὸ πρόσωπόν σου ὀψόμεθα· καὶ τί γὰρ τὸ τηνικαῦτα κωλῦσον τοῦ μηδὲ βραχύ τι παρ' Ἀγγέλους ἡμᾶς ἐλαττοῦσθαι, οὓς ἂν αὐτὸς, Κύριε, τῷ τῆς ἐλπίδος διαδήματι, καὶ τῇ τιμῇ καὶ δόξῃ, αἷς ἡ μακαριότης ἐπαγλαΐζεται, καταστέψας, οἷα φίλους σοὺς διαφερόντως τιμήσαις; μᾶλλον δὲ καὶ αὐτοῖς τοῖς Ἀγγέλοις κατὰ πάντα ὁμοίους τε καὶ ἰσοτίμους ἀναδείξαις; Ἀμέλει τοι καὶ τόδε προεπηγγείλατο ἡ ἀλήθειά σου, ὅτι » ὡς Ἄγγελοι » τοῦ Θεοῦ οἱ ἐν οὐρανῷ, καὶ ὡς υἱοὶ τοῦ Θεοῦ εἰσί » πῶς γὰρ οὐχ υἱοὶ τοῦ Θεοῦ, εἴπερ ἰσάγγελοι; υἱοὶ δὲ τοῦ Θεοῦ ἔσονται ἀληθῶς, ὅτι καὶ ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου ἐγένετο. Τοῦτο οὖν λογιζομένῳ θαῤῥούντως ἔπεισί μοι λέγειν, ὡς οὐχὶ βραχύ τι ἥσσων Ἀγγέλων ἐστὶν ὁ ἄνθρωπος· οὐ γὰρ δήπου Ἀγγέλοις ἶσος ἐστὶν, ἀλλὰ καὶ τῶν Ἀγγέλων ἔτι ὑπέρτερος· ὁ γὰρ ἄνθρωπος, Θεὸς, καὶ ὁ Θεὸς ἐγένετο ἄνθρωπος, οὐκ Ἄγγελος.

Διὰ τοῦτο δὴ ἐρῶ τὸν ἄνθρωπον εἶναι τῶν κτισμάτων τὸ τιμιώτατον· » ὁ γὰρ Λόγος, ὃς ἦν Θεὸς ἐν ἀρχῇ πρὸς » τὸν Θεὸν· ὁ Λόγος, δι' οὗ εἶπεν ὁ Θεὸς, γενηθήτω » φῶς, καὶ ἐγένετο φῶς· (ἡ ἀγγελικὴ δηλονότι φύσις·) » ὁ Λόγος, δι' οὗ ὁ Θεὸς ἐποίησε πάντα ἐν ἀρχῇ· αὐτὸς » ὁ Λόγος ἐγένετο σάρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ

» ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ. » Ἰδοὺ ἡ δόξα καθ' ἣν μέγα φρονῶ, ἐν ᾧ εὖ τυγχάνω φρονῶν. Ἰδοὺ ἡ χαρὰ ἐν ᾗ χαίρω ὅτε ὀρθῶς εἰμὶ χαίρων· Κύριε ὁ Θεός μου, ἡ ζωή μου, καὶ ἡ ὅλη τῆς ἐμῆς ψυχῆς δόξα. Ἐξομολογοῦμαι σοὶ τοίνυν τῷ Κυρίῳ καὶ Θεῷ μου, τῷ λόγου μετέχοντά με πεποιηκότι, καὶ ἴσον τοῖς Ἀγγέλοις ἀμωσγέπως δημιουργήσαντι, διὸ καὶ τελειοῦσθαι διὰ τοῦ σοῦ Λόγου δυνάμενον, ὡς καὶ εἰς ἰσότητα τὴν τῶν Ἀγγέλων ἐφικέσθαι, καὶ τῆς υἱοθεσίας καταξιωθῆναι διὰ τοῦ σοῦ μονογενοῦς Λόγου καὶ ἀγαπητοῦ Υἱοῦ, Κύριε, ἐν ᾧ ηὐδόκησας· τοῦ συγκληρονόμου ἐμοὶ, καὶ συμφυοῦς, καὶ ὁμοουσίου, καὶ συναϊδίου σοι Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς Κυρίου τε καὶ λυτρωτοῦ ἡμῶν, τοῦ φωτίζοντος καὶ παρακαλοῦντος ἡμᾶς, καὶ συνηγοροῦντος ἡμῖν παρὰ σοί· ὅς καὶ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ἐστὶ τὸ φῶς, καὶ ἡ ζωὴ ἡμῶν καὶ ἡ σωτηρία, καὶ ἡ μόνη ἐλπίς· ὅς καὶ μᾶλλον ἡμᾶς ἠγάπησεν ἢ ἑαυτόν· δι' οὗ θάῤῥος ἔχομεν τὸ παρὰ σοὶ, καὶ βεβαίαν τὴν πεποίθησιν, καὶ τῆς προσαγωγῆς ἀξιούμεθα τῆς πρὸς σὲ τυχεῖν. » Ἔδωκε γὰρ ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι πᾶσι τοῖς » πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. »

Αἶνον τοιγαροῦν ἀποδώσω τῷ ὀνόματί σου, Κύριε, ὅτι κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν κτίσας, τηλικαύτης ἐπιδεκτικὸν ἐποίησάς με δόξης, ὥστε καὶ υἱὸν Θεοῦ δύνασθαί με γενέσθαι· τουτὶ γὰρ δήπου οὐχὶ τὰ φυτὰ δύναται, οὐχ οἱ λίθοι, οὐχ ἐν γένει τῶν κινουμένων καὶ αὐξανομένων ἐν ἀέρι, ἐν γῇ, ἐν θαλάσσῃ, οὐδέν. Οὐ γὰρ αὐτοῖς ὁ Λόγος ὁ σὸς ἔδωκεν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, λογικῆς δυνάμεως ἀμοιρήσασιν· ἡ γὰρ τοιαύτη δύναμις τῷ Λόγῳ συνέστηκε, δι' οὗ σὲ Θεὸν γινώσκομεν· τῆς δὲ ἀνθρώποις μετέδωκας, οὓς λογικοὺς πεφυκέναι, κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, ὑπεστήσω. Κἀγὼ δὲ ἄνθρωπος εἰμὶ πάντως τῇ σῇ χάριτι, Κύριε, καὶ υἱὸς σὸς γενέσθαι δύναμαι κατὰ χάριν, ὅπερ ἐκεῖνα οὐ δύναται.

Πόθεν μοι τοῦτο, Κύριε, ὅς ἡ ἀκροτάτη ὑπάρχεις ἀλήθεια, καὶ ἡ ἀληθεστάτη ἀκρότης, καὶ ἡ τῆς κτίσεως ἁπάσης ἀρχή;

πόθεν, Κύριέ μοι, τοῦτο, τὸ δύνασθαί με υἱὸν σὸν γενέσθαι, ὅπερ ἐκεῖνα οὐ δύναται; σὺ γὰρ εἰς τὸν αἰῶνα μένων, ἅμα πάντα ἐποίησας, ἀνθρώπους τε, καὶ κτήνη, καὶ λίθους, καὶ πᾶν χλωρὸν γῆς. Οὔτις ἐν αὐτοῖς δήπου ἀξιότης προενυπῆρχεν, οὐδέτις ἐν αὐτοῖς φθάσασα προηγήσατο χάρις· ἐκ γὰρ μόνης τῆς σῆς ἀγαθότητος ἔκτισας πάντα, καὶ κτισμάτων ἁπαξαπάντων, ᾗ κτίσματα, ἰσοστάσιος ἡ ἀξία· ἦν γὰρ οὐδενὸς οὐδεμία. Καὶ πόθεν ἄρα ἐν ἐμοὶ τῷ σῷ τῷδε κτίσματι, ᾧ λόγου μετέδωκας, μᾶλλον ἢ ἐν τοῖς λοιποῖς ἅπασι, πεφυκόσιν ἀλόγοις, ἡ σὴ ἀγαθότης ἐναπεφάνθη; τί οὐχὶ κἀγὼ ὡς ἐκεῖνα πάντα; ἢ τί οὐχὶ κἀκεῖνα ὥσπερ ἐγώ; ἢ ἐγὼ μόνος ὥσπερ ἐκεῖνα; τί τὸ ἐμὸν ἀξίωμα, ἢ τίς ἡ ἐν ἐμοὶ χάρις, ἵνα με υἱὸν Θεοῦ γενέσθαι ἔχειν ποιήσῃς, τοῖς δ' ἄλλοις ἅπασιν ἀπονάσῃς; Ἄπαγε, Κύριε, τοῦ οὕτω φρονεῖν με! ἡ σὴ μόνη χάρις, μόνη ἡ σὴ ἀγαθότης τουτὶ διεπράξατο, ὥστε με τῆς σῆς μέτοχον γενέσθαι ταύτης χρηστότητος. Τὴν ἄρα χάριν, ᾗ ἐκ τοῦ μηδενός με τοιοῦτον παρήγαγες, τὴν αὐτήν μοι παράσχου, Κύριε, δεομένῳ σου, ὥστε σοὶ ἐπὶ τούτῳ ἔχειν ᾗ δέον εὐχαριστεῖν.

ΚΕΦ. Θ.

Περὶ τῆς τȣ̃ Θεȣ̃ παντοδυναμίας.

Ἡ πανσθενής σου χεὶρ, Κύριε, μία τε καὶ ἡ αὐτὴ ἀεὶ οὖσα, ἐν οὐρανῷ μὲν ἔκτισεν Ἀγγέλους, ἐπὶ γῆς δὲ σκώληκας, οὔτ' ἐν ἐκείνοις ὑπερτέρα, οὔτ' ἐν τούτοις ὑποδεεστέρα τυγχάνουσα· ὥσπερ γὰρ οὔτις ἂν ἄλλη χεὶρ κτίσαι Ἄγγελον δυνηθείη, οὕτως οὐδὲ σκωλήκιον· ὥσπερ οὐχὶ τὸν οὐρανὸν, οὕτως οὐδὲ φύλλον δένδρου παραγαγεῖν τὸ σμικρότατον· ὥσπερ οὐκ ἂν τὸ σῶμα, οὕτως οὐδ' ἂν τοῦ σώματος τρίχα μίαν λευκὴν, ἢ μέλαιναν ποιήσειεν, ἀλλ' ἡ παντοδύναμός σου χεὶρ, ᾗ τινι δυνατὰ ἐστὶ πάντα ἐπίσης.

Οὐ γὰρ αὐτῇ δυνατὸν ἐστὶ μᾶλλον, σκωλήκιον κτίσαι ἢ Ἄγγελον, οὐδ᾽ ἧττον δυνατὸν οὐρανὸν ἐκτεῖναι, ἢ φύλλον· οὐδὲ ῥᾴδιον τρίχα μορφῶσαι, ἢ σῶμα· οὐδὲ δυσχερέστερον τὴν γῆν ἐπὶ τῶν ὑδάτων ἑδράσαι, ἢ ἐπὶ τῆς γῆς τὰ ὕδατα· ἀλλ᾽ ὅσα ἠθέλησεν ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις· κἀμὲ δὲ αὐτὸν, ὡς ἠθέλησε, καὶ ἐδύνατο, καὶ ἠπίστατο· ἠδύνατο γὰρ ἡ χείρ σου, Κύριε, λίθον με, ἢ ὄφιν, ἢ ὄρνιν, ἢ ὅ,τι οὖν ἄλλο κτῆνος ποιῆσαι, ἀλλ᾽ οὐκ ἠβουλήθη, διὰ τὴν αὐτῆς ἀγαθότητα· διὰ τοῦτο οὖν οὔτε λίθος ἐγὼ, οὔτε φυτὸν, οὔτε κτῆνος, ὅτι οὕτως ἡ ἀγαθότης ἡ σὴ διετάξατο· εἰς δὲ τὸ οὑτωσὶ διατάξασθαι, οὐδὲν ὅ,τι καὶ ἄξιον ἐν ἐμοὶ προηγήσατο.

ΚΕΦ. Ι.

Περὶ τῆς ἀκατανοήτου θείας αἰνέσεως.

Πόθεν μοι τοῦτο, Κύριε, πόθεν μοι πρὸς αἴνεσίν σου οἱ ὕμνοι; ὥσπερ γὰρ ἐποίησάς με ἄνευ ἐμοῦ, καθάπερ ηὐδόκησας, οὕτω καὶ ἡ αἴνεσίς μου ἡ πρὸς σὲ, ἄνευ ἐμοῦ, κατ᾽ εὐδοκίαν τὴν σὴν ἐστιν ἐνώπιόν σου. Ἡ πρὸς σὲ, Κύριε, αἴνεσις, σὺ αὐτὸς εἶ· αἰνεσάτωσάν σε τὰ ἔργα σου κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης σου· ἀκατάληπτος γὰρ ὁ αἶνος σου, Κύριε· οὐ καρδίᾳ περινοεῖται, οὐ μετρεῖται στόματι, οὐκ ἀκοῇ προσλαμβάνεται· πάντα γὰρ ταῦτα παράγει, ἡ δ᾽ αἴνεσίς σου εἰς τὸν αἰῶνα μένει. Λογισμὸς ἀπάρχεται, καὶ λογισμὸς καταλήγει· φωνὴ ἐξηχεῖ, καὶ φωνὴ παρέρχεται· οὖς ἀκούει, καὶ ἡ ἀκοὴ καταπαύεται, ὁ δ᾽ αἶνος, Κύριε, ὁ σὸς εἰς τὸν αἰῶνα ἕστηκε.

Τίς οὖν αἰνέσει σε, ἢ τίς ἀναγγελεῖ τὴν σὴν αἴνεσιν; Ἡ αἴνεσίς σου ἐστὶν αἰώνιος, οὐ παρερχομένη. Ἐκεῖνος αἰνεῖ σε, ὃς ἑαυτὸν ἐπίσταται μὴ δυνάμενον πρὸς αἴνεσιν τὴν σὴν ἐξικέσθαι. Ὦ αἰωνία αἴνεσις, ἡ μηδέ ποτε παριοῦσα! ἐν σοὶ ἡ ὕμνησίς μου

διὰ παντός · ἐν σοὶ ἐπαινεθήσεται ἡ ψυχή μου · οὐχ ἡμεῖς ἐσμὲν οἱ ὑμνοῦντές σε, ἀλλὰ σὺ σαυτὸν, καὶ διὰ σοῦ, καὶ ἐν σοί · καὶ ἡμῖν δ' ὁ ὕμνος ἐν σοί · τότε γὰρ τὸν ὕμνον ἔχομεν ἀληθεύοντα, ὅτ' ἂν ἔχωμεν παρὰ σοῦ · ὅτ' ἂν τὸ φῶς ἐπεγκρίνῃ τὸ φῶς · σὺ γὰρ, ὁ ἀληθὴς αἶνος, τὴν αἴνεσιν τὴν ἀληθινὴν ὑποβάλλεις · ὁσάκις δ' ἂν παρ' ἑτέρου γέ του, ἢ παρὰ σοῦ, ἐπιζητοῦμεν αἶνον, τοσάκις τοῦ σοῦ αἴνου ἀποτυγχάνομεν · ὁ μὲν γάρ ἐστι παρερχόμενος, ὁ δὲ παρὰ σοῦ διαιωνίζων. Ἐὰν οὖν αἰτῶμεν τὸν παριόντα, τοῦ αἰωνίου ἐκπίπτομεν· εἰ δὲ τὸν αἰώνιον θέλομεν, μὴ ἀγαπήσωμεν τὸν παράγοντα. Ὦ ὕμνε προαιώνιε, Κύριε ὁ Θεός μου, ὑφ' οὗ αἴνεσις πᾶσα, οὗ χωρὶς, οὐδεμία, οὐ δύναμαι χωρὶς σοῦ ἀνυμνεῖν σε · ἔχοιμί σε, καὶ αἰνέσω σε · τίς γὰρ κατ' ἐμαυτὸν ἐγὼ, Κύριε, ὡς καὶ αἰνέσαι σε; χοῦς εἰμὶ καὶ σποδός · κύων ἐγὼ τεθνηκὼς καὶ δυσώδης · σκώληξ ἐγὼ καὶ σαπρία · τίς εἰμὶ ἐγὼ ὥστε ὑμνῆσαι σε, ὦ Κύριε τῶν δυνάμεων, ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, ὁ οἰκῶν τὴν ἀθανασίαν;

Μὴ ὑμνήσει τὸ φῶς ἡ σκοτία; ἢ ὁ θάνατος τὴν ζωήν; σὺ εἶ τὸ φῶς, ἐγὼ δὲ σκότος · σὺ ἡ ζωὴ, ἐγὼ δὲ θάνατος · μὴ τὴν ἀλήθειαν ἐξυμνήσει ἡ ματαιότης; σὺ εἶ ἡ ἀλήθεια, ἐγὼ δὲ ματαιότητι ὡμοιώθην · τί ἄρα, Κύριε, ὑμνήσω σε; μήτοι σε ὑμνήσει ἡ ἐμὴ ἀθλιότης; μὴ ἡ δυσωδία τὴν εὐωδίαν ὑμνήσει; μὴ ἡ ἐν ἀνθρώπῳ θνητότης, τῷ σήμερον μὲν ὄντι, αὔριον δ' ἀφαρπαζομένῳ; μὴ ὑμνήσει σε ἄνθρωπος ἡ σαπρία, καὶ υἱὸς ἀνθρώπου ὁ σκώληξ; μὴ ὑμνήσει σε, Κύριε, ὁ ἐν ἁμαρτίαις καὶ συλληφθεὶς, καὶ κυηθεὶς, καὶ ἀνατραφείς; Οὐχ ὡραῖος, ὁ ἐν ἁμαρτωλοῦ στόματι αἶνος · αἰνεσάτω σὲ, Θεὲ καὶ Κύριε παντοκράτορ, ἡ ἀκατάληπτός σου δύναμις, ἡ ἀπερινόητός σου σοφία, ἡ ἀνερμήνευτός σου ἀγαθοσύνη · αἰνεσάτω σε ἡ ὑπερέχουσά σου χρηστότης, τὸ ὑπεράφθονόν σου ἔλεος, ἡ ὑπεραιώνιός σου δύναμις καὶ θεότης · αἰνεσάτω σε ἡ παντοκρατορική σου ἰσχὺς, καὶ ἡ ἀκροτάτη σου φιλανθρωπία τε καὶ ἀγάπη, δι' ἧς ἡμᾶς ἔκτισας, Κύριε ὁ Θεός μου, ἡ ζωὴ τῆς ψυχῆς μου.

ΚΕΦ. ΙΑ.

Περὶ τῆς ἐλπίδος, ἥν δέον πρὸς Θεὸν ἀνατείνεσθαι.

Ἐγὼ δὲ, τὸ κτίσμα τὸ σὸν, ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου ἐλπιῶ, καὶ ἐν τῇ ἀγαθότητί σου, δἰ ἧς με ἐδημιούργησας. Ἀντιλαβοῦ μου τοῦ κτίσματος τοῦ σοῦ, ὅ παρήγαγεν ἡ σὴ ἀγαθότης· μὴ δἰ ἐμὴν κακίαν ἀπόληται, ὅ ὑπέστησεν ἡ σὴ εὐσπλαγχνία· μὴ ἀπόληται ἐν τῇ ἐλεεινότητί μου, ὅ τὸ σὸν ἐποίησεν ἔλεος· τί γάρ μοι τὸ ὄφελος τοῦ παρὰ σοῦ ἐκτίσθαι ἐν τῷ καταβῆναι με εἰς διαφθοράν; μὴ γὰρ ματαίως ὁ Θεὸς ἔκτισας τοὺς υἱοὺς τῶν ἀνθρώπων; Ἔκτισάς με, Κύριε, διεύθυνόν με τὸ κτίσμα τὸ σόν· τῶν σῶν χειρῶν ἔργον εἰμὶ, μὴ ὑπερίδοις με ὁ Θεός μου. Ἐκ τοῦ μηδαμῶς ὄντος ἐποίησάς με· ἐὰν μὴ σὺ, Κύριε, κατευθύνῃς, ἐπὶ τὸ μὴ ὂν ἄυθις ἐπανελεύσομαι. Ὥσπερ γὰρ, Κύριε, οὐδὲν ἤμην, καὶ ἐκ τοῦ μηδενὸς ἔκτισάς με, οὕτως, εἰμὴ με σὺ κατευθύναις, πάλιν εἰς τὸ μὴ ὂν ἐπανακάμψω.

Βοήθησόν μοι, Κύριε, ἡ ζωή μου, ἵνα μὴ ἐν τῇ ἐμῇ μοχθηρίᾳ ἀπόλωμαι. Εἰμὴ σὺ, Κύριε, ἔκτισάς με, ἐγὼ οὐκ ἄν ἦν· εἰμὶ γὰρ ἤδη, ἐπεί με ἔκτισας· εἰ γοῦν μή με διευθύνῃς ἤδη οὐκ ἔσομαι. Οὐχ ἡ ἐμὴ ἀξιότης, οὐδ᾽ ἡ ἐν ἐμοὶ χάρις ἐνήγαγόν σε τοῦ κτίσαι με, ἀλλ᾽ ἡ ὑπεράγαθός σου ἀγαθότης καὶ εὐσπλαγχνία, ἡ αὐτή σοῦ ἀγαθότης, Κύριε, καὶ εὐσπλαγχνία, ἡ αὐτὴ ἄυτη χρηστότης ἡ εἰς τὸ κτίσαι με ἐναγαγοῦσα, ἡ αὐτὴ δέομαί σου νῦν ἐναγαγέτω σε καὶ εἰς τὸ κατευθῦναί με. Τίς γάρ ἐμοὶ ἡ ὠφέλεια τοῦ ὑπὸ τῆς σῆς ἀγαθωσύνης κτισθέντα ἀπολέσθαι, ἐπὶ τῆς ἐμῆς ἀθλιότητος μηδαμῶς με τῆς δεξιᾶς σου κατευθυνάσης; Αὐτὴ τοιγαροῦν ἡ σὴ ἀγαθότης, Κύριε ὁ Θεός μου, κινησάτω σε εἰς τὸ διασῶσαι τὸ δημι-

ουργηθὲν ὑπὸ σοῦ, ἡ εἰς τὸ δημιουργῆσαι κινήσασα· οὐδὲ γὰρ οὐδὲ νῦν ἐλάσσων ἐστὶν, ὅτι ἡ αὐτοαγαθότης σὺ εἶ, ὁ αὐτὸς ὢν ἀεί. Οὐχ ὑπεβραχύνθη ὁ σὸς, Κύριε, βραχίων, ὡς ἀντιλαβέσθαι καὶ σῶσαι μὴ ἔχειν· οὐδ' ὑπημβλύνθη τὸ οὖς σου, ὥστε μὴ εἰσακούειν· ἀλλ' αἱ ἀνομίαι μου διεχώρισαν ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον σοῦ· ἀναμέσον τοῦ σκότους καὶ τοῦ φωτὸς· ἀναμέσον σκιᾶς θανάτου καὶ τῆς ζωῆς· ἀναμέσου τῆς ματαιότητος καὶ τῆς ἀληθείας· ἀναμέσον τῆς ἐμῆς ζωῆς ταύτης τῆς σεληναίας καὶ τῆς ἐν σοὶ, τῆς ἀπεράντου καὶ αἰωνιζούσης.

ΚΕΦ. ΙΒ.

Περὶ τῶν ἐξ ἐπιθυμιῶν παγίδων.

Τοῦτο με τὸ κατακαλύπτον ἐστὶ σκότος ἐν τῇ ζοφερᾷ ἀβύσσῳ τοῦ δὲ τοῦ δεσμωτηρίου ἐν ᾧ κατάκειμαι, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ βραχυνθῶσιν αἱ σκιαὶ, καὶ φωνὴ γένηται ἐν τῷ στερεώματι τῆς δυνάμεώς σου· » Φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυ» ρίου ἐν μεγαλοπρεπείᾳ, γενηθήτω (λέγουσα) φῶς, καὶ ἀποχωρείτω τὸ σκότος, καὶ ὀφθήτω ἡ ξηρὰ, καὶ βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπέρμα ἀγαθὸν δικαιοσύνης προβάλλουσαν, καὶ καρπὸν τῆς βασιλείας τῆς σῆς ἐπάξιον. Ὦ Θεὲ Πάτερ καὶ Δέσποτα! ἡ ζωὴ δι' ἧς ζῇ τὰ πάντα, καὶ ἧς ἄνευ νεκρὰ πάντα νομίζεται, μή με ἐγκαταλίπῃς ἐς ἐνθυμήσεις μοχθηρὰς καταφέρεσθαι, μηδὲ παραχωρήσῃς ἐν ὀφθαλμοῖς μου ἐπαίρεσθαι. Ἄφελε ἀπ' ἐμοῦ πάσας ἀλόγους ὀρέξεις, καὶ διανοήμασιν ἀναιδέσι τε καὶ ἀχαλίνοις μὴ παραδῷς με, ἀλλὰ κατάσχες τὴν ἐμὴν καρδίαν, ὥστε διὰ παντὸς σὲ διενθυμεῖσθαι.

Φώτισον τοὺς ὀφθαλμούς μου, ἵνα πρὸς σὲ ἀτενίζοντες, μὴ μετεωρίζοιντο ἐνώπιόν σου, ὦ ὑπεραιώνιος δόξα! ἀλλ' ἐν ταπει-

νώσει διαισθανόμενοι, μὴ ἐν μεγάλοις, μηδ' ἐν θαυμασίοις, ὑπὲρ ἑαυτοὺς ἐπαίροιντο, πρὸς δὲ τὰ ἐκ δεξιῶν, καὶ μὴ τὰ ἐξ ἀριστερῶν ἀπὸ σοῦ ἀπέχοντα ἐπιβλέποιεν. Καὶ τὰ σὰ δὲ βλέφαρα τῶν ἐμῶν διαβημάτων ἡγείσθω· ἐξετάζει γὰρ τὰ βλέφαρά σου τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κατακήλησόν μου τὸ ὀρεκτικὸν διὰ τῆς γλυκύτητός σου, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε, ἵν' ἐπιποθείην τοῦ ἐπιθυμεῖν σε ἐν παντὶ καιρῷ, ἐν ἐπιθυμίαις αἰωνιζούσαις, μὴ ἡ ἐνδοτέρα μου γεῦσις δι' ἐπαγωγῶν ματαίων κηλουμένη τε καὶ ἐξαπατωμένη, τὸ μὲν πικρὸν γλυκὺ, τὸ δὲ γλυκὺ πικρὸν εἶναι τιθείη, καὶ τὸ μὲν σκότος φῶς, τὸ δὲ φῶς σκότος· ὥστε ῥυσθῆναι με ἔχειν ἐν μέσῳ ἀναστρεφόμενον τοσούτων παγίδων, τῶν ἐπὶ προσώπου τῆς ὁδοῦ ταύτης πρὸς ἄγραν ψυχῶν ὑπὸ τοῦ πολεμήτορος ἡτοιμασμένων· καθαπεροῦν ὁ ἑωρακὼς οὐ παρῆλθε σιγήσας, εἶπε δὲ, ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἤτοι ἐπιθυμία σαρκός ἐστιν, ἢ ἐπιθυμία ὀφθαλμῶν, ἢ βίου ἐκτύφωσις καὶ ἀλαζονεία.

Ἰδοὺ, Κύριε ὁ Θεός μου, ἰδοὺ δὴ ὁ κόσμος ὅλος πλήρης ἐστὶ τῶν ἐν ἐπιθυμίαις παγίδων, ὧν ἡτοίμασαν τοῖς ποσί μου· καὶ τίς διαφεύξεται ταύτας; πάντως, ὁ ἀφ' οὗ ἂν ἀφέλῃς τὴν τῶν ὀφθαλμῶν ἔπαρσιν, ὡς μὴ ἀγρεύεσθαι ὑπὸ τῆς ἐπιθυμίας τῶν ὀφθαλμῶν· καὶ ἀφ' οὗ ἂν ἀφέλῃς τὴν ἐπιθυμίαν τῆς σαρκὸς, ὡς μὴ ἁλίσκεσθαι ὑπὸ τῶν σαρκίνων ὀρέξεων· καὶ ἀφ' οὗ ἂν ἀφέλῃς πνεῦμα ἀναιδείας τε καὶ ἀφροσύνης, ὡς ἂν μὴ δολίως τοῦτον ἐκφενακίσῃ ἡ τοῦ βίου ἀλαζονεία. Ὡς λίαν εὐδαίμων, ᾧ περ ἂν σὺ οὕτω ποιήσαις! ἐν ἀσφαλείᾳ γὰρ οὗτος διαπορεύσεται.

Νῦν οὖν, ὦ σωτήρ μου, σὲ διὰ σοῦ ἱκετεύω, ἐπάρκεσόν μοι· μὴ πρὸ τῶν ἀντιφερομένων μοι πέσοιμι, ταῖς αὐτῶν συλληφθεὶς παγίσιν, ἃς ἡτοίμασαν τοῖς ποσί μου, ἵνα τὴν ψυχήν μου ἐγκατακάμψωσιν, ἀλλ' ἐξάγαγέ με ἡ δύναμις τῆς σωτηρίας μου, μὴ καὶ εἰς καταγέλωτά με παρὰ σφίσι θεῖεν οἱ καὶ σοὶ ἐχθραίνοντες καὶ μισοῦντές σε. Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, κραταιωθήτω ἐν ἐμοὶ ἡ χείρ σου, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, καὶ φυγέτωσαν

οἱ σὲ μισοῦντες ἀπὸ προσώπου σου! »Ὡς τήκεται κηρὸς ἀπὸ προσώ-» που πυρὸς, οὕτως οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου σου ἀπολέσθωσαν. » Ἐγὼ δὲ ἐν ἀποκρύφῳ τοῦ σοῦ προσώπου ἀποκρυβήσομαι, καὶ » εὐφρανθήσομαι μετὰ τῶν σῶν τέκνων, καὶ ἐν πᾶσι τοῖς ἀγαθοῖς » σου χορτασθήσομαι.» Σὺ δὲ, Κύριε ὁ Θεός μου, ὁ Πατὴρ τῶν ὀρφανῶν, καὶ ἡ μήτηρ τῶν σῶν νηπίων, ἄκουσον τὸν ὀλοφυρμὸν τῶν τεκνίων σου, καὶ ἀναπέτασόν σου τὰς πτέρυγας, ἵν' ὑπ' αὐτὰς καταφύγοιμεν ἀπὸ προσώπου τοῦ ἐχθροῦ ἡμῶν· σὺ γὰρ πύργος ἰσχύος τῷ Ἰσραὴλ, ὁ ἐν τῷ φυλάσσειν τὸν Ἰσραὴλ μηδαμῶς ὑπνῶν, μηδὲ νυστάζων· ὅτι καὶ ὁ τῷ Ἰσραὴλ ἀντιπολεμῶν οὔθ' ὑπνοῖ, οὐδὲ νυστάζει.

ΚΕΦ. ΙΓ.

Περὶ τῆς τοῦ ἀνθρώπου ἀθλιότητος, καὶ τῶν τοῦ Θεοῦ Εὐεργετημάτων.

Ὦ φῶς, τὸ ὑπὸ φωτὶ ἑτέρῳ μηδαμῶς ὁρᾶσθαι δυνάμενον! ὦ σέλας, τὸ μὴ θεατὸν ὑφ' ἑτέρῳ τινὶ σελαγίσματι! Φῶς τὸ τῇ παραθέσει ἅπαν ἕτερον φῶς καταζοφοῦν· καὶ σέλας τὸ πᾶσαν μαρμαρυγὴν ἀλλοτρίαν ἀποτυφλοῦν. Φῶς, ἐξ οὗ ἅπαν φῶς· σέλας, ἐξ οὗ πᾶν σέλας, πρὸς ὃ πᾶν σέλας σκότος ἐστί. Φῶς, πρὸς ὃ πᾶν φῶς ἐστι ζόφος· φῶς, ἐν ᾧ πᾶσα μὲν σκιὰ φαεσφορεῖ, πᾶσα δὲ ζόφωσις ἐκσελαγίζει. Φῶς τὸ ἀκρότατον, ὃ τυφλότης οὐκ ἐπινεφοῖ, ὁμίχλη οὐχ ὑπαμβλύνει, ἀχλὺς οὐκ ἀμαυροῖ, ἀντίφραξις οὐκ ἀποκλείει, οὐδὲ σκοτόμαινά τις ὅλως διαχωρίζει. Φῶς τὸ τὰ σύμπαντα καταφωτίζον, καὶ ὅλα, καὶ ὁμοῦ, καὶ ἅπαξ, καὶ ἀεὶ, κατάποθί με ἐν τῷ βυθῷ τῆς σῆς αἴγλης, ἵν' ἴδοιμί σε πάντοθεν ἐν σεαυτῷ, κἀμὲ αὐτὸν ἐν σοὶ, καὶ ἅπαντα δὲ ὑπὸ σοί· μὴ δὴ ἐγκαταλίποις με, μή ποτε αἱ τῆς ἐμῆς ἀφροσύνης σκιαὶ προσεπαυξηνθῶσι, καὶ

πληθυνθῇ τὰ ἐμὰ παραπτώματα · σοῦ γὰρ ἄνευ, σκιαί μοι εἰσὶ τὰ πάντα · πάντα κακά μοι ἐστίν. Οὐδὲν γὰρ ἀγαθὸν, σοῦ ἄνευ τοῦ ἀγαθοῦ τοῦ ἀληθινοῦ, καὶ μόνου, καὶ ἄκρου.

Ὁμολογῶ τοῦτο, Κύριε ὁ Θεός μου, τοῦτ' εὖ εἰδὼς ἐπίσταμαι· ὡς ὅπου περ ἂν ὦ χωρὶς σοῦ, κακόν μοι ἐστὶν, οὐ μόνον ἐκτὸς, ἀλλὰ κἂν ἐμοὶ αὐτῷ ἔνδοθεν · πᾶσα γὰρ περιουσία, ἥτις οὐκ ἔστιν ὁ Θεός μου, ἔνδειά μοι ἐστί · τότε χορτασθήσομαι, ὅτ' ἂν ἐποφθῇ μοι ἡ δόξα σου. Ἐπεί, Κύριε, ἡ μακαρία ζωή μου, ἐφ' ᾧ τὴν ἐμὴν ἐξομολογήσω σοι ἀθλιότητα · ἐξ ὅτου γε τῆς ἑνότητος ἐκπέπτωκα τῆς μετὰ σοῦ, ἐκπέπτωκα τοῦ ἀγαθοῦ τοῦ ἑνός τε καὶ ἀκροτάτου · καὶ τὸ ἀπ' ἐκείνου δὲ ἡ τῶν προσκαίρων πολυειδὴς ποικιλία, διὰ τῶν σαρκίνων αἰσθήσεων, ἀπολισθήσαντά με διασκεδάσασα, ἐξ ἑνὸς εἰς πολλὰ κατεμέρισε, καὶ γέγονέ μοι ἡ περιουσία ἀχθηρὰ, καὶ ἡ ἔνδεια πλεονάζουσα, ὡς μὴ εὑρίσκοντι ἐν ἐμοὶ σὲ τὸ ἀγαθὸν τὸ ἀμετάβλητον, καὶ μοναδικὸν, καὶ ἀμερίστως ἑνιαῖον, ᾧ παρακολουθῶν οὐκ ἂν πλανηθείην, οὗ τυχὼν οὐκ ἂν ἀχθεσθείην, ὃ κτησαμένῳ ὅλος ἂν ἐν ἐμοὶ ἐπικορεσθείη ὁ πόθος μου.

Ὢ τῆς ἀλλεπαλλήλου χαλεπῆς ἐμῆς ἀθλιότητος! Οἴ μοι, Κύριε! σὲ μὲν ἡ ἐλεεινὴ ψυχή μου ἀποδιδράσκει, μεθ' οὗ ἀείπερ ἐν δαψιλείᾳ καλῶν ἐστὶ καὶ ἀγαλλιάσει · ἕπεται δὲ τῷ κόσμῳ, μεθ' οὗ πάντοτε ἐν ἐνδείᾳ ἐστὶ καὶ ἐν ὀδύνῃ. Κράζει ὁ κοσμος, καὶ ἐκλείπω · κράζεις σὺ, Κύριε, καὶ ἀναπνέω· ἡ δὲ ἐλεεινοτάτη ψυχή μου μᾶλλον ἀκολουθεῖ τῷ ἐκλείπειν αὐτὴν ποιοῦντι, ἢ τῷ ἀνακαλοῦντι καὶ ἀναψύχοντι. Αὕτη ἡ ἀσθένειά μου προδήλως · ὦ Ἰατρὲ τῶν πνευμάτων, ἴασαί μοι ταύτην, ὡς ἂν ἐξομολογήσωμαι σοὶ τῷ σωτῆρι μου ἐξ ὅλης μου τῆς καρδίας ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου, ἐν αἷς ἐκ νεότητός μου, καὶ ἕως γήρως καὶ πρεσβείου ἐκτρέφεις με. Καὶ καθικετεύω τοίνυν σὲ διὰ τὸ ὄνομά σου τὸ ὑπεράγιον · » μὴ δὴ ἐγκαταλίπῃς με! μὴ ἀποστῇς ἀπ' ἐμοῦ · πρόσχες » εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου!» Σὺ γὰρ ἐποίησάς με μηδαμῶς ὄντα · ἐξηγόρασάς με ἀπολωλότα · ἀπολώμην καὶ

γὰρ, καὶ ἐνεκρώθην, σὺ δ' ἐπὶ τὸν νεκρὸν κατῆλθες, καὶ ὑπὲρ ἐμοῦ θανεῖν εἵλου. Ἵνα δ' ἐκλυτρώσῃς τὸν δοῦλον ὁ βασιλεὺς, σαυτὸν καταβὰς παρέδωκας· ἵν' ἐγὼ ζήσω, νέκρωσιν αὐτὸς καθυπέστης· καὶ οὕτω σεαυτὸν ταπεινώσας, τὸν μὲν θάνατον κατήργησας, ἐμὲ δ' ἀνεζώωσας.

Ἀπολώλειν, ᾠχόμην, ἐν ἁμαρτήμασιν ἐπεπράμην, ὁ δὲ κατῆλθες ὑπὲρ ἐμοῦ, ἵνα ἐξαγοράσῃς με· οὕτω δέ με ἠγάπησας, ὡς καὶ τὸ ἴδιον αἷμα ὑπὲρ ἐμοῦ δοῦναι εἰς τίμημα· διὰ τοῦ τοιούτου μεγάλου τιμήματος ἐπανήγαγές με ἀπὸ τῆς ἐξορίας, ἐξερρύσω με τῆς δουλείας, ἀπεξήρπασάς με τῆς τιμωρίας, προσηγόρευσάς με τῷ ἰδίῳ ὀνόματί σου, κατεσφράγισάς με ἐν τῷ αἵματί σου, ἵνα ᾖ τὸ μνημόσυνόν σου ἀεὶ παρ' ἐμοὶ, μηδ' ἀποστῇς ποτε ἀπὸ τῆς ἐμῆς καρδίας ὁ δι' ἐμὲ μηδόλως ἑαυτὸν ἀπὸ τοῦ σταυροῦ ἀποστήσας· καὶ τῷ αὐτῷ δὲ, ᾧ περ αὐτὸς ἐχρίσθης, ἐλαίῳ με ἔχρισας, ἵνα παρὰ σοῦ τοῦ Χριστοῦ χριστιανὸς ἔχοιμι ὀνομάζεσθαι· οὐχ ὅπως δὲ, ἀλλὰ ταῖς χερσί σου ἀπέγραψάς με, ἐφ' ᾧ ἐμοῦ καὶ ἐς ἀεὶ διαμνημονεύειν, εἰ μόνον καὶ αὐτὸς εἴην ἐνδελεχῶς μεμνημένος σου. Οὕτω τοίνυν ἀεί ποτε ἡ σὴ χάρις, καὶ τὸ ἔλεος τὸ σὸν προέφθασάν με καὶ ἀντελάβοντό μου. Ἐκ πολλῶν τε γὰρ καὶ δεινῶν κινδύνων πολλάκις ὁ λυτρωτής μου ἐρρύσω με· πλανηθέντα με εἰς τὴν ὁδὸν ἐπανήγαγες, ἀγνοοῦντα με ἐξεπαίδευσας, ἁμαρτῶντα ἐπέπληξας, ἀνιαθέντα παρεμυθήσω, ἀπογνῶντα ἐνίσχυσας, πεσόντα ἀνώρθωσας, ἱστάμενον ἐπεστήριξας, πορευόμενον καθωδήγησας, ἐρχόμενον προσεδέξω, καθεύδοντα διεφύλαξας, κεκραγότος εἰσήκουσας.



ΚΕΦ. ΙΔ.

Ὅτι ὁ Θεὸς ἐπόπτης ἐςὶν ἀδιαλείπτως τῶν ἀνθρωπίνων καὶ πράξεων καὶ ἐννοιῶν.

Ταύτας δὴ, καὶ πολλὰς καὶ ἄλλας ἐπ' αὐταῖς εὐποιΐας ἐξειργάσω περὶ ἐμὲ, Κύριε ὁ Θεός μου, ἡ ζωὴ τῆς ψυχῆς μου, περὶ ὧν ἡδύ μοι ἐστὶν ἐς ἀεὶ διεξέρχεσθαι, ἀεὶ ἀναπολεῖν, εὐχαριστεῖν, ὡς ἂν ὑπὲρ ἁπάντων τῶν παρὰ σοῦ ἀγαθῶν ἀνυμνεῖν σε ἔχοιμι, καὶ ἀγαπᾷν ἐξ ὅλης μου τῆς καρδίας, καὶ ἐξ ὅλης μου τῆς ψυχῆς, καὶ ἐξ ὅλης μου τῆς διανοίας, καὶ ἐξ ὅλης μου τῆς ἰσχύος, καὶ ἐξ αὐτῶν μου τῶν μυελῶν, καὶ τῶν ἐντός μου ἁρμῶν ἁπάντων: ὦ μακαριωτάτη γλυκύτης, ὁ Κύριος καὶ Θεὸς ἐμοῦ τε δὴ καὶ ἁπαξαπάντων τῶν εὐφραινομένων ἐν σοί. Ἀλλὰ γὰρ καὶ τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου· οἱ σοὶ ὀφθαλμοὶ, φημὶ, οἵτινες φωτεινότεροι ὄντες ἡλίου, πάσας ἐπιβλέπουσι τὰς ὁδοὺς τῶν ἀνθρώπων, καὶ τὸ βάθος τὸ τῆς ἀβύσσου, καὶ τοὺς ἐν παντὶ καὶ καιρῷ καὶ τόπῳ πονηρούς τε καὶ ἀγαθοὺς ἐποπτεύουσι.

Πάντα γὰρ ἐφορῶν, καὶ τὰ πάντα πληρῶν, πάντῃ τε καὶ ἁπανταχοῦ ἀεί ποτε πάρει, τῶν σῶν ἑκάστου ποιημάτων κηδόμενος· οὐδὲν γὰρ μισεῖς, ὧν ἐποίησας· ἔνθεντοι καὶ τὰ ἐμὰ διαβήματα καθορᾷς καὶ τὰς τρίβους μου, καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἐπὶ τῆς φυλακῆς μου ἐγρήγορας, καὶ τὰς ὁδούς μου πάσας ἐπιμελῶς σημειοῖς, ὦ παντεπόπτα, αἰώνιε· ὥσπερ ἂν εἰ, καὶ οὐρανοῦ, καὶ γῆς, καὶ τῆς σῆς ὁλοσχεροῦς κτίσεως ἐπιλελησμένος, ἐμοῦ δὴ μόνου τε καὶ μόνου ἐτύγχανες ἐπισκεπτόμενος, καὶ μηδενὸς τῶν ἄλλων μηθένα λόγον ποιούμενος. Οὐδὲ γὰρ τῇ ἀτρέπτῳ σου ἐποπτεύσει τὸ φῶς ἐπαύξει ἐφ' ἕν τι καὶ μόνον ἐφορῶντος, οὐδ' οὖν ὑπελαττοῦ-

ται, τὰ ὑπὲρ ἀριθμὸν ἄλλα καὶ διαφέροντα ἐπιβλέποντος. Ὥσπερ γὰρ τὸ σύμπαν ἅμα τε καὶ ὁμοῦ πανυπερτελῶς εἶ ἐποπτεύων, οὕτω καὶ τά γε καθ᾽ ἕκαστον, καί τοι διαφορὰς ἔχοντα, ὁμοῦ τε καὶ ἅμα ἐπὶ τὸ ἀκριβέστατον ἐπιδέρκεται ἡ ὅλη τε καὶ μία σὴ παντέφορος ὅρασις. Καὶ οὕτω μὲν τὰ σύμπαντα ὥσπερ τὸ ἕν, οὕτω δὲ τὸ ἓν ὡς τὰ πάντα ἀδιαιρέτως τε, καὶ ἀμεταβλήτως, καὶ ἀμειώτως ἐπισκοπεῖς· ταύτῃ τοι καὶ ὅλος σὺ ἐν ὅλῳ εἶ τῷ χρόνῳ ἀχρόνως, καὶ ὅλον με ἅμα καὶ ἐς ἀεὶ ἐφορᾷς, ὡς ἂν εἰ παρ᾽ ἐμὲ, μηδέν σοι παρῆν ἐφορᾷν τι ἕτερον.

Οὕτως οὖν ἐφέστηκας ἐπὶ τῆς ἐμῆς φυλακῆς, ὡς εἴ γε πάντων μὲν τῶν ἄλλων ἐπιλησθείης, ἐμοὶ δὲ μόνῳ προσέχειν ἐθέλοις. Ἀεὶ γὰρ σεαυτὸν παρίστης παρόντα, ἀεὶ δ᾽ ἑτοίμως ἔχεις ἐμοὶ προσαντᾷν, εἰ ἐμπαράσκευον κἀμὲ εὕροις τυγχάνοντα. Ὅπου περ ἂν ὦ, οὐδαμῶς με σὺ, Κύριε, ἐγκαταλείπεις, εἰ μὴ ἐγώ σε πρότερον καταλείψαιμι. Ἔνθαπερ ἂν ὦ, οὐκ ἀποχωρεῖς ἀπ᾽ ἐμοῦ, ὅτι ἁπανταχοῦ εἶ, ἵν᾽ ὅποι ἀπέλθοιμι εὕροιμί σε, δι᾽ οὗ ἂν εἶναι δυναίμην, καὶ μὴ ἀπολοίμην, ὁ σοῦ ἄνευ μηδαμῶς εἶναι δυνάμενος. Ὁμολογῶ τοίνυν, ὡς ὅ,τι περ ἂν ποιῶ, καὶ ὅσα ἂν τυγχάνω ποιῶν, ἐνώπιόν σου ποιῶ· κἀκεῖνο δὲ, οἷόν περ ἂν τύχοι ὃ ποιῶ, ἄμεινον αὐτὸς οἶδας, ἢ ἐγὼ ὃς ποιῶ· ἐν ᾧ γὰρ διαπράττομαί τι, ἀεὶ ὡσαύτως παρὼν σὺ ἐφέστηκας οἷα ἐπόπτης αἴδιος τῶν ἐμῶν ἐννοιῶν τε καὶ ἐνθυμήσεων, καὶ ἐνασχολήσεων θυμήρων, καὶ πράξεων. Ἅπασά μου διανόησις, καὶ πᾶσα ἔφεσις, κατενώπιόν σου διὰ παντὸς ἐστὶ, Κύριε.

Σὺ, Δέσποτα, καθορᾷς ὅθεν ἥκει τὸ πνεῦμα, καὶ ὅπου ἐστὶ, καὶ ὅποι ὑπάγει· σὺ γὰρ εἶ ὁ τὰ παντοῖα πνεύματα διασταθμώμενος· ὁ εἰδὼς πότερον γλυκεῖα ἐστὶν, ἢ πικρὰ ἡ ῥίζα, ἐξ ἧς τὰ ὡραῖα φύλλα προκύπτει. Οἷα γὰρ τὰ ἐντὸς κρίνων αὐτὸς ἄμεινον ἐπίστασαι, καὶ τὴν τῶν ῥιζῶν ἐντεριώνην ἀκριβέστερον ἐξιχνεύεις, καὶ οὐ μόνον τὴν πρόθεσιν, ἀλλὰ καὶ τὸν τῆς ῥίζης μυελὸν αὐτὸν τὸν ἐνδόματον τῇ κριτικωτάτῃ τοῦ σοῦ φωτὸς ἀληθείᾳ συλλέγεις,

ἀριθμεῖς, κατοπτεύεις, καὶ παρασημειοῖς, ἐφ᾽ ᾧ ἀποδοῦναι ἑκάστῳ, οὐ μόνον κατὰ τὰ ἔργα αὐτοῦ, καὶ κατὰ τὴν προαίρεσιν τὴν αὐτοῦ, ἀλλὰ καὶ κατὰ τὸν μυχαίτατον καὶ κρυφαιότατον μυελὸν τῆς ῥίζης, ἐξ ἧς ἡ τοιάδε προεκβλαστάνει προαίρεσις ἡ τοῦ πράττοντος, πρὸς ὅ,τι δῆθεν ἐγὼ τείνω δρῶν, ὅ,τι τε διανοούμενος εἰμὶ, καὶ περὶ ὅ δ᾽ ἐφήδομαι γήθων, αὐτὸς ὁρᾷς· καὶ τὰ ὦτα τὰ σὰ ἀκούει. καὶ ἐπισκοποῦσι δὲ καὶ ἐπιδέρκονται οἱ ὀφθαλμοί σου· καὶ προσέχεις, καὶ ἐπισημειοῖς, καὶ καταγράφεις ἐν τῷ βιβλίῳ σου ἅπαν, τὸ εἴτ᾽ ἀγαθὸν, εἴτε φαῦλον· Ὥστε ὑπὲρ μὲν τοῦ ἀγαθοῦ γέρα, ὑπὲρ δὲ τοῦ κακοῦ ποινὰς ὕστερον ἀποδώσειν, ἐπειδὰν ἀνελιχθῶσιν αἱ βίβλοι, καὶ κριθῶσιν οἱ πάντες, καθ᾽ ἃ ἐν αὐταῖς γεγράφαται.

Τοῦτο τυχὸν ἐστὶν ὅ φθάσας ἡμῖν προείρηκας· » Δείξω τί » ἔσται αὐτοῖς ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν. Καὶ ὅ περὶ σοῦ, Δέσποτα, » λέγεται· ὅτι καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται.» Αὐτὸς γὰρ ἐν ἅπασιν, οἷς ἐὰν δρῶμεν, πρὸς τὸ σκοπούμενον μᾶλλον προσέχεις, ἢ πρὸς τὸ ἔργον τῆς πράξεως. Ἐν ᾧ δ᾽ ἀναπολῶν ἐπιμελῶς ταῦτα τυγχάνω, Κύριε ὁ Θεός μου, ὁ φοβερὸς καὶ ἰσχυρὸς, φόβῳ τε ἐξίσου καὶ αἰσχύνῃ μεγάλῃ συγχέομαι. Διό περ ἐν δικαιοσύνῃ βιοῦν καὶ ὀρθότητι σφόδρα ἡμῖν ἐπάναγκες, ὡς πάντα ἀπεργαζομένοις πρὸ ὀφθαλμῶν τοῦ ἅπαντα βλέποντος.

ΚΕΦ. ΙΕ.

Ὅτι οὐδὲν καθ᾽ ἑαυτὸν ἄνθρωπος ἰσχύει, ἄνευ τῆς παρὰ τοῦ Θεοῦ χάριτος.

Θεὲ παντοκράτορ καὶ παντοδύναμε, ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς, οὗ οἱ ὀφθαλμοὶ ἐπὶ πάσας τὰς ὁδοὺς τῶν υἱῶν Ἀδὰμ, ἀπὸ γεννήσεως αὐτῶν, ἄχρις ἡμέρας ἐξόδου αὐτῶν, ἐπιβλέπουσιν,

ἵν' ἀποδῷς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, εἴτε ἀγαθὰ εἴτε φαῦλα: γνώρισόν μοι τὴν ἐμὴν πτωχείαν, ἵνα σοὶ αὐτὴν ἐξομολογήσωμαι. Εἶπα γὰρ, ὅτι πλούσιος ἐγὼ, καὶ οὐδενὸς ἐπιδεηθήσομαι: καὶ ᾔδειν ὅτι πτωχὸς ἤμην καὶ πένης, καὶ τυφλὸς, καὶ γυμνὸς, καὶ ἄθλιος, καὶ ἐλεεινός: ἐπίστευον γάρ με ἔσεσθαί τι, τὸ μηδὲν ὑπάρχων: εἶπα, ὅτι σοφισθήσομαι, καὶ μωρὸς ἐγενόμην· διενοησάμην ὅτι συνετίσθην, καὶ ἐξηπάτημαι· καὶ νῦν συνορῶ, ὅτι σὸν ἐστὶν ἅπαν δώρημα, οὗ χωρὶς, οὐ δυνάμεθα ποιεῖν οὐδέν. »Ἐὰν γὰρ » σὺ, Κύριε, μὴ φυλάξῃς πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσ- » σων.» Οὕτως ἐμαυτὸν ἐπιγινώσκειν, Κύριε, ἐδίδαξάς με: καὶ γὰρ ἐγκατέλιπές με, καὶ ἐδοκίμασάς με, οὐχ ἕνεκεν σοῦ ἵνα με ἐπιγνῷς, ἀλλ' ἐμοῦ χάριν, ὅπως ἂν αὐτὸς ἐμαυτὸν ἐπιγνώσωμαι. Ὡς γὰρ ἔφην, Δέσποτα, ἐδόκουν ἐγώ με τί εἶναι ἐξ ἐμοῦ δῆθεν, καὶ ᾤμην ἱκανῶς ἔχειν δι' ἐμαυτοῦ, οὐδ' ἐνενόουν, ὅτι αὐτὸς ἦσθα ὁ διεξάγων με. Ἐς ὅ περ σοῦ βραχύ τι ἀπ' ἐμοῦ ἀπομακρυνθέντος, παραυτίκα πέπτωκα ἐμαυτῷ, καὶ εἶδον, καὶ ἐπέγνων, ὅτι σύ με διίθυνες: καὶ τὸ μὲν πεσεῖν ἐξ ἐμοῦ ἦν, τὸ δ' ἀναστῆναι με παρὰ σοῦ.

Ἀνέῳξάς μου τοὺς ὀφθαλμοὺς, ὦ φῶς, καὶ ἐξήγειράς με, καὶ κατεφώτισας, καὶ συνῆκα, ὅτι πειρατήριον ἐστὶν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὅτι οὐ δύναται πᾶσα σὰρξ καυχήσασθαι ἐνώπιόν σου, οὐδὲ δικαιωθήσεται πᾶς ζῶν. Εἴτι γὰρ ἀγαθὸν, ἤ μεῖζον, ἤ ἔλαττον, σὸν αὐτὸ δώρημα ἐστὶ, καὶ οὐδὲν ἡμέτερον, πλὴν ἤ τὸ πονηρόν. Πόθεν τοίνυν ἐπικαυχήσοιτο πᾶσα σὰρξ, μήτοι γε ἐπὶ τῷ πονηρῷ; οὐ καύχησις ἥδε ἂν εἴη, ἀλλ' ἀθλιότης· ἀλλὰ μὴ ἄρα καυχήσοιτο ἐπὶ τῷ ἀγαθῷ; μή ποτε ἐπὶ τῷ ἀλλοτρίῳ; σὸν ἐστὶν τὸ ἀγαθὸν, Κύριε, σὴ ἐστὶν ἡ δόξα· ὅς γὰρ ἂν, ἐπὶ τῷ ἀγαθῷ τῷ ἐκ σοῦ, μὴ σοὶ, ἀλλ' ἑαυτῷ τὴν δόξαν ζητοίη, οὗτος κλέπτης ἐστὶ καὶ λῃστὴς, καὶ τῷ διαβόλῳ ἐφάμιλλος, τῷ βουληθέντι κλέψαι τὴν δόξαν σου. Ὁ γὰρ ἐπαινεῖσθαι θέλων ἐπὶ τῷ σῷ χαρίσματι, καὶ μὴ τὴν δόξαν τὴν σὴν, τὴν δὲ ἰδίαν ζητῶν, οὗτος, κἂν ὑπὲρ τοῦ παρὰ σοῦ δωρήματος ὑπὸ τῶν ἀνθρώπων

ἐπαινοῖτο, ὑπὸ σοῦ δή που ἐξουθενεῖται· ὅτι ἐπὶ τῷ δωρήματί σου ἥκιστα μὲν τὴν σὴν, τὴν δὲ δόξαν τὴν ἑαυτοῦ ἐξεζήτησεν· ὁ δ' ὑπ' ἀνθρώπων ἐπαινούμενος, σοῦ γε ἐξουθενοῦντος, οὔτε βοηθηθήσεται συνηγορίαις ἀνθρωπίναις, σοῦ κρίνοντος, οὔτε ἀθωωθήσεται, σοῦ κατακρίναντος.

Ἀλλὰ σὺ, Κύριε, ὁ πλάσας με ἐκ κοιλίας μητρός μου, μὴ εἰς τοσοῦτον ἀπονοίας ἐάσῃς με ἐξοκεῖλαι, ὡς ἐλεγχθῆναι τὴν δόξαν τὴν σὴν ἐθελῆσαι ἀπονοσφίσασθαι· σοὶ γένοιτο ἡ δόξα, ἐξ οὗ καὶ πᾶν ἀγαθόν· ἡμῖν δὲ ἡ αἰσχύνη τοῦ προσώπου περίκειται, καὶ ἡ ἀθλιότης, οἷς ἅπαν παραπηδεῖ κακὸν, ἢν μὴ σὺ, Κύριε, ἐπινεύσειας ἐλεῆσαι. Ἀλλ' ἐλεεῖς, Κύριε, σὺ πᾶν ἐλεεῖς τὸ πλάσμα σου, καὶ οὐδὲν μισεῖς, ὧν ἐποίησας, καὶ τῶν σῶν ἀγαθῶν μεταδίδως, καὶ ἐκ τῆς πιότητος τῆς χρηστότητός σου πλουτίζεις ἡμᾶς τοὺς πένητας· ὅτι ἀγαπᾷς τοὺς πενομένους, καὶ πλουτοῦντας ἀποφαίνεις τῷ πλούτῳ σου. Ἰδοὺ, Κύριε, πένητες ἐσμὲν ἡμεῖς τὰ τέκνα σου, καὶ τὸ μικρὸν ποίμνιόν σου· ἄνοιξον ἡμῖν τὰς σὰς θύρας, καὶ φάγονται οἱ πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσί σε οἱ ἐκζητοῦντές σε. Οἶδα γὰρ, Δέσποτα, καὶ ὁμολογῶ, σοῦ διδάσκοντος, ὅτι μόνοι οἱ πένητας ἑαυτοὺς ἐπιγινώσκοντες, πλουτισθήσονται παρὰ σοῦ· οἱ δὲ πλουσίους σφᾶς αὐτοὺς νομίζοντες ἐν τῷ πένεσθαι, ἀπὸ τοῦ σοῦ πλούτου ἀποκλεισθήσονται.

Ἐγὼ τοίνυν τὴν ἐμὴν καθομολογῶ σοι πενίαν, Κύριε ὁ Θεός μου, ὥστε σὴν εἶναι πᾶσαν τὴν δόξαν, ὅτι καὶ σὸν ἐστὶ πᾶν ἀγαθὸν, ὅ περ ἂν ὑπ' ἐμοῦ γένοιτο. Ὁμολογῶ, Κύριε, καθάπερ ἐδίδαξάς με, οὐδὲν εἰμὶ ἐγὼ, ἀλλ' ἢ τὸ σύνολον ματαιότης, καὶ σκιὰ θανάτου, καὶ ἄβυσσός τις ζοφώδης, καὶ γῆ ἀόρατος, καὶ ἀκατασκεύαστος, καὶ οὐδὲν ἄνευ τῆς σῆς εὐλογίας ἐκφύουσα, οὐδέ τι καρποφοροῦσα, ἀλλ' ἢ αἰσχύνην, καὶ ἀνομίαν, καὶ θάνατον. Εἴτι γάρ ποτε ἀγαθὸν καὶ ἔσχον, παρὰ σοῦ ἐγὼ ἔσχον· εἴτι δ' ἂν ἔχω, σόν ἐστίν· ἢ παρὰ σοῦ λαβὼν ἔχω. Εἴποτε ἕστηκα, διὰ σοῦ ἕστηκα· ἀλλ' ὅτε πέπτωκα, ἐξ ἐμαυτοῦ πέπτωκα· ἦν δ' ἂν

ἀείπερ ἐν τῷ πηλῷ κατακείμενος, εἰμὴ σύ με ἀνήγειρας· καὶ ἀεὶ δὲ τυφλώττων, εἰμὴ σύ με ἐφώτισας. Πεπτωκὼς οὐκ ἄν ποτε ἀνηγέρθην, εἰμὴ σὺ χεῖρα ἐπώρεξας· σοῦ δ' ἀνεγείραντος, ἐνδελεχὲς ἂν ἀνεπεπτώκειν, εἰμὴ ὑπεστήριζες, καὶ πλεονάκις ἂν ἐξαπολώλειν, εἰμὴ σὺ διακυβερνῶν μ' ἔσωσας.

Οὕτως ἀεὶ, Κύριε, οὕτως ἐς ἀεὶ προέφθασάν με ἡ σὴ χάρις, καὶ τὰ παρὰ σοῦ ἐλέη, ἀπὸ κακῶν παντοίων ῥυόμενα, τῶν μὲν παρῳχηκότων ἀπαλλάττοντα, ἀπὸ δὲ τῶν παρόντων διανιστῶντα, καὶ κατὰ τῶν μελλόντων προασφαλίζοντα, καὶ μὲν δὴ καὶ τὰς ἔμπροσθεν ἐμοῦ διατεταμένας παγίδας προϋποτέμνοντα, καὶ τὰς ἐπὶ τὸ ἐξαμαρτάνειν ἀφορμὰς καὶ αἰτίας προϋφαιρούμενα. Εἰμὴ γὰρ οὕτω μοι αὐτὸς εὖ ἐποίησας, πᾶσαν ἂν ἐγὼ τοῦ κόσμου ἁμαρτίαν διεπραξάμην. Οἶδα καὶ γὰρ, Κύριε, ὡς οὔτις ἐστὶν ἀνομία, ἣν εἰργάσατο ποτὲ ἄνθρωπος, ἣν δὴ καὶ ἕτερος τὴν αὐτὴν ἄνθρωπος οὐ μὴ δυνηθείη τελέσαι, εἰμὴ παρείης αὐτὸς ἀντιλήπτωρ, ὁ δημιουργήσας τὸν ἄνθρωπον· ἀλλ' ὡς με μηδαμῶς τάδε ποιῆσαι αὐτὸς ἐποίησας, ὥστε τούτων με ἀποσχέσθαι, σὺ ἐνετείλω, καὶ τοῦ σοὶ πιστεῦσαι τὴν χάριν τὴν σήν μοι ἐνέχεας· σὺ γὰρ ἦσθα, Δέσποτα, ὁ πρὸς σὲ αὐτὸν κατευθύνων με· σύ με καὶ σοὶ αὐτῷ, καὶ ἐμαυτῷ παρεφύλαξας, ὥστε μὴ μοιχείαν ἀποτελέσαι, καὶ τοιοῦτον ἕτερόν τι ἀνόμημα, διὰ τοῦ τῆς σῆς χάριτος φωτισμοῦ ἀποσχόμενον.

ΚΕΦ. Ιϛ'.

Περὶ τȣ̃ διαβόλȣ, καὶ τῶν ἐξ αὐτȣ̃ πολλῶν πειρασμῶν.

Ὤχετο ὁ πειραστὴς ἀπιὼν, τὸ δ' ἀπιέναι σὺ ἀπειργάσω· καὶ τόπος ἀπῆν, καὶ καιρὸς, σὺ δ' ἦς ὁ ποιήσας ἀπεῖναι. Παρῆν μὲν ὁ τόπος, οὐδ' ἀπῆν ὁ καιρὸς, ἀλλ' ὡς ἂν μηδαμῶς συγκατατε-

θείην, αὐτὸς κατέσχες· Παρέστη ὁ πειράζων σκοτεινόμορφος, οἷός περ ἐστὶν· ἀλλ' ὥστε τούτου με καταφρονῆσαι σύ με ἐνίσχυσας· ἧκεν ὁ πειράζων αὖ ἔνοπλός τε καὶ ἰσχυρὸς, ὅπως δ' ἂν μὴ περιγένοιτό μου, σὺ αὐτὸν μὲν ἐχαλίνωσας, ἐμὲ δ' ἐπέῤῥωσας· ἦλθεν ὁ πειράζων μετασχηματισθεὶς εἰς Ἄγγελον φωτὸς, ἐφ' ᾧ δὲ μή με ἐξαπατήσῃ, σὺ αὐτῷ ἐπετίμησας, καὶ ὡς αὐτὸν ἐπιγνῶναι σύ με κατεφώτισας. Αὐτὸς γὰρ ὁ δράκων ἐστὶν ἐκεῖνος ὁ μέγας τε καὶ πυῤῥὸς, ὁ ὄφις ὁ πάλαι, ὁ ἐπικληθεὶς Διάβολος, καὶ Σατὰν, ὁ ἔχων κεφαλὰς ἑπτὰ, καὶ κέρατα δέκα· » ὃν ἔπλασας ἐμπαίζειν τῇ θα- » λάσσῃ ταύτῃ τῇ μεγάλῃ καὶ εὐρυχώρῳ, ἐν ᾗ ἑρπετὰ ἐπιπολάζει, » ὧν οὐκ ἔστιν ἀριθμὸς, ζῶα μικρὰ μετὰ μεγάλων » τουτέστι δαιμονίων γένη παντοίων, τὰ νυκτὸς καὶ ἡμέρας οὐδὲν ἕτερον δρῶντα, ἢ κύκλοσε περιϊέναι, ἐκζητοῦντα τίνα δὴ καταπίωσιν, ἐὰν σὺ μὴ ῥύσαιο.

Αὐτὸς γὰρ ὁ ἀρχαῖος ἐστὶ δράκων ἐκεῖνος, ὁ ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐνερπύσας, καὶ τῷ οὐραίῳ αὐτοῦ τὸ τρίτον μέρος τῶν ἀστέρων τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς κατασπάσας· ὁ τῷ δηλητηριώδει αὐτοῦ ἰῷ τὰ ἐπὶ τῆς χθονὸς ὕδατα ἐκλυμηνάμενος, ὡς ἐκθνήσκειν τοὺς ἐξ αὐτῶν πίνοντας· ὁ ὑποστρωννὺς ἑαυτῷ ὡσεὶ πηλὸν τὸν χρυσὸν, καὶ πεποιθὼς τὸν Ἰορδάνην ὅλον εἰς τὸ στόμα τὸ αὐτοῦ εἰσρυήσεσθαι· ὁ γεγονὼς εἰς τὸ μηδένα φοβεῖσθαι· τίς δὲ ὁ ἀπὸ τῶν τούτου δηγμάτων ἡμᾶς ἀπαλλάξων; τίς ὁ ἀπὸ τοῦ στόματος τούτου ἐξαιρησόμενος, εἰμὴ σὺ, Κύριε, ὁ συγκαταθλάσας τὴν κεφαλὴν τοῦ οὕτω μεγάλου Δράκοντος; Ἐκπέτασον δὴ τὰς πτέρυγάς σου ἐφ' ἡμᾶς, Δέσποτα, ἵν' ὑπ' αὐτὰς διαφύγωμεν ἀπὸ προσώπου τοῦ τοιούτου θηρὸς, ὑφ' οὗ διωκόμεθα, καὶ διὰ τοῦ σοῦ θυρεοῦ ἀπὸ τῶν αὐτοῦ κεράτων ῥύσαι ἡμᾶς. Οὗτος γὰρ αὐτοῦ ὁ διηνεκὴς ἐστὶν ἀγὼν, αὕτη αὐτοῦ μάλιστα ἡ μόνη ἐπιθυμία, τοῦ βορὰν ἑαυτῷ θέσθαι τὰς ψυχὰς ὧν περ ἔπλασας.

Καὶ διὰ τοῦτο πρὸς σὲ, Κύριε, ἐκβοῶμεν, λύτρωσαι ἡμᾶς ἀπὸ τοῦ καθημερινοῦ τούτου ἡμῶν πολεμήτορος, ὅς εἴτε καθεύδουσιν

ἡμῖν, εἴτε ἀγρυπνοῦσιν, εἴτε ἐσθίουσιν, εἴτε πίνουσιν, εἴτε ὁτιοῦν ἄλλο ἐργαζομένοις ἐφέστηκε νυκτὸς καὶ ἡμέρας, τρόποις παντοίοις, ὁτὲ μὲν ἐκ τοῦ φανεροῦ, ἄλλοτε δ' ἐκ τοῦ ἀφανοῦς λαθραίως βέλη ἐπευθύνων καθ' ἡμῶν ἰοβόλα, ὥστε ἡμῶν τὰς ψυχὰς ἀποκτεῖναι. Ἀλλ' ἦ που, Κύριε, ὡς σφόδρα χαλεπή ἐστὶ καὶ ἡ ἐξ ἡμῶν αὐτῶν ἀφροσύνη, ὅτι καὶ ἀδιαλείπτως συνορῶντες τοῦτον ἡμῖν τὸν δράκοντα ἐπανιστάμενον ἐν διηνοιγμένῃ τῇ φάρυγγι, καὶ ἑτοίμως ἔχοντα ἡμᾶς καταβροχθίσαι, οὐδὲν ἧττον ὅμως ἐπικαθεύδομεν, καταῤῥαστωνευόμενοί τε ἀκολασταίνομεν, ὡς ἐν ἀσφαλεῖ ὄντες κατενώπιον τοῦ οὐδέν τι, ἀλλ' ἢ τὴν ἡμῶν ἐριεμένου ἀπώλειαν. Ὁ μὲν γὰρ πολέμιος ἀεὶ ἐπεγρήγορεν ἀΰπνως, ὥστε ἡμᾶς κατακτεῖναι, αὐτοὶ δ' οὐχ αἱρούμεθα διεγερθῆναι ὥσθ' ἑαυτοὺς προφυλάξασθαι.

Ἰδοὺ γὰρ πρὸ τῶν ἡμετέρων ποδῶν μυρίας μὲν διεξέτεινε πάγας, καὶ ἐν πάσαις ἡμῶν ταῖς τρίβοις παντοίας ἐπεπλήθυνε γαλεάγρας, ὥστε τὰς ἡμῶν ψυχὰς ἐπαγρεύσασθαι· καὶ τίς διαδράσει; παγίδας ἡμῖν ἔστησεν ἐν πλούτῳ, παγίδας ἐν πενίᾳ, παγίδας ἡτοίμασεν ἐν βρώσει, ἐν πόσει, ἐν ἡδυπαθείαις, ἐν ὕπνοις, ἐν ἀγρυπνίαις, ἐν λόγῳ καὶ ἐν ἔργῳ, καὶ ἐν ἅπασι τοῖς ἡμῶν διαβήμασιν. » Ἀλλὰ σὺ, Κύριε, ῥῦσαι ἡμᾶς ἀπὸ τῆς παγίδος τῶν » θηρευόντων, καὶ ἀπὸ λόγου ταραχώδους, ἵνα σοὶ ἐξομολογησώ» μεθα, λέγοντες. Εὐλογητὸς, Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς » θήραν τοῖς ὀδοῦσιν αὐτῶν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύ» σθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη καὶ » ἡμεῖς ἐῤῥύσθημεν. »



ΚΕΦ. ΙΖ.

Ὅτι ὁ Θεὸς φῶς τοῖς δικαίοις ἐςί.

Καὶ σὺ, Κύριε, τὸ φῶς τὸ ἐμὸν, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, ἵνα καταυγασθεὶς πορεύσωμαι ἐν τῷ φωτί σου, καὶ μὴ πρὸς τὰς τοῦ πειραστοῦ παγίδας προσκόψω τὸν πόδα μου· τίς γὰρ τὰς πολλὰς ταύτας διαφεύξεται πέδας, μὴ βλέπων αὐτάς; τίς δ᾽ ὄψεται, ὃν ἂν σὺ, Κύριε, μὴ φωτίσῃς; αὐτὸς γὰρ ὁ τοῦ σκότους πατὴρ ἐν ζόφῳ αὐτοῦ τὰς πάγας ὑπέκρυψεν, ὅπως ἂν ἐν αὐταῖς ἁλίσκοιντο πάντες οἱ ἐν αὐτοῦ τῇ σκοτίᾳ διάγοντες, οἱ τοῦ τοιούτου σκότους υἱοὶ, οἱ πρὸς τὸ σὸν ἀβλεπτοῦντες φῶς, ἐν ᾧ ὁ πορευόμενος οὐ φοβηθήσεται. Ὁ γὰρ ἐν ἡμέρᾳ περιπατῶν οὐ προσκόπτει, ὁ δὲ διαπορευόμενος ἐν νυκτὶ προσκόπτει, ὅτι οὐκ ἔστι φῶς ἐν αὐτῷ. Σὺ εἶ τὸ φῶς, Κύριε, σὺ τὸ φῶς εἶ τῶν υἱῶν τοῦ φωτός· σὺ εἶ ἡ ἡμέρα ἡ μηδόλως δύσιν εἰδεῖα, ἐν ᾗ βηματίζουσιν οἱ υἱοί σου ἀπροσκόπτως· ἧς τε χωρὶς, πάντες οἱ διαπορευόμενοι ἐν σκότει διαπορεύονται ἅτε σὲ τὸ φῶς τοῦ κόσμου μὴ ἔχοντες.

Ἰδοὺ δὴ καθ᾽ ἑκάστην ὁρῶμεν, ὡς ὅσῳ μᾶλλον ἄυτις ἀπὸ τοῦ σοῦ φωτὸς ἐκμακρύνοιτο, τοσούτῳ μᾶλλον τῇ τῶν ἁμαρτημάτων ἐπιζοφώσει περιελίσσεται· ὅσῳ δ᾽ ἂν πλεῖον ἐν τῷ ζόφῳ διατρίβοι, τοσῷδε ἧττον ἐπιδέρκεται τὰς ἐπὶ τῆς ὁδοῦ προτεταμένας αὐτῷ παγίδας· διὸ καὶ ἧττον συνορᾷ, καὶ συνεχέστερον ὑπαλίσκεται ταύταις ἐμπίπτων· τὸ δ᾽ ἔτι φοβερώτερον, ὅτι καὶ ἐμπεσὼν ἀγνοεῖ· ὁ δ᾽ ἀγνοῶν τὸ ἴδιον πτῶμα, καὶ ἧττονα ποιεῖται λόγον τοῦ ἐξαναστῆναι, ὅσῳ δὴ προσέτι καὶ ὄρθιος ἵστασθαι οἴεται. Ἀλλ᾽ αὐτὸς, Κύριε, τὸ φῶς τὸ τῆς διανοίας, καταύγασόν μου νῦν τοὺς ὀφθαλμοὺς τοῦ ἰδεῖν με καὶ ἐπιγνῶναι, ἵνα μὴ ἐνώπιον τῶν ἐχθρῶν μου ἀπόλωμαι. Ἡμετέρῳ γὰρ ἐπ᾽ ὀλέθρῳ ἀγωνίζεται ὁ πολέμιος, ὃν εἴθε

ποιήσαις ἀπὸ προσώπου ἡμῶν ἐκτακῆναι, ὡσεὶ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός. Αὐτὸς γάρ ἐστι, Κύριε, ὁ λῃστὴς ὁ πρώτιστος καὶ πύματος, ὁ βουλὴν στήσας τοῦ ἁρπάσαι τὴν δόξαν σου, ἡνίκα φυσιωθείς τε καὶ ἐπαρθεὶς κατεῤῥάγη, καὶ εἰς τὸν ἑαυτοῦ βόθρον ἐμπέπτωκεν ἀποῤῥιφεὶς ἀπὸ τοῦ ὄρους σου τοῦ ἁγίου, καὶ ἐκ μέσου τῶν ἐμπύρων λίθων ἐν οἷς διετέλει ἀναστρεφόμενος.

Οὗτος καὶ νῦν, Κύριε ὁ Θεὸς, ἡ ζωή μου· οὗτος καὶ νῦν, καὶ μετὰ τὸ ἐκπεπτωκέναι καταδιώκειν τὰ σὰ τέκνα οὐδαμῶς ἀποπαύεται δι' ὅ φέρει κατὰ σοῦ μῖσος, ὦ ὑπέρτατε Βασιλεῦ, ἀπολέσαι κατεφιέμενος τὸ σὸν τόδε πλάμα, τὸ ὑπὸ τῆς πανσθενοῦς σου ἀγαθωσύνης κατ' εἰκόνα τὴν σὴν δημιουργηθὲν ἐπὶ τῷ τῆς σῆς δόξης ἀξιωθῆναι, ἧς περ, ἕνεκα τῆς ἀυτοῦ ἐπάρσεως, ἀυτὸς ἀπεστέρηται. Ἀλλὰ σύντριψον ἀυτὸν ὁ κραταιὸς ἐν ἰσχύϊ, τὸν ἡμῖν ἀντεπανιστάμενον τοῖς προβάτοις σου, καὶ φώτισον ἡμᾶς τοῦ καθορᾷν τὰς παγίδας ἃς ἡμῖν παρεσκεύασε, καὶ πρὸς σὲ καταφεύγειν, ὅς τοῦ Ἰσραὴλ ὑπάρχεις ἡ ἀγαλλίασις. Καὶ ταῦτα μὲν δὴ πάντα ἀυτὸς ἄμεινον ἐπίστασαι, ὁ τὴν καθ' ἡμῶν ἐκείνου φιλόνεικον ἔριν εἰδὼς, καὶ τὸν σκληρότατον ἀυτοῦ τράχηλον. Οὐ γὰρ δὴ ταῦτα διέξειμι ὡς σοὶ τῷ τὰ πάντα εἰδότι γνωρίσων ἀυτὰ, ὃν οὐκ ἄντις ποτὲ διανόησις διαλάθοι· ἀλλὰ πρὸ τῶν ποδῶν τῆς σῆς μεγαλωσύνης τὰ παρὰ τοῦ ἐχθροῦ μου ποτνιῶμαι, ὦ Κριτὰ προαιώνιε, ἵνα τὸν μὲν ἐκδικάσῃς, ἡμᾶς δὲ διασώσῃς τὰ τέκνα τὰ σὰ, ὧν ἀυτὸς ὑπάρχεις ἡ ἰσχὺς καὶ ἡ δύναμις.

Πανοῦργος ἐστὶ, Κύριε, οὗτος ἡμῶν ὁ πολέμιος, καὶ σκολιὸς, καὶ οὐκ ἄντις ῥαδίως τὰς τῆς τούτου πορείας περιελίξεις κατανοήσειεν, οὐδ' ἂν τὸ εἶδος τοῦ προσώπου ἀυτοῦ ἐπιγνοίῃ, ἐὰν μὴ σὺ, Κύριε, ἐπιλάμψῃς. Νῦν μὲν γὰρ ὧδε, νῦν δ' ἐκεῖσε περίεισι· νῦν μὲν ὡς ἀρνίον, νῦν δὲ ὡς λύκος· νῦν μὲν σκότος ἑαυτὸν πεφυκότα, νῦν δ' ὡς φῶς χρηματίζοντα παραφαίνει· ἐν ἑκάσταις δ' ὁποιαισοῦν ποιότησι, καὶ τόποις, καὶ χρόνοις, κατὰ τὰς διαφερούσας μεταβολὰς τῶν πραγμάτων, πειρασμοὺς ἐπιμηχανᾶται παντοίους· ἵνα γὰρ τοὺς ἐν λύπαις ὄντας παρακρούσῃ, λυπεῖσθαι δῆθεν καὶ ἀυτὸς

ὑποκρίνεται· ἵνα τοῖς ἐν χαρμοσύναις ἐμπαίξῃ, χαίρειν καὶ αὐτὸς προσποιεῖται· ἵνα τοὺς περὶ τὰ πνευματικὰ ἐνασχολουμένους ἐκφενακίσῃ, εἰς Ἄγγελον φωτὸς ἑαυτὸν ὑποσχηματίζει· καὶ ἵνα μὲν τοὺς ἰσχυροὺς συμπιέσῃ, παραμορφοῦται ὥσπερ ἀρνίον· ἵνα δὲ τοὺς πραεῖς βορὰν ἑαυτῷ ποιήσηται, ἐφορμᾷ ὡς λύκος. Καὶ ταῦτα δὴ πάντα δρᾷν εἴωθεν, ἐν ὁμοιώματι πειρασμῶν ποικίλων μεταποιούμενος· »ὡς τοὺς μὲν ἀπὸ φόβου νυκτερινοῦ καταπτήσσειν, »τοὺς δ' ἀπὸ βέλους πετομένου ἡμέρας, τοὺς δ' ἀπὸ πράγματος ἐν »σκότει διαπορευομένου, τοὺς δ' ἀπὸ συμπτώματος καὶ δαιμονίου »μεσημβρινοῦ.» Καὶ πρὸς αὐτὰ γοῦν τίς ἱκανὸς ἐστὶν ἐπικρίνειν; καὶ τὰς δολιότητας καὶ πανουργίας αὐτοῦ τίς ἐπέγνω; τίς τὸ εἶδος τοῦ ἱματίου αὐτοῦ ἐκκαλύψει; καὶ τὸν γύρον τῶν ὀδόντων αὐτοῦ τίς συνήσει;

Ἠνὶ δὴ ἔκρυψε τὰ βέλη αὐτοῦ ἐν φαρέτρᾳ, καὶ τὰς παγίδας αὐτοῦ συνεκάλυψεν ἐν εἴδει φωτός· τὸ δὲ αὐτὸν μὴ διαγιγνώσκεσθαι ὑφ' ἡμῶν ῥᾴδιον, ἢν μὴ παρὰ σοῦ, Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς ἡμῶν, προσλάβοιμεν φῶς, ὥστε ἅπαντα κατιδεῖν τε καὶ συνιέναι. Οὐ γὰρ μόνον ἐν σαρκὸς ἔργοις, ἃ ἐκ τοῦ ῥᾴστου καταφωρᾶται, οὐδ' ἐν αὐτοῖς μόνον τοῖς παρανομήμασιν, ἀλλὰ κᾀν αὐταῖς ἔτι ταῖς πνευματικαῖς ἐξασκήσεσι παγίδας ἔστιν ἃς λεπτοτέρας ὁ δόλιος ἡμῖν ὑποκεύθει, καὶ τάς γε φαυλότητας ὡς ἀρετὰς ἄντικρυς ἀναχρώννυσι, καὶ εἰς Ἄγγελον φωτὸς ἑαυτὸν μετασχηματίζει· τοιαῦτα δὴ, καὶ ἕτερα πλεῖστα τυρεύει καθ' ἡμῶν ὁ υἱὸς τοῦ Βελίαρ, ὁ Σατὰν αὐτὸς, ὦ Κύριε ὁ Θεὸς ἡμῶν· καὶ ἄρτι μὲν ὡσεὶ λέων, ἄρτι δ' ὡς δράκων φανερῶς τε καὶ ἀφανῶς, ἔσωθέν τε καὶ ἔξωθεν, νύκτωρ τε καὶ μεθ' ἡμέραν προσενεδρέυει τοῦ ἁρπάσαι τὰς ψυχὰς ἡμῶν. Ἀλλὰ γὰρ ῥύσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, ὁ σώζων πάντας τοὺς ἐλπίζοντας ἐπὶ σέ· ἵν' ἐκεῖνος μὲν ἐφ' ἡμῖν ἐπανιώμενος, ἀποσοβηθείη καὶ οἴχοιτο, σὺ δὲ σφίσι παρείης ὁ Κύριος ἡμῶν καὶ Θεὸς, ὁ ὑπερευλογημένος καὶ ὑπερένδοξος.

ΚΕΦ. ΙΗ.

Περὶ τῶν ἐκ τῦ Θεῦ εὐεργετημάτων.

Ἐγὼ δὲ ὁ υἱὸς τῆς παιδίσκης σου, ἥ με τῇ χειρί σου ἀνέθετο,
δίᾳ τῶνδε τῶν πενιχρῶν ἐμῶν ἐξομολογήσεων ἐν ὅλῃ μου τῇ καρ-
δία σοὶ τῷ σωτῆρι μου παραστήσομαι, καὶ ἀναπεμπάσομαι ἐν τῇ
ἐμῇ διανοίᾳ ἅπαντα τὰ ἀγαθὰ, ὅσα ἐκ νεότητός μου δι᾽ ὅλου τοῦ
βίου ἐξειργάσω μοι. Οἶδα γὰρ, ὡς πάνυ σφόδρα ἡ ἀχαριστία σοὶ
ἀπαρέσκει, ἡ ῥίζα οὖσα πνευματικῆς ἁπάσης φαυλότητος, καὶ οἷα
ῥοπή τις ἀνέμου ἀγαθὸν ἅπαν καταξηραίνουσά τε καὶ κατακαίου-
σα, καὶ τὴν πηγὴν τῆς σῆς περὶ τὸν ἄνθρωπον εὐσπλαγχνίας ἐνε-
φράττουσα. Διὰ γὰρ τὴν ἀγνωμοσύνην τά τε φαῦλα τῶν ἔργων,
ἅτε θνησιμαῖα ἤδη οὐκ ἀπονεκροῦται ἐπαναζῶντα, καὶ τὰ ἀγαθὰ,
ὅσα ὁπωσοῦν ζωηρὰ ἔτι, ἀπονεκρούμενα τέως ἐκθνήσκει, οὐδ᾽ ἐπα-
νακμάζει ἐπέκεινα ζωτικώτερα καθιστάμενα. Ἀλλ᾽ αὐτὸς εὐχαρι-
στήσω σοι, Κύριε, ἵνα μὴ ἀγνώμων τε καὶ ἀχάριστος εἴην σοὶ τῷ
ἐκλυτρωσαμένῳ με σωτῆρι καὶ ῥύστῃ μου· ποσάκις γὰρ ὁ μὲν Δρά-
κων ἐκεῖνος κατέπιέ με, σὺ δὲ ἀπὸ τῶν αὐτοῦ φαρύγγων ἐξέσπασας.

Ποσάκις ἐξημάρτηκά σοι, ὁ δέ με καταβροχθίσειν ἕτοιμος ἦν,
καὶ σὺ, Κύριε ὁ Θεός μου, ὑπερασπίσω μου; Ὅτε κατὰ σοῦ ἐγὼ
παρηνόμουν, ἡνίκα παρανομῶν τὰς ἐντολάς σου ἠθέτουν, ἵστατο
μὲν ἐκεῖνος ἑτοίμως ἔχων ἐπὶ τὸν Ἅδην ἁρπάξαι με· αὐτὸς δὲ διε-
κώλυες. Ἐγὼ μὲν σοι προσέκρουον, σὺ δέ μοι ἐπήμυνες· κἀγὼ
μὲν οὐκ ἐδεδίειν, σὺ δέ με ἐφύλαττες· ἀπὸ σοῦ μὲν ἐγὼ ἀπεμα-
κρυνόμην, καὶ προσεκολλώμην τῷ ἐχθρῷ μου, σὺ δ᾽ ἐκεῖνον ἵνα
μὴ ἀλώτῃ με κατεφόβεις· τάςδε μοι, Κύριε ὁ Θεός μου, τὰς
εὐποιΐας ἐπετέλεις, ἐγὼ δὲ ὁ ἐλεεινὸς ἠγνόουν· οὕτω [illegible] πολ-
λάκις ἀπὸ τῶν τοῦ διαβόλου ἐξερρύσω φαρύγγων, ἀπὸ στόματος τοῦ
λέοντος ἐξανήρπασάς με, καὶ ἐς ᾅδου, καίπερ [illegible]οῦντα,

πλειστάκις ἐπανήγαγές με. Κατεληλύθειν καὶ γὰρ ὁ δείλαιος ἕως πυλῶν Ἅδου· τοῦ δὲ μὴ ὅλως τῶν πυλῶν εἴσω γενέσθαι σύ με ἐπικατέσχες.

Ἐγγὺς τῶν θανάτου πυλῶν ἐγενόμην, τὸ δ᾽ ἐν αὐταῖς μὴ ἐγκατασχεθῆναι με σὺ ἐξειργάσω. Ἀλλὰ καὶ ἀπὸ τοῦ σωματικοῦ θανάτου συνεχῶς ἐξεῤῥύσω με, ὁ Σωτήρ μου, χαλεποῖς περισχεθέντα νοσήμασι, καὶ ἐν πολλοῖς δὲ κινδύνοις ἐμπεσόντα διά τε γῆς καὶ θαλάσσης· καί γε ἀπὸ πυρὸς καὶ μαχαίρας, καὶ παντοίας ἄλλης ἐπηρείας ἀπήλλαξας, ἐς ἀεὶ παραστάς μοι, καὶ κατὰ τὸ ἔλεός σου διατηρήσας με. Ἤδεις καὶ γὰρ, ὦ Δέσποτα, ὡς εἰ τὸ τηνικαῦτα ἐπικαταληφθεὶς ἐτεθνήκειν, ἀπεδέξατο ἂν τὴν ψυχήν μου Ἅδης, καὶ αἰωνίως ἂν κατεκρίθην· ἀλλ᾽ οἱ οἰκτιρμοί σου προέφθασάν με καὶ ἡ χάρις σου, καὶ ἐκ τοῦ θανάτου τῆς ψυχῆς ἅμα καὶ τοῦ σώματος ὑπεξεῖλόν με, ὦ Θεέ μου καὶ Κύριε· τοιαῦτα δή μοι, καὶ ἕτερα πλεῖστα ἐπεδαψιλεύσω εὐεργετήματα. Ἐγὼ δε τυφλὸς ἦν, καὶ συνορᾷν οὐκ εἶχον, ἕως οὗ με ἐφώτισας. Νῦν οὖν, ὦ τὸ τῆς ἐμῆς ψυχῆς φῶς, ὁ Κύριός μου καὶ ὁ Θεός μου, ἡ ζωὴ δι᾽ ἧς διατελῶ ζῶν, ὁ τῶν ὀφθαλμῶν μου φωτισμὸς δι᾽ οὗ βλέπω, ἰδοὺ νῦν ἐπέλαμψάς μοι, καὶ ἔγνων σε, ὅτι ζῶ διὰ σοῦ, καὶ χάριτάς σοι καθομολογῶ, καί τοι εὐτελεῖς ταύτας καὶ σμικρὰς, οὐδὲ ταῖς ἐκ σοῦ εὐεργεσίαις παρίσους, ἀλλ᾽ οἵας ἂν ἡ ἀβληχρότης ἡ ἐν ἐμοὶ προσενεγκεῖν ἔχοι σοι. Ὅτι σὺ μόνος εἶ ὁ Θεός μου, ὁ δημιουργός μου, ὃς τὰς ψυχὰς ἡμῶν ἀγαπᾷς, καὶ οὐδὲν βδελύσσῃ, ὧν περ ἐποίησας. Ἰδοὺ ἐγὼ ὁ πρῶτος εἰμὶ ἐν ἁμαρτωλοῖς, οὕς περ διέσωσας, ἵνα δεῖγμα τοῖς ἄλλοις γένωμαι τῆς σῆς ἀνεικάστου χρηστότητος.

Ἐξομολογήσομαί σοι τὰ σὰ μεγάλα εὐεργετήματα, ὅτι ἐῤῥύσω με ἐξ Ἅδου κατωτάτου καὶ ἅπαξ, καὶ δεύτερον, καὶ τρίτον, καὶ ἑκατοντάκις, καὶ χιλιάκις· κἀγὼ μὲν ἀεὶ ἐχώρουν ἐπισπεύδων εἰς Ἅδου, σὺ δ᾽ ἀεὶ μ᾽ ἐπανῆγες, καὶ δικαίως ἂν με χιλιάκις κατεδίκασας ἐθελήσας, ἀλλ᾽ οὐκ ἠθέλησας, ὅτι ἀγαπᾷς τὰς ψυχὰς·

καὶ τῶν ἀνθρώπων ἀνέχῃ μακροθύμως ἁμαρτανόντων, καιρὸν αὐτοῖς χαριζόμενος εἰς μετάνοιαν. Ὡς πολλὰ, Δέσποτα, ἐν πάσαις ταῖς ὁδοῖς σου, ὡς πολλὰ τὰ ἐλέη σου· νῦν οὖν αὐτὰ καθορῶ, Κύριε ὁ Θεός μου, καὶ διὰ τοῦ φωτός σου συνίημι· ἡ δὲ ψυχή μου ἐκλείπει ἐπὶ τῷ πλήθει τῶν περὶ ἐμὲ οἰκτιρμῶν σου· ὅτι ἐξήγαγες αὐτὴν ἐξ Ἅδου κατωτάτου, καὶ πρὸς ζωήν μ' ἐπανήγαγες. Ὅλος ἐκνεκρωθεὶς ἐκείμην, καὶ ὅλον με ἐξανέστησας. Καὶ σὸν ἄρα ἔστω τὸ ὅλον, ὅτι καὶ ζῶ· καὶ ὅλος ὅλον ἐμαυτόν σοι προσάγω, ὅλον τὸ πνεῦμα, τὴν καρδίαν ὅλην, ὅλον τὸ σῶμα· ὅλη μου οὖν ἡ ζωὴ ἐν σοὶ ζήτω, ὦ ἡ ζωή μου σὺ ἡ γλυκυτάτη! ἐπεὶ καὶ ὅλον με ἀπελυτρώσω, ἵνα καὶ ὅλον κατάσχῃς με· ὅλον με ἐπανεσκεύασας, ἵνα καὶ ὅλον με ἔχῃς ἀνακτησάμενος. Ἀγαπήσω σε τοιγαροῦν, Κύριε ὁ Θεός μου, ἡ δύναμίς μου· ἀγαπήσω σε, ἡ ἄῤῥητος ἀγαλλίασίς μου, καὶ ζήσομαι οὐκέτι ἐν ἐμαυτῷ, ἀλλ' ἐν σοί. Ὅλη μου ἡ ζωὴ ἡ ἐν τῇ ἐμῇ ἀθλιότητι προεξαπολωλυῖα, ἐν τῷ ἐλέει τῷ σῷ ἀνεγήγερται· σὺ γὰρ εἶ ὁ Θεὸς ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ εἰς χιλίας γενεὰς ποιῶν ἔλος τοῖς τὸ σὸν ἀγαπῶσιν ὄνομα.

Διὰ τοῦτο τοίνυν „ Κύριε καὶ Θεέ μου, ὁ ἐμὲ ἁγιάζων, διὰ τοῦ νόμου σου ἐνετείλω μοι ἀγαπᾷν σε ἐν ὅλῃ μου τῇ καρδίᾳ, ἐν ὅλῃ μου τῇ ψυχῇ, ἐν ὅλῃ μου τῇ διανοίᾳ, ἐν ὅλῃ μου τῇ ἰσχύϊ, ἐν ὅλαις ταῖς ἐν ἐμοὶ δυνάμεσι, καὶ ἐξ αὐτῶν μου τῶν ἐνδοτάτων σπλάγχνων, ἐν πάσαις ὥραις τε καὶ χρόνου ῥοπαῖς, ἐν αἷς ἀπολάυω τοῦ πλήθους τῆς χρηστότητός σου καὶ τοῦ ἐλέους σου, ὅτι ἀεὶ ἂν ἀπολώλειν, εἰμὴ ἐς ἀεί με διεῖπες, ἀεὶ ἂν ἐτεθνήκειν, εἰμὴ ἐς ἀεί με ἐζωοποίεις!· καὶ ἐν παντὶ ἄρα καιρῷ ὀφειλέτης εἰμὶ ἐγὼ σοί, τῷ ἐν παντὶ καιρῷ τὰς σὰς μεγάλας εὐεργεσίας ἐπιδαψιλευομένῳ μοι· ὥσπερ γὰρ οὔτις ἐμοὶ ζῶντι, οὔτε ὥρα, οὔθ' ὥρας λεπτὸν ἀπαντᾷ καθ' ὃ ταῖς παρὰ σοῦ εὐποιΐαις οὐ χρῶμαι, οὕτως οὐδὲ ῥοπήν μοι χρόνου παριέναι προσῆκε, καθ' ἣν μὴ ἔχοιμί σε πρὸ ὀφθαλμῶν μου, καὶ διὰ μνήμης ἀναπολεῖν, καὶ μὴ σὲ ἀγαπῴην ἐξ ὅλης μου τῆς δυνάμεως. » Ἀλλὰ γὰρ οὐδὲ τοῦτο ἰσχύω, εἰμὴ » αὐτὸς σὺ παράσχοις, ἀφ' οὗ ἐστὶν ἅπαν ἀγαθὸν, καὶ πᾶν δώ-

» ρημα τέλειον, τὸ ἄνωθεν καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν
» φώτων, παρ᾽ ᾧ οὐκ ἔστι παραλλαγή, ἢ τροπῆς ἀποσκίασμα.
» Οὐδὲ γὰρ τοῦ θέλοντος ἐστὶν, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ σοῦ
» τοῦ ἐλεοῦντος ἡμᾶς ἐν τῷ ἀγαπᾷν σε.» Σὸν ἐστὶ, Κύριε, καὶ τόδε δώρημα, οὗ καὶ πᾶν ἀγαθόν. Κελέυεις οὖν τὸ ὑπ᾽ ἐμοῦ ἀγαπᾶσθαί σε; δὸς ὃ κελέυεις, καὶ κέλευε ὅ,τι καὶ βούλει.

ΚΕΦ. ΙΘ.

Ψυχῆς πόθος ζέων, τῆς ἀγαπᾷν τὸν Θεὸν ἐφιεμένης.

Ἀγαπῶ σε, Κύριε ὁ Θεός μου, πρὸς δ᾽ ἔτι καὶ μᾶλλον ἀγαπᾷν σε ἀεὶ προσεφίεμαι· ὅτι σὺ εἶ τῷ ὄντι μέλιτος παντὸς γλυκερώτερος, παντὸς γάλακτος θρεπτικώτερος, καὶ φωτὸς δὲ παντὸς εναυγέστερος· ἔνθεν ἐμοὶ καὶ χρυσίου, καὶ ἀργυρίου, καὶ λίθων τιμίων ὑπερτιμιώτερος· ἀτερπὲς γὰρ ἦν μοι καὶ ἀηδὲς πᾶν ὅ,τι διεπραττόμην ἐν τῷ παρόντι αἰῶνι, παρακριθὲν τῇ ἐκ σοῦ γλυκύτητι, καὶ τῇ εὐπρεπείᾳ τοῦ οἴκου τοῦ σοῦ ὃν ἠγάπησα. Ὦ πῦρ, τὸ ἀεὶ μὲν δαῖον, ἀποσβεννύμενον δὲ μηδέ ποτε! ὦ ἀγάπη, ἡ ἀεί ποτε ὑπερζέουσα, μηδέ ποτε δ᾽ ὑποχλιαινομένη! Περίφλεξόν με! Ἀναφθείην ὅλος ἐκ σοῦ! ὅλος (εἶπα) ἐξαναφθείην, ἵν᾽ ὅλος σὲ καὶ ἀγαπῴην! ἧττον γὰρ ἀγαπᾷ σε ὁ ἕτερόν τι ἀγαπῶν, εἰμὴ διὰ σὲ ἀγαπῴη. Ἀγαπήσω σε, Κύριε, ὅτι σὺ πρῶτος ἠγάπησάς με. Καὶ πόθεν μοι ῥῆμα ἐπαρκὲς γένοιτο ὥστε διεξιέναι τὰ τῆς σῆς μεγίστης περὶ ἐμὲ ἀγάπης τεκμήρια, καὶ τὰ ὑπὲρ ἀριθμὸν εὐεργετήματα, δι᾽ ὧν ἐξ ἀρχῆς με προήγαγες;

Μετὰ γὰρ τὴν εὐεργεσίαν τοῦ κτίσαι με, ὅτε ἐν ἀρχῇ με κατὰ τὴν σὴν εἰκόνα ἐποίησας, τιμήσας τε καὶ ἀνυψώσας ἐν τοῖς λοιποῖς σου δημιουργήμασι, κατηγλάϊσάς με προσέτι διαφερόντως καὶ τῷ

φωτὶ τοῦ προσώπου σου, ὃ ἐπὶ τὸ ὑπέρθυρον τῆς ἐμῆς καρδίας ἐπεσημείωσας· δι᾽ οὗ με καὶ τῶν αἰσθήσεως ἀμοιρούντων, καὶ τῶν αἰσθήσεως μετεχόντων κτηνῶν ἐπίσης ὑπερεξῆρηκας, καὶ τῶν Ἀγγέλων δὲ, βραχύπερ ὅσον, κατηλάττωσας. Μικρὸν δὲ ἄρα καὶ τόδε τῆς σῆς ἐνώπιον ἔδοξεν ἀγαθωσύνης. Καὶ γάρ με, καὶ τοῖς καθ᾽ ἡμέραν μεγίστοις σοῖς, καὶ ἐπισήμοις τῶν εὐποιϊῶν σου δωρήμασιν, ἀδιαλείπτως διέθρεψας, καὶ ὡς τέκνον σὸν ἄντικρυς νήπιόν τε καὶ ἁπαλὸν, τοῖς μαζοῖς τῆς παρακλήσεώς σου ἐγαλακτοτρόφησάς με, καὶ ἐνεδυνάμωσας· ἵνα γὰρ ὅλος ἐγώ σοι δουλεύων εἴην, πάνθ᾽ ὅσα ἐποίησας, ἐμοὶ δουλεύειν αὐτὰ ὑπέταξας.

ΚΕΦ. Κ.

Ὅτι πάντα ὁ Θεὸς δουλεύειν τῷ ἀνθρώπῳ καθυπέταξε.

Πάντα ὑποκάτω τῶν τοῦ ἀνθρώπου ποδῶν ὑπέταξας, ἵν᾽ ὑποταγῇ σοι μόνος ὅλος ὁ ἄνθρωπος· καὶ ἵνα σὸς ὅλος ὁ ἄνθρωπος εἴη, ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν σου αὐτὸν κατέστησας· ἀμέλειτοι τὰ μὲν ἐξωτέρω ἅπαντα διὰ τὸ σῶμα παρήγαγες, αὐτὸ δὲ τὸ σῶμα διὰ τὴν ψυχὴν, τὴν δὲ ψυχὴν διὰ σὲ, ἵνα σοὶ μόνῳ ἐπισχολάζῃ, καὶ σὲ μόνον ἀγαπᾷ· σὲ μὲν εἰς παραμυθίαν ἔχουσα, τὰ δ᾽ ὑποδεέστερα εἰς θεραπείαν. Ἅπαν γὰρ, ὅ,τι ὑπὸ τῇ ἀψῖδι τοῦ οὐρανοῦ περιέχεται, ὑποδεέστερον ἐστὶ τῆς ἀνθρώπου ψυχῆς, ἥτις ἐγένετο, ἵνα τὸ ἄκρον τε καὶ ὑπέρτατον τῶν ἀγαθῶν κτήσηται· ὃ κτησαμένη μακαρία ἂν εἴη, ᾧ τε προσκολληθεῖσα, μεταβολῆς ἁπάσης τῆς διὰ τῶν νερτέρων ἀγαθῶν, καὶ τῆς σὺν τούτοις προσοικειώσεως ὑπεραρθεῖσα, τῆς, ἧς περ κατ᾽ εἰκόνα τε καὶ ὁμοίωσιν ὑπέστη ἀκροτάτης μεγαλωσύνης τὴν αἰώνιόν τε καὶ ἀτελεύτητον ὄψιν ἐν ἀταράχῳ γαλήνῃ θεάσοιτο. Τηνικαῦτα καὶ γὰρ ἐν οἴκῳ,

Κυρίου τῶν ἀγαθῶν ἀπολαύσει, ὧν τῇ παραθέσει σύμπαντα τὰ τῇδε, ὅσα καθορᾶται, ὡς τὸ μηδὲν ὄντα λογίζεται. » Ἐκείνων δηλονότι, ἅττα ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ » καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶ- » σιν αὐτόν. » Καὶ ταῦτα μὲν αὐτὸς, Κύριε, τῇ ψυχῇ ἀποδώσεις, οἷς πὲρ δὴ καὶ καθ' ἡμέραν τὰς ψυχὰς εὐφραίνεις τῶν δούλων τῶν σῶν, ὅτι ἀγαπᾷς τὰς ψυχάς.

Ἀλλὰ τί τοῦτο διατελῶ θαυμάζων, ὦ Κύριε ὁ Θεός μου; τὴν εἰκόνα τιμᾷς τὴν σὴν καὶ ὁμοίωσιν, καθ' ἣν ὑπὸ σοῦ αἱ ψυχαὶ ἐκτίσθησαν. Καὶ γὰρ καὶ τῷ ἡμετέρῳ σώματι, καί τοιγε ἐπικήρῳ τούτῳ ὄντι καὶ ἐν ἀτιμότητι, τὴν οὐρανοῦ δέδωκας ἐπιδέρκεσθαι λαμπρότητα διὰ τῶν ἀκαμάτων σῶν διακόνων, ἡλίου τε καὶ σελήνης, οὓς νύκτωρ καὶ μεθ' ἡμέραν ἀδιαλείπτως τοῖς υἱοῖς σου δουλεύειν ἐπέστησας· καὶ ὅπως μὲν ἄνθρωπος ἀναπνέοι τὴν τοῦ ἀέρος αὐτῷ καθαρότητα ἐπεδαψιλεύσω· ὡς δ' ἂν ἀκούοι, τὴν ποικιλίαν τῶν ἐξηχήσεων· ὡς δ' ἂν ὀσφραίνοιτο, τὰς ἡδυτάτας τῶν εὐόσμων ἀτμάς· ὡς δ' ἂν γεύοιτο, τὰς τῶν χυμῶν ποιότητας· ὡς δ' ἂν ἅπτοιτο, τὰς τῶν σωματικωτέρων παχύτητας· πρὸς δ' ἐπὶ τούτοις, καὶ τὰ κτήνη τοῦ πεδίου εἰς ἐπιβοήθησιν αὐτῷ δέδωκας ἐν χρείαις, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ τοὺς ἐκ τῆς γῆς δὲ καρποὺς ἀναφυομένους ἐχορήγησας, ὡς ἐξ αὐτῶν ἀναψύχεσθαι καὶ ἐπιζωογονεῖσθαι· καὶ φάρμακα δ' ἐν αὐτῇ κατὰ πασῶν τῶν αὐτῷ ἐνδιασκηπτουσῶν διαφθορῶν ἐναπέθου, καὶ ἰδιαιτέρας παραμυθίας ταῖς ἰδίᾳ ἐπαντιβαινούσαις αὐτῷ κακώσεσί τε καὶ λύμαις προπαρεσκεύασας· ὃς ἐλεήμων εἶ σὺ καὶ οἰκτίρμων, καὶ οἶδας ἡμῶν τὴν διάπλασιν ὁ κεραμεὺς ἡμῶν, καὶ πάντες ἡμεῖς ὡσεὶ πηλὸς ἐσμὲν ἐν τῇ χειρί σου.



ΚΕΦ. ΚΑ.

Ὅτι ἐκ τῆς τῶν προσκαίρων ἀγαθῶν διασκέψεως ἡ τῶν ἐπουρανίων ἐπισυνάγεται μεγαλειότης.

Ἀνοιχθείη δή μοι ἡ θύρα τοῦ μεγάλου ἐλέους σου, προστεθείη δ᾽ ἐπὶ πλεῖον τὸ παρὰ σοῦ φῶς (δέομαι), ἵνα ἐμοὶ καὶ μᾶλλον προσανοιχθείη! ἐκ γὰρ τῶνδε τῶν ἐλαχίστων τὰ σὰ μεγαλεῖα, καὶ ἐκ τῶνδε τῶν ὁρωμένων τὰ σὰ ἀόρατα κατανοοῦμεν, Κύριε ὁ Θεὸς, ὁ πανάγιος καὶ ὑπεράγαθος ἡμῶν δημιουργός τε καὶ πλάστης. Εἰ γὰρ ὑπὲρ τοῦ εὐτελοῦς καὶ ἐπικήρου σώματος τούτου οὕτω πολλὰς καὶ μεγάλας ἐπιχορηγεῖς ἡμῖν τὰς εὐποιΐας, ἐξ οὐρανοῦ καὶ ἐξ ἀέρος, ἐκ γῆς καὶ θαλάσσης, διὰ φωτὸς καὶ σκότους, διὰ θερμότητος καὶ σκιᾶς, καὶ δρόσου καὶ ὑετοῦ, καὶ ἀνέμων καὶ ὄμβρων, καὶ κτηνῶν καὶ δένδρων, καὶ βοτανῶν παντοίων, καὶ τῶν ἐκ γῆς βλαστημάτων, καὶ διὰ τῆς ἁπαξαπάντων ὑπουργίας τῶν σῶν δημιουργημάτων, τῶν ἐκ διαδοχῆς ἡμῖν κατὰ καιροὺς δουλευόντων, τὰς σφίσιν αὐτοῖς προσπιπτούσας ἀνίας τε καὶ παρενοχλήσεις ἀνακουφίζεις· ὁποῖα ποτ᾽ ἄρα, καὶ ὡς μεγάλα, καὶ ἀριθμὸν ὑπερπαίοντα ἔσται τὰ ἅ περ ἡτοίμασας ἀγαθὰ τοῖς ἀγαπῶσι σε ἐπὶ τῆς ἐν οὐρανοῖς πατρίδος, ἔνθα σὲ ὀψόμεθα πρόσωπον πρὸς πρόσωπον; Εἰ τοσαῦτα ἡμῖν τοῖς ἐν εἱρκτῇ δωρῆσαι, ὅσ᾽ ἄρα προσεπιμνηστεύσεις τοῖς ἐπὶ τὰ ἀνάκτορα;

Μεγάλα σου τὰ ἔργα, καὶ ἀριθμὸν νικῶντα, ὦ Βασιλεῦ τῶν οὐρανῶν, Κύριε· εἰ γὰρ λίαν καλὰ, καὶ πάνυ ἡδέα ἐστὶν, ἅττα ἐπίσης τοῖς ἀγαθοῖς τε καὶ πονηροῖς ἐπινέμεις, ὁποῖά τινα ἔσται ἄρα, ἃ μόνοις τοῖς ἀγαθοῖς ἀπεταμιεύσω; Εἰ οὕτως ἀνάριθμα καὶ πολυειδῆ τὰ σὰ δωρήματα, ἃ νῦν ὡσαύτως καὶ φίλοις καὶ ἐχ-

θροῖς ἐπιδίδως, ὡς μεγάλα τε καὶ ἀναρίθμητα, ὡς ἡδέα τε καὶ πάντερπνα, ἃ μόνοις τοῖς φίλοις τοῖς σοῖς ἐπιχορηγήσεις; Εἰ τοσαῦται σου αἱ παραμυθίαι ἐν ταύτῃ τῇ τῶν δακρύων ἡμέρᾳ, ὅσας περ ἐπιδαψιλεύσῃ ἐν τῇ τῶν γάμων; εἰ οὕτω τερπνὰ ἡ εἱρκτὴ περιέχει, οἷα περ ἄρα ἡ Πατρὶς περιέξει ἡ ἐλευθέρα; Ὀφθαλμὸς οὐκ εἶδεν, εἰμὴ μόνος ὁ σὸς, ὦ Θεὲ, ἃ περ ἡτοίμασας τοῖς ἀγαπῶσι σε· κατὰ γὰρ τὸ πλῆθος τῆς σῆς μεγαλωσύνης ἐστὶ καὶ τὸ πλῆθος τῆς μεγάλης χρηστότητός σου, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

Μέγας εἶ, Κύριε ὁ Θεός μου, καὶ ἀκαταμέτρητος, καὶ τῆς σῆς μεγαλωσύνης οὐκ ἔστι πέρας, οὐδὲ τῆς σοφίας ἀριθμὸς, οὐδὲ τῆς χρηστότητος μέτρον· καὶ οὐδὲ τῆς παρὰ σοῦ ἀνταποδώσεως ὁμοίως οὐδ' ἀριθμὸς, οὐδὲ μέτρον· ἀλλ' ὥσπερ μέγας εἶ σὺ, οὕτω καὶ τὰ δωρήματά σου μεγάλα· ὅτι σὺ εἶ τῶν ὑπὲρ σοῦ ἀθλούντων καὶ ἆθλον, καὶ δώρημα.

ΚΕΦ. ΚΒ.

Ὅτι ἡ γλυκύτης ἡ θεία ἅπασαν τὴν παρȣ̃σαν τȣ̃ Κόσμȣ πικρίαν ἀνταναιρεῖ.

Ταῦτα, Κύριε ὁ Θεός μου, ὁ τοὺς ἁγίους σου ἁγιάζων, τὰ σὰ μεγάλα ἐστὶν εὐεργετήματα, οἷς περ τὴν τῶν πεινόντων σου τέκνων πτωχείαν ἐμπλήσεις· σὺ γὰρ εἶ ἡ τῶν ἀπηλπισμένων ἐλπίς· σὺ τῶν ἐν δόξῃ κοσμηθησομένων ὁ στέφανος, ὃς τοῖς νικῶσιν ἡτοίμασται· σὺ ὁ τῶν πεινόντων ἀΐδιος χορτασμὸς, ὃς χορηγηθήσεται τοῖς λιμώττουσι· σὺ ἡ αἰωνία παράκλησις, ἡ μόνοις ἀποδοθησομένη τοῖς τὴν παράκλησιν τοῦ κόσμου τούτου, πρὸς τὴν παρὰ σοῦ παραμυθίαν, πέρας οὐχ ἕξουσαν, ὑπερορῶσιν· οἱ γὰρ ὧδε παραμυθεῖσθαι ἀνθαιρούμενοι, οὐκ ἄξιοι καθίστανται τῆς ὑπὸ σοῦ

παρακλήσεως· ἀλλ' οἱ ἐνταῦθα κατοδυνώμενοι παρακληθήσονται ἐν σοὶ, καὶ οἱ τῶν σῶν κοινωνοὶ γινόμενοι παθημάτων, καὶ τῶν σῶν παρακλήσεων ἐπιμεθέξουσιν· οὐδεὶς γὰρ παρακληθείη ἐπ' ἀμφοτέροις τοῖς αἰῶσιν· οὐδ' οἷόν τε, τὸν ἐπὶ τῷ παρόντι καθηδυπαθοῦντα, χαίρειν καὶ ἐν τῷ μέλλοντι· ἐπάναγκες δὲ θατέρου ἀποστερεῖσθαι τὸν προῃρημένον τὸν ἕτερον.

Ταῦτα διανοουμένου, Κύριε ὁ Θεός μου, ὁ ἐμὸς παρακλήτωρ, ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐφ' ᾧ τῶν αἰωνίων παρακλήσεών σου ἀξία γενέσθαι· δίκαιον γάρ ἐστι σοῦ ἀποτυγχάνειν ἅπαντα τὸν ἐν ἑτέρῳ τινὶ μᾶλλον, ἢ ἐν σοὶ, παρακαλεῖσθαι προσεφιέμενον. Καὶ τοίνυν σοῦ δέομαι διὰ σοῦ, ὦ ἀκροτάτη ἀλήθεια, μή με παρακαλεῖσθαι ματαίᾳ καὶ κενῇ παρακλήσει τινὶ ἐπιτρέψῃς, ἢ τῇ παρὰ σοῦ· πικρὰ δέ μοι προσπίπτειν πάντα αἰτοῦμαι, ἵνα σὺ μόνος γλυκὺς τῇ ψυχῇ μου δοκοίης, ὅς ἡ γλυκύτης ὑπάρχεις ἡ ἀνυπέρβλητος, δι' ἧς καὶ τὰ πικρὰ πάντα καταγλυκαίνεται.

Ἡ γὰρ σὴ γλυκύτης καὶ Στεφάνῳ τοὺς ἐκ τοῦ χειμάῤῥου κατεγλύκανε χερμαδίους λίθους, καὶ Λαυρεντίῳ τὴν ἐσχάραν καθήδυνε· διὰ δὲ τὸν παρὰ σοῦ γλυκασμὸν καὶ οἱ Ἀπόστολοι γεγηθότες ἀπὸ τοῦ συνεδρίου ὑπέστρεφον, ὅτι ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ ὑβρισθῆναι κατηξιώθησαν· προῄει δὲ καὶ Ἀνδρέας θαῤῥῶν τε καὶ ἄσμενος, χαίρων ὅτι ἐπὶ τὴν σὴν γλυκύτητα ἔσπευδεν. Ἡ δ' αὐτὴ γλυκύτης καὶ τοὺς κορυφαίους τῶν Ἀποστόλων οὕτως ἐνέπλησεν, ὡς τὸν μὲν ὑπὲρ αὐτῆς ἑλέσθαι σταυρῷ παγῆναι, τὸν δὲ τὴν κεφαλὴν τῷ ξίφει ἀπτοήτως καθυποβαλεῖν· ταύτην ἀντωνούμενος καὶ Βαρθολομαῖος ἥδιστα ἀπέδοτο τὴν δοράν· ταύτης ὡς γευσόμενος καὶ Ἰωάννης ποτήριον δηλητηρίου ἀτρέστως ἐξέπιε· ταύτης δ' ἀπογευσάμενος τηνικαῦτα καὶ Πέτρος, ἁπάντων ἐπιλελησμένος τῶν κάτω, ὡσανεὶ μεθυσθεὶς ἀνέκραξε. » Κύριε, καλόν » ἐστὶν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν ὧδε τρεῖς σκηνάς· μείνωμεν » ἐνταῦθα: » σὲ θεωρῶμεν· οὐδενὸς γὰρ ἑτέρου ἐπιδεησόμεθα·

ἀρκεῖ ἡμῖν, ἔφη, Κύριε, ἀρκεῖ ἡμῖν τὸ τοσαύτης ἡμᾶς γλυκύτητος κεκορέσθαι. Μιᾶς γὰρ αὐτὸς τότε ἀπεγεύσατο σταγόνος, καὶ πρὸς πᾶσαν ἄλλην ἡδύτητα ἀνορέκτως τε καὶ ἀηδῶς διετέθη· τί δέ ποτ' ἂν ἆρα εἶπεν, εἴπερ ἀμπεπώκει τὸ μέγα πλῆθος τῶν γλυκασμάτων τῆς θεότητός σου, ὧν ἀπέκρυψας τοῖς φοβουμένοις σε, Κύριε; Ταύτης σου τῆς ὑπεραφράστου γλυκύτητος κἀκείνη ἀπεγεύσατο ἡ Παρθένος (Ἀγάθη) ἣν ἀναγινώσκομεν χαίρουσάν τε καὶ μεγαλοφρονοῦσαν ἀπελθεῖν εἰς τὸ δεσμωτήριον, ὡς δὴ κεκλημένην πρὸς ἑστίασιν. Τῆς αὐτῆς οἶμαι γεγεῦσθαι καὶ τὸν εἰπόντα » ὡς » πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς » φοβουμένοις σε· καὶ μὲν δὴ καὶ παραινοῦντα· Γεύσασθε καὶ » ἴδετε, ὅτι Χρηστὸς ὁ Κύριος.» Αὕτη γὰρ ἐστὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ἧς ὑμῖν μεταδώσοντά σε ἀπεκδεχόμεθα· ὑπὲρ ἧς ἀπαύστως σοὶ, Κύριε, στρατευόμεθα· ὑπὲρ ἧς θανατούμεθα ὅλην τὴν ἡμέραν, ἵνα ἐν σοὶ καὶ ἐν τῇ ζωῇ τῇ σῇ ζήσωμεν.

ΚΕΦ. ΚΓ.

Ὅτι ὅλη ἡμῶν ἡ ἐλπὶς, καὶ ἡ τῆς καρδίας ἡμῶν ἐπιθυμία ἐν τῷ Θεῷ εἶναι ὀφείλει.

Σὺ δ', ὦ Κύριε, ἡ τοῦ Ἰσραὴλ προσδοκία, τῶν ἐφετῶν τὸ ἀκρότατον, πρὸς ὃ ἡμῶν ἡ καρδία ὅλην τὴν ἡμέραν ἐστὶ στενάζουσα, σπεῦσον, μὴ δὴ χρονίσῃς, ἐγέρθητι, ἐπιτάχυνον, καὶ ἐλθὲ, ἵνα ἐκ τῆς φυλακῆς ταύτης ἡμᾶς ἐξαγάγῃς, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου, τοῦ δοξασθῆναι ἐν τῷ φωτί σου· εἰσάκουσον τῆς φωνῆς τοῦ κλαυθμοῦ τῶν σῶν τέκνων, τῶν πρὸς σὲ κεκραγότων· » Πάτερ ἡμῶν, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον » ὡς ἐν τῇ τούτου ἰσχύϊ νύκτωρ τε καὶ μεθ' ἡμέραν ἡμᾶς πορευθῆ-

ναι, ἄχρις οὗ φθάσωμεν εἰς Χωρὴβ τὸ ὄρος τὸ ἅγιόν σου· κἀγὼ δὲ ὁ ἐλάχιστος ἐν τοῖς μικροῖς τοῦ σοῦ οἴκου, ὦ Θεὲ Πάτερ, ἡ δύναμίς μου, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ σου, ἵνα δὴ ὁ πρὸς καιρόν σοι ἐξομολογούμενος ἤδη, ἀπὸ τοῦ νῦν ἐξομολογήσωμαί σοι εἰς τὸν αἰῶνα; Μακάριος ἔσομαι εἰ γένοιτό μοι τὴν δόξαν τὴν σὴν ἐποπτεῦσαι· τίς ἂν τουτί δῷ μοι, ὡς εἰς τοῦτο ἐλθεῖν μ᾽ ἐπιτρέψειας;

Οἶδα, Κύριε, οἶδα τε καὶ ὁμολογῶ, ὅτι ἄξιος οὐκ εἰμὶ ἵνα σοῦ ὑπὸ τὴν στέγην εἰσέλθω· ἀλλὰ ποίησον τοῦτο ἕνεκεν τῆς δόξης τοῦ σοῦ ὀνόματος, καὶ μή με τὸν δοῦλον σου καταισχύνῃς τὸν ἐλπίζοντα ἐπὶ σέ. Καὶ τίς γὰρ εἰσελεύσεται εἰς τὸ ἁγιαστήριόν σου, τοῦ ἐποπτεῦσαι τὰ θαυμάσιά σου, ἐὰν μὴ σὺ, Κύριε, ἀνοίξῃς; τίς δ᾽ ἀνοίξει, ἐὰν σὺ κλείσῃς; Ἢν γὰρ αὐτὸς καθέλῃς, οὐδεὶς ὁ οἰκοδομήσων· καὶ ἣν ἐκκλείσῃς τὸν ἄνθρωπον, οὐδεὶς ὁ ἀνοίξων. Ἐὰν τὰ ὕδατα ἐπίσχῃς, ξηρανθήσεται πάντα· ἐὰν δ᾽ ἐπιπέμψῃς, τὴν γῆν ἀνατρέψουσι. Καὶ ἐὰν πάντα ὅσα ἐποίησας ἐπὶ τὸ μηδὲν ἐπανάξῃς, τίς ὁ ἀντερῶν σοι; Ἀλλ᾽ ἔστιν αἰώνιος ἡ τοῦ παρὰ σοῦ ἐλέους ἀγαθωσύνη, δι᾽ ἧς πάντα ἐποίησας ἅπερ ἠθέλησας. Σὺ ἐποίησας, ὁ δημιουργήσας τὸν κόσμον, σὺ τοίνυν ἡμᾶς αὐτὸς καὶ διεύθυνον· σὺ ἔκτισας, μὴ γοῦν ἡμᾶς παρίδῃς τὰ ἔργα σου· τῷ δὲ ὄντι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πηλὸς ἡμεῖς καὶ οἱ σκώληκες οὐδαμῶς ἰσχύομεν εἴσω τῶν σῶν αἰωνιοτήτων γενέσθαι, ἐὰν μὴ αὐτὸς σὺ ἡμᾶς εἰσαγάγῃς, ὁ ἐκ τοῦ μηδενὸς παραγαγὼν ἅπαντα.

ΚΕΦ. ΚΔ.

Ὅτι ἡμῶν ἡ σωτηρία ἐκ τοῦ Θεοῦ ἐστίν.

Ἐγὼ δὲ, τὸ ἔργον τῶν χειρῶν σου, ἐξομολογήσομαί σοι ἐν φόβῳ σου. » Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου

» οὐ σώσει με· ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φω-
» τισμὸς τοῦ προσώπου σου. » Ἄλλως καὶ γὰρ ἂν ἀπέγνων, εἰμὴ αὐτὸς ὑπῆρχες ὁ πλάσας με, καὶ ὁ μὴ ἐγκαταλείπων τοὺς ἐλπίζοντας ἐπὶ σέ· σὺ γὰρ εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ χρηστὸς, καὶ ἐπιεικὴς, καὶ μακρόθυμος, καὶ ἐν ἐλέει πάντα οἰκονομῶν. Ἡμεῖς δὲ, κἂν ἡμάρτομεν, ἀλλὰ σοὶ ἐσμέν· καὶ ἣν δ' ἁμάρτοιμεν, σοὶ ἐσμέν· ἴσμεν καὶ γὰρ ὅτι, παρὰ σοὶ ἐλογίσθημεν. Ἡμεῖς ὡσεὶ φύλλον ἐσμὲν οἱ πάντες, καί γε ματαιότης πᾶς ἄνθρωπος ζῶν, καὶ ὡς αἶος ἄνεμος ἐστὶν ἡ ζωὴ ἡμῶν ἄυτη ἡ ἐπὶ τῆς γῆς. Μὴ ἐποργίζου ἡμῖν, εἰ δὴ πίπτομεν οἱ σοὶ νήπιοι· σὺ γινώσκεις τὸ ἡμῶν πλάσμα, Κύριε ὁ Θεὸς ἡμῶν.

Μὴ πρὸς φύλλον, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀνείκαστος ἐν ἰσχύϊ, μὴ πρὸς φύλλον, ὃ ὑπ' ἀνέμου ἀφαρπάζεται, τὸ σὸν ἐθέλεις ἐνδείξασθαι κράτος; μὴ κάρφος ἀναλέον ἐλαύνεις; μὴ κῦμα, μὴ ψύλλαν ὑπὸ δίκην ἄξεις, ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, ὁ ἀεὶ ὤν; ἀκηκόαμεν περὶ τοῦ ἐλέους σου, Κύριε, ὅτι σὺ θάνατον οὐκ ἐποίησας, οὐδὲ χαίρεις ἐπι τῇ τῶν θνησκόντων ἀπωλείᾳ. Διὸ σοῦ δεόμεθα, σοῦ αὐτοῦ ἕνεκεν, μὴ ἐπιτρέψῃς, ὅ οὐκ ἐποίησας ἐπικρατῆσαι τοῦ οὗ περ ἐποίησας· εἰ γὰρ ἐπὶ τῇ ἀπωλείᾳ ἡμῶν οὐ χαίρεις, τί σε τὸν πάντα δυνάμενον, Κύριε, τί σε τὸ κωλύον τοῦ ἐπι τῇ ἡμετέρᾳ σωτηρίᾳ ἐς ἀεὶ χαίρειν; ἐὰν θέλῃς, δύνασαί με σῶσαι· ἐγὼ δὲ, κἂν ἐθελήσω, ἐμαυτὸν σῶσαι οὐ δυνήσομαι· τηλικοῦτον τὸ μέγεθος τῆς ἐμῆς ἀθλιότητος.

Τὸ μὲν γὰρ βουληθῆναι παρ' ἐμοὶ κεῖται, τὸ δ' ἐντελέσαι οὐχὶ ὡσαύτως· ἀλλὰ καὶ τὸ ἀγαθὸν ἐθέλειν οὐκ ἔχω, ἣν μὴ σὺ θέλῃς· οὐδ' ὅ περ θέλω, τοῦτο καὶ δύναμαι, ἐὰν μὴ ἡ δύναμις ἡ σὴ ἐνισχύσῃ με· καὶ ἃ δὲ δύναμαι, ἐνίοτε οὐ θέλω, ἐὰν μὴ γένηται τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Ὃ δὲ δή που καὶ θέλω, καὶ δύναμαι, τουτὶ ἀγνοῶν τυγχάνω, ἐὰν μὴ ἡ σοφία ἡ σὴ φωτίσῃ με· εἰ δὲ καὶ γνοίην, ἔστι μὲν ὅτε ἁπλῶς θέλοντος, ἔστι δ' ὅτε καὶ δυναμένου, ἀτελής τε καὶ φρούδη μου ἡ σοφία ἐξοίχεται, ἐὰν μὴ παρὰ τῆς σῆς σοφίας βοηθηθείη.

Τοιγαροῦν ἅπαντα ἐπὶ τῇ σῇ κεῖται βουλήσει, καὶ οὐδεὶς ἐστὶν, ὅς ἀντιστῆναι ἔχει τῷ σῷ βουλήματι, ὦ Δέσποτα τῶν ἁπάντων, ὁ κυριεύων πάσης σαρκὸς, καὶ πάντα ὅσ᾽ ἂν ἐθέλοις ποιῶν καὶ κατασκευάζων ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. Καὶ γεννηθήτω τοίνυν τὸ θέλημά σου καὶ ἐν ἡμῖν, ἐφ᾽ οἷς τὸ ὄνομα τὸ σὸν ἐπικέκληται. Μὴ δὴ τόδε σου ἐξαπολέσθω τὸ πλάσμα, ὅ περ εἰς τὴν δόξαν διέπλασας! Καὶ τίς γὰρ » ἐστὶν ἄνθρωπος γεννητὸς ἐκ γυναικὸς, ὅς ζήσεται καὶ οὐκ ὄψεται » θάνατον; ὅς ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς Ἅδου, εἰμὴ σὺ » ῥύσαιο μόνος αὐτὸς, ὦ ἡ ζωὴ σὺ, ἡ τοῖς πᾶσι ζωοποιὸς, δί οὗ » τὰ πάντα ζωῆς μετείληχεν;

ΚΕΦ. ΚΕ.

Ὅτι ἡ τȣ̃ ἀνθρώπȣ θέλησις ἀδρανὴς ἐςὶ καθ᾽ ἑαυτὴν πρὸς τὰ ἀγαθὰ τῶν ἔργων ἄνευ τῆς παρὰ τȣ̃ Θεȣ̃ χάριτος.

Ὡς γὰρ ἤδη ἐξωμολογησάμην σοι, ὦ Κύριε ὁ Θεός μου, ἡ ὕμνησις ἡ τῆς ζωῆς μου καὶ ἡ δύναμις τῆς σωτηρίας μου, ἣν ἐγώ ποτε πεποιθὼς ἐπὶ τῇ ἐμῇ ἰσχύϊ, ἅυτη δὲ ἰσχὺς οὐκ ἦν· καὶ οὕτω τρέχειν ἐθέλων, ὅπου μᾶλλον ᾤμην ἑστᾶναι, ἐκεῖ μᾶλλον κατέπιπτον, καὶ ἐγινόμην ὀπίσω ἢ ἔμπροσθεν· καὶ ὅ περ ἐδόκουν ἐφικέσθαι, ἐκεῖνο μᾶλλον ἀπεμακρύνετο ἀπ᾽ ἐμοῦ. Οὕτω δέ πως τῆς ἐν ἐμοὶ ἰσχύος μάτην ἤμην διαπειρώμενος. Νῦν δὲ ἀλλὰ συνίημι ἐπειδή με ἐφώτισας. Καὶ γὰρ ἐφάμην· τόδε δράσω, ἐκεῖνο ἐκτελέσω· εἶτα, οὐδ᾽ ἐκεῖνο ἐγίνετο, οὐδὲ τοῦτο· τὸ μὲν θέλειν παρῆν, τὸ δὲ δύνασθαι ἀπῆν· ἢ παρῆν μὲν τὸ δύνασθαι, ἀπῆν δὲ τὸ θέλειν· ὅτι ἐϊ δυνάμεσι ταῖς κατ᾽ ἐμὲ ἐπεποίθειν.

Νῦν δ᾽ ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, Πάτερ τοῦ

οὐρανοῦ καὶ τῆς γῆς, ὅτι οὐκ ἐν τῇ δυνάμει αὐτοῦ κατισχύσει ἀνήρ, ἵνα μὴ ἀφρόνως καυχήσοιτο πᾶσα σάρξ· οὐ γάρ ἐστιν ἀνθρώπου τὸ δύνασθαι ὅ,τι βούλεται, ἀλλ' ὑπὸ σοῦ μᾶλλον τὰ διαβήματα τῶν ἀνθρώπων κατευθύνεται· τὰ τῶν μὴ παρ' ἑαυτῶν δηλονότι, ἀλλὰ παρὰ σοῦ κατευθύνεσθαι ὁμολογούντων. Καθικετεύομεν τοίνυν, διὰ σπλάγχνα ἐλέους σου εὐδόκησον, Κύριε, τοῦ διασῶσαι οὓς ἔπλασας, ὅτι δύνασαι βουληθεὶς ἡμᾶς σῶσαι, καὶ παρὰ τῇ σῇ κεῖται θελήσει τῆς σωτηρίας ἡμῶν ἡ δύναμις.

ΚΕΦ. Κϛ΄.

Περὶ τῶν ἐξ ἀρχῆς τοῦ Θεοῦ εὐεργετημάτων.

Μνήσθητι τοῦ ἐξ ἀρχῆς ἐλέους σου, Κύριε, δι' οὗ προέφθασας ἡμᾶς ἐν ταῖς εὐλογίαις τῆς σῆς χρηστότητος. Πρὶν γὰρ ἢ γεννηθῆναί με τὸν υἱὸν τῆς παιδίσκης σου, Κύριε ἡ ἐλπίς μου, ἀπὸ μαστῶν τῆς μητρός μου προκατελάβου μου, προετοιμάσας μοι τὰς τρίβους, ἃς βηματίζων πορεύσωμαι καὶ ἀφίξωμαι ἐπὶ τὴν δόξαν τοῦ οἴκου σου. Πρὶν ἢ με πλάσαι ἐν κοιλίᾳ μητρός μου ἐπέγνως με, καὶ πρὸ τοῦ ἐξελθεῖν με τῆς μήτρας, κατὰ τὸ σοὶ εὐάρεστον ἐμὲ προώρισας· ὁποῖα δὲ ἄρα τὰ ἐν τῷ ἀπορρήτῳ τῆς βουλῆς σου βιβλίῳ περὶ ἐμοῦ γεγραμμένα; ἐγὼ μὲν ἀγνοῶ, διὸ καὶ σφόδρα πτοοῦμαι.

Σὺ δ' ἀλλὰ οἶδας· ὅπερ γὰρ ἐγὼ ἐν διαδοχαῖς ἡμερῶν τε καὶ χρόνων ἀπὸ τοῦ νῦν, εἰς ἐτῶν χιλιάδα τῆσδε τῆς ἐπιχρονίου παρατάσεως εἰμὶ προσδοκῶν, τοῦτο ἐνώπιον, Κύριε, τῆς σῆς ἀϊδιότητος αὐτὸ ἤδη γέγονε, καὶ τό γε δὴ ἐσόμενον ἄρτι ἐστὶ γεγονός· ἐμοὶ δὲ, ὅτι ἐν τῇ ζοφερᾷ νυκτὶ τῇδε ἕστηκα, ταῦτ' ἀγνοοῦντι ἔπεισι φοβεῖσθαι καὶ τρέμειν· πολλοὺς γὰρ πανταχόθεν καθορῶ τοὺς ἐπηρτημένους κινδύνους, ἐχθροῖς δὲ πλείστοις θήραμα πρόκειμαι, πλήθει δ' ἀναριθμήτων κακοδαιμονιῶν ἐπι

τοῦδε τοῦ βίου ἐπιπολαζουσῶν περιστοιχοῦμαι· καὶ εἰμὴ ἐν τοσούτοις ἀναστρεφομένῳ δεινοῖς, ἡ παρὰ σοῦ μοι παρείη ἀντίληψις, τέλεον ἂν ἀπογνοίην.

Ἀλλὰ γὰρ ὕπεστί μοι ἐλπὶς μεγάλη, ἐπὶ σοὶ ἐπερειδομένη τῷ πανευμενεστάτῳ Βασιλεῖ καὶ Θεῷ μου· καί γε ἐπὶ τὸ ῥᾶον ἀποκαθίσταταί μου ὁ νοῦς, ἀναπεμπαζομένου τὸ πλῆθος τῶν οἰκτιρμῶν σοῦ, καὶ τὰ τοῦ σοῦ ἐλέους προηγηθέντα τεκμήρια, ἅ με πρὶν ἢ γεννηθῆναι προέφθασαν· καὶ νυνὶ δὲ ἰδιαίτερόν μοι ἐπέλαμψαν, ἅτινα καὶ περὶ τῶν μελλόντων τῶν ἀμεινόνων τε καὶ τελεωτέρων, ἅ περ ἀποταμιεύεις τοῖς ἀγαπῶσι σε, καθυπομιμνήσκει τε, καὶ ἐνάγει καὶ αὐτὰ ἐπελπίζειν· ὥστε με καὶ χαίρειν ἐν σοί, Κύριε ὁ Θεός μου, ἐν χαρᾷ ἁγίᾳ καὶ ζώσῃ, δι ἧς εὐφραίνεις ἀεὶ τὴν νεότητά μου.

ΚΕΦ. ΚΖ.

Περὶ τῶν Ἀγγέλων τῶν εἰς διαφύλαξιν τῶν ἀνθρώπων ἐντεταλμένων.

Ἠγάπησάς με καὶ γὰρ, ὦ ἡ ἐμὴ μόνη ἀγάπη, πρὶν ἢ ἐγὼ ἀγαπήσω σε· καὶ κατ᾽ εἰκόνα τὴν σὴν ἔπλασάς με, καὶ πάντων με τῶν σῶν δημιουργημάτων προτέταχας· ἣν δή που ὑπεροχὴν ταύτην τηνικαῦτα μόνον διατελῶ σώζων, ἐπειδὰν σὲ ἐπιγινώσκων εἰμί, δι ὃν με ἐποίησας.

Πρὸς δ᾽ ἔτι ποιεῖς τοὺς Ἀγγέλους σου πνεύματα δι ἐμὲ, οἷς » ἐνετείλω τοῦ διαφυλάσσειν με ἐν πάσαις ταῖς ὁδοῖς μου, μή ποτε » προσκόψω πρὸς λίθον τὸν πόδα μου.» Οὗτοι εἰσὶν οἱ φρουροὶ, οἱ ἐπὶ τοῖς τείχεσι τῆς νέας σου Ἱερουσαλὴμ καθεστῶτες· ταῦτα ἐστὶ τὰ ὄρη τὰ κύκλῳ αὐτῆς, τὰ γρηγοροῦντα καὶ φυλάσσοντα φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην τὴν σὴν, μή ποτε μὴ ὄντος λυ-

τρουμένου μηδὲ σώζοντος, συναρπάσῃ τὰς ψυχὰς ἡμῶν ὁ ἀρχαῖος ἡμῶν πολεμήτωρ, ὁ ὀρυώμενος ὡς λέων, καὶ ἀδιαλείπτως περιϊὼν, καὶ ζητῶν τίνα καταπίῃ. Οὗτοι εἰσὶν οἱ πολῖται τῆς μακαρίας πόλεως Ἱερουσαλὴμ τῆς ἄνω, καὶ ὑπερτέρας μητρὸς ἡμῶν, οἱ ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ὥστε τούτους περισώζειν ἀπὸ τῶν ἐχθρῶν, καὶ φυλάσσειν ἐν πάσαις ταῖς τρίβοις αὐτῶν, καὶ ἐνισχύειν, καὶ ἀνεκδιδάσκειν, καὶ τὰς τῶν σῶν τέκνων δεήσεις τε καὶ ἱκεσίας ἐνώπιον τῆς δόξης τῆς σῆς μεγαλωσύνης προσάγειν.

Φιλοῦσι γὰρ τοὺς ἑαυτῶν συμπολίτας, δι᾽ ὧν τὰς ἐκ τῆς αὐτῶν διαπτώσεως καὶ κατερείψεως διασφάγας ἐπισκευασθήσεσθαι προσδοκῶσιν. Ἔνθεντοι καὶ συντόνῳ ἐπιμελείᾳ, καὶ σπουδῇ ἐπαγρύπνῳ, πάρεισιν ἡμῖν ἀεί τε καὶ ἀπανταχοῦ συντρέχοντες, καὶ τῶν ἡμετέρων ἀναγκῶν προνοούμενοι, καὶ μέσον ἡμῶν τε καὶ σοῦ, Δέσποτα, ἐνδελεχῶς διαθέοντες· καὶ τοὺς μὲν ἡμῶν ὀλοφυρμούς τε καὶ γόους πρὸς σὲ ἀναφέροντες, τὸ δὲ τῆς παρὰ σοῦ χρηστότητος ἐπιῤῥεπὲς πρὸς ἐξιλασμὸν ἐκδυσωποῦντες, ἵνα τὴν ποθεινὴν τῆς σῆς χάριτος εὐλογίαν ἡμῖν ἐπαναγγείλωσι· συμβαδίζοντες γάρ εἰσιν ἡμῖν ἐν πᾶσι τοῖς ἡμῶν διαβήμασι, καὶ εἰσίασί γε μεθ᾽ ἡμῶν, καὶ ἐξίασιν, ἀτενῶς προσέχοντες, εἴ περ μετὰ σεμνότητος καὶ εὐσεβείας ἐν μέσῳ γενεᾶς σκολιᾶς διατελοῦμεν ἀναστρεφόμενοι. Ὁπόσῃ τε δὲ τῇ σπουδῇ καὶ ἐφέσει ἐκζητοῦμεν τὴν δικαιοσύνην καὶ τὴν βασιλείαν τὴν σὴν, καὶ ἡλίκῳ δὲ φόβῳ τε καὶ τρόμῳ δουλεύομέν σοι, χαίροντές τε ἅμα τότε καὶ αὐτοὶ, κἂν τῇ εὐφροσύνῃ τῆς ἡμῶν καρδίας ἐναγαλλόμενοι. Οἱ δ᾽ αὐτοὶ καὶ ἐπιμοχθούντων ἡμῶν ἐπιλαμβάνονται, καὶ περισκέπουσι διαναπαυομένους, καὶ ἐναγωνιζομένους προθυμοποιοῦσι, καὶ νικῶντας ἀναστέφουσι· χαίρουσί τε μετὰ χαιρόντων (τῶν ἐν σοὶ, φημὶ, χαιρόντων·) καὶ συμπάσχουσι μετὰ πασχόντων· τῶν πασχόντων (λέγω) σοῦγε ἕνεκα.

Μεγάλη δὴ ἡ διὰ τούτων περὶ ἡμᾶς σου κηδεμονία! μεγάλη δὲ καὶ τούτων αὐτῶν ἡ πρὸς ἡμᾶς ἀγαπητικὴ διάθεσις! Ἀγαπῶσι γὰρ ὅ περ αὐτὸς ἀγαπᾷς, καὶ φρουροῦσι μὲν, οὓς αὐτὸς περισώ-

ζεις, ἀπολιμπάνουσι δὲ, οὓς ἂν αὐτὸς ἐγκαταλίποις· οὐδέ γε στέργουσι τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ὅτι καὶ αὐτὸς τοὺς τὴν ἀνομίαν ἐργαζομένους ἐμίσησας, καὶ ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ὁσάκις οὖν τὸ ἀγαθὸν πράττομεν οἱ μὲν Ἄγγελοι ἐφήδονται, οἱ δὲ δαίμονες ἀνιῶνται. Ὁσάκις δὲ τοῦ ἀγαθοῦ ἀπεκκλίνομεν, τὸν μὲν διάβολον ἐπιτέρπομεν, τῶν δ' Ἀγγέλων τῶν σῶν τὴν χαρὰν ὑφαιροῦμεν· χαρὰ γὰρ ἐστὶ, τούτοις μὲν, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, τῷ δὲ διαβόλῳ ἐπὶ ἑνὶ δικαίῳ τῷ ἐξαμαρτήσαντι, καὶ μὴ γνωσιμαχοῦντι. Δός τοίνυν, ὦ δημιουργὲ Ἀγγέλων τε καὶ ἀνθρώπων, δός τοῖς σοῖς Ἀγγέλοις ἐπὶ τῶν ἀγαθῶν ἀεί ποτε χαίρειν, ἵνα καὶ αὐτὸς δἰ ἐκείνων διὰ παντὸς ἐν ἡμῖν αἰνετὸς εἴης, καὶ ἡμεῖς σὺν αὐτοῖς εἰς μίαν ποίμνην τὴν σὴν εἰσενεχθῶμεν, καὶ σὺν ἐκείνοις ἅμα τῷ ὀνόματί σου τῷ ἁγίῳ διατελῶμεν συνεξομολογούμενοι.

Τούτων ἐγὼ ἐπιμιμνησκόμενος, ἐξομολογοῦμαι ἐνώπιόν σου, ἀνυμνολογῶν σε, Κύριε, ἕνεκεν τῶν μεγάλων αὐτῶν σοῦ εὐεργετημάτων! οἷς ἡμᾶς ἐτίμησας, ποιῶν ἡμῖν τοὺς Ἀγγέλους σου πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα ἡμετέραν. Δέδωκας μὲν γὰρ ἅπαν ὅ,τι ὑπὸ τὸν οὐρανὸν περιέχεται· ὡς δ' εἰ μικρὸν ἡγοῦ ταῦτα, καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἔτι προσεπέθηκας! »Αἰνεσάτωσάν σε, » Κύριε, περὶ τούτου πάντες οἱ Ἄγγελοί σου! ἐξομολογησάσθω-» σάν σοι περὶ τούτου πάντα τὰ ἔργα σου! καὶ αὐτοὶ δὲ οἱ ἅγιοί σου εὐλογησάτωσάν σε! Βαβαὶ τῆς τιμῆς, ἧς ἡμᾶς κατηξίωσας! ᾗ κατεπλούτισας! Βαβαὶ τῶν δωρημάτων, οἷς κατηγλάϊσας! ὡς θαυμαστὸν τὸ ὄνομά σου, Κύριε, ἐν πάσῃ τῇ γῇ! τί γὰρ ἐστὶν ἄνθρωπος, ὅτι τοσοῦτον αὐτὸν ἐμεγάλυνας; ἢ ὅτι οὕτως αὐτῷ προσέθου τὴν καρδίαν σου. Εἶπας γὰρ ὦ, Κύριε, ἡ ὑπεραρχαιοτάτη ἀλήθεια· ὅτι, ἡ τρυφή μου μετὰ τῶν υἱῶν τῶν ἀνθρώπων ἐστίν. Οὐχὶ σαπρία ὁ ἄνθρωπος, καὶ σκώληξ ὁ υἱὸς τοῦ ἀνθρώπου; Οὐχὶ ματαιότης τὰ πάντα, καὶ ματαιότης πᾶς ἄνθρωπος; καὶ ἀξιοῖς ἐπανοίγειν ἐπ' αὐτῷ ὀφθαλμούς σου; καὶ ἀξιοῖς μετ' αὐτοῦ καὶ εἰς κρίσιν εἰσέρχεσθαι;

ΚΕΦ. ΚΗ.

Περὶ τȣ̃ βάθȣς τȣ̃ Προορισμȣ̃, καὶ τῆς Θείας Προγνώσεως.

Δίδαξόν με, ὦ βαθυτάτη ἄβυσσος, ὦ ἡ δημιουργὸς σοφία, ἡ στήσασα τὰ ὄρη ἐν σταθμῷ, καὶ τὰς νάπας ἐν ζυγῷ· ἡ τὸν γῆς ὄγκον μετέωρον τρισὶ δακτύλοις κρεμάσασα, μετεώρισον δὴ καὶ ὃν ἐγὼ φέρω παχύτητος σωματικῆς ὄγκον, μετάρσιον τοῦτον πρὸς σὲ τοῖς τρισί σου ἀθεάτοις δακτύλοις ἀναιωρήσασα, ὡς ἂν ἴδω καὶ γνώσωμαι, ὡς θαυμαστὸς εἶ ἐπὶ πάσης τῆς γῆς ὁ Θεὸς, τὸ φῶς τὸ ἀρχίφωτον, τὸ, πρὸ παντὸς ἄλλου φωτὸς, φαῖνον ἐν ὄρεσι τοῖς ἁγίοις τοῖς τῆς ὑπεραρχίου αἰωνιότητος· ᾧ πάντα γυμνά τε ἦν καὶ ἀνακεκαλυμμένα πρὶν ἢ γενέσθαι· τὸ φῶς τὸ πᾶσαν κηλῖδα ἀποστρεφόμενον, ἅτε καθαρώτατον πεφυκὸς καὶ ἀμίαντον: τίς ποτέ σοι ἡ ἐν ἀνθρώποις τρυφή; τίς κοινωνία φωτὶ πρὸς σκότος; ἐν τίνι τὸ σὸν ἐστὶν ἀμφὶ τῷ ἀνθρώπῳ ἐντρύφημα; Ποῦ σεαυτῷ ἡτοίμασας ἐν ἐμοὶ ἁγιαστήριον τῆς σῆς μεγαλωσύνης ἐπάξιον, ὅ περ ἂν εἰσεληλυθὼς εὕροις τερπνότητος πρόξενον; Καθαρὸν γάρ σοι πρέπει τρικλίνιον, ὦ καθαρτικὴ δύναμις, ἡ μόναις ταῖς καθαραῖς καρδίαις οἵα τε οὖσα ὀπτάνεσθαι, πολλῷ δέ τοι ἔλαττον ἔχεσθαι.

Ποῦ δὲ νεὼς οὕτω καθαρὸς ἐν ἀνθρώπῳ, ὃς ἂν ὑποδέξαιτό σε τὸν ἐπὶ τοῦ παντὸς βασιλεύοντα; τίς δύναται καθαρὸν ποιῆσαι τὸν ἐξ ἀκαθάρτου συλληφθέντα σπέρματος; οὐχὶ σὺ, ὃς καθαρὸς εἶ μόνος; ἀπὸ γὰρ ἀκαθάρτου, τίς καθαρισθήσεται; Καὶ γὰρ, καὶ καθ' ὃν ἔθου τοῖς πατράσι νόμον, ἐν πυρὶ τῷ διακαίοντι τὸ ὄρος, καὶ ἐν νεφέλῃ τῇ τὸ ὕδωρ τὸ σκοτεινὸν ἐπικαλυπτούσῃ, ἅπαν οὗ περ ἂν ὁ μὴ καθαρὸς ἐφάψαιτο, ἀκάθαρτον ἔσται: ἡμεῖς δὲ

ὡσεὶ ῥάκος ἀποκαθημένης οἱ πάντες, ἅτε ἀπὸ φυράματος ἀκαθάρτου καὶ διεφθορότος ἐκπροϊόντες, ἐπὶ μετώπων φέρομεν τὴν ἑαυτῶν κηλίδα, ἣν ἐπικρύψαι σοὶ, τῷ πρό γε πάντων τὰ πάντα εἰδότι, οὐκ ἔχομεν: διὸ οὐδὲ καθαροὶ δυνάμεθα εἶναι, ἐὰν μὴ καθαρίσῃς ἡμᾶς αὐτὸς ὁ μόνος καθαρὸς ὑπάρχων· καθαρίζεις δ' ἐξ ἡμῶν, οἷς ἄν περ ἐν υἱοῖς ἀνθρώπων ἐνοικεῖν εὐδοκήσαις, οὓς τε κατὰ τοὺς ἀπροσίτους βυθοὺς τῶν ἀποῤῥήτων τῆς σῆς σοφίας κριμάτων, τῶν ἀνεξεικάστων μὲν, ἀεὶ δὲ δικαίων, καί τοιγε ἀποκρύφων, μηδεμιᾶς ἐν αὐτοῖς ἀξιοπρεπείας προηγουμένης, πρὸ καταβολῆς κόσμου προώρισας, καὶ ἀπὸ τοῦ κόσμου ἀνεκαλέσω, καὶ ἐν τῷ κόσμῳ ἐδικαίωσας, καὶ μετὰ τὸν κόσμον αὐτοὺς μεγαλύνεις. Οὔκουν δὲ πᾶσι τοῦτο ποιεῖς· ὅ περ οὖν οἱ τῆς γῆς σοφοὶ ἅπαντες ἐκτεθηπότες θαυμάζουσι.

Καὶ αὐτὸς δ' ἐγὼ, Δέσποτα, τουτὶ ἀναλογιζόμενος καταπτήσσω καὶ τέθηπα, τὸ βάθος ἐννοῶν τῆς σῆς σοφίας καὶ γνώσεως, πρὸς ἣν ἐξικέσθαι οὐ δύναμαι· ἀκατανόητα γάρ τὰ κρίματα τῆς δικαιοσύνης σου· ὅτι ἐκ τοῦ αὐτοῦ πηλοῦ τὰ μὲν ποιεῖς σκεύη εἰς τιμὴν, τὰ δὲ εἰς ἀτιμίαν αἰώνιον. Τοιγαροῦν οὓς περ ἐκ τῶν πολλῶν σεαυτῷ ἐξελέξω εἰς ναὸν ἅγιόν σου, τούτους δὴ καὶ καθαίρεις, ὕδωρ ἐπ' αὐτοὺς καθαρὸν ἐπαντλῶν, ὧν τὸν ἀριθμὸν καὶ τὰ ὀνόματα » σὺ γινώσκεις, ὁ μόνος ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς » ὀνόματα καλῶν· οἵτινες ἄρα καὶ ἐν βίβλῳ ζωῆς εἰσὶ καταγεγραμμένοι, οἵ τε ἀπολέσθαι οὐκ ἔχουσι, καὶ οἷς ἅπαντα εἰς τὸ ἀγαθὸν συνεργεῖ! καὶ αὐτὰ προσέτι τὰ πλημμελούμενα· ἐὰν γὰρ καὶ πέσωσιν, οὐ καταῤῥαχθήσονται· αὐτὸς γὰρ ἀντιστηρίξεις αὐτοῖς τὴν χεῖρά σου, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν φυλάσσεις τοῦ μηδὲν αὐτοῖς συντριβῆναι.

Ἀλλ' ὁ τῶν ἁμαρτωλῶν θάνατος πονηρός· ἐκείνων δηλονότι, οὓς πρὸ τοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν ποιῆσαι, κατὰ τὴν ἀχανῆ ἄβυσσον τῶν σῶν ἀτεκμάρτων μὲν κριμάτων, ἀεὶ δὲ δικαίων, εἰς θάνατον ἐσομένους προέγνως αἰώνιον· ὧν δήπου, ἤτε τῶν ὀνο-

μάτων, καὶ ἡ τῶν πονηρῶν ἔργων ἐξαρίθμησις παρὰ σοί ἐστι, τῷ ἀριθμοῦντι ψάμμον θαλάσσης, καὶ διαμετροῦντι βάθος ἀβύσσου· οὕσπερ ἐγκατέλιπες ἐν ταῖς ἀκαθαρσίαις αὐτῶν, οἷς τε πάντα συνεργεῖ εἰς τὸ φαῦλον καὶ διὰ τοῦτο καὶ ἡ προσευχὴ αὐτῶν μεθίσταται εἰς ἁμαρτίαν, οἵτινες κἂν ἕως οὐρανοῦ ἀναβῶσι, καὶ τῇ κεφαλῇ τοὺς ἀστέρας ἐπαῤῥάξωσιν, ἢ καὶ μέσον αὐτῶν τῶν ἄστρων τὴν ἑαυτῶν νοσσιὰν στήσωσι, κἀκεῖθεν τελευταῖον ὡσεὶ κόπρος ἐξαπολοῦνται ἀποῤῥιπτούμενοι.

ΚΕΦ. ΚΘ.

Περὶ τῶν, πρῶτον μὲν ὄντων δικαίων, ὕστερον δὲ ἀσεβῶν καθισαμένων, καὶ ἀνάπαλιν.

Μεγάλα σου τὰ κρίματα ταῦτα, Κύριε ὁ Θεὸς, ὁ δίκαιος καὶ ἰσχυρός· ὁ κρίνων δικαιώματα, καὶ ἀνεξιχνίαστα ποιῶν, καὶ βάθει ἀνέφικτα, ἅπερ ἐμοὶ ἀναλογιζομένῳ, πάντα τὰ ὀστᾶ τρέμει, ὅτι οὐκ ἐν ἀσφαλεῖ ἐστὶν, ἄνθρωπος ἐπὶ γῆς ζῶν. Τοιγάρτοι καὶ πολλῆς σφόδρα προσοχῆς ἡμῖν χρεία, ἵνα ὁσίως τε καὶ ἁγνῶς δουλεύωμέν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν ἐν φόβῳ, καὶ ἀγαλλιώμεθα ἐν τρόμῳ· ὥστε μήτε τὴν ἡμῶν δουλείαν εἶναι χωρὶς φόβου, μήτε τὴν χαρὰν ἄνευ τρόμου, καὶ ὥστε μηδαμῶς ἐπαίρεσθαι ἔχειν τὸν διεζωσμένον ὑπὲρ τὸν ἀπόζωνον· ὅπως ἂν μὴ καυχήσηται ἐνώπιόν σου πᾶσα σάρξ, ἀλλ' ἵνα φοβῆται καὶ τρέμῃ ἀπὸ προσώπου σου· καθότιγε οὐκ οἶδεν ἄνθρωπος, πότερον ἀγάπης, ἢ μίσους ἄξιος ἐστὶν· ἅπαντα γὰρ εἰς τὸ μέλλον τηρεῖται ἄδηλα.

Πολλοὺς γὰρ ἑωράκαμεν, Κύριε, καὶ παρὰ τῶν πατέρων ἡμῶν ἀκηκόαμεν (ὅ περ οὖν οὐκ ἄνευ δὴ μεγάλου φόβου τε καὶ τρόμου

νῦν ἀναπεμπάζομαι, καὶ διέξειμι.) τοὺς τὸ μὲν πρῶτον ἄχρις οὐρανῶν ἀναβάντας, καὶ μέσον ἀστέρων τὴν καλιὰν αὐτῶν πήξαντας, ἔπειτα δ' ἕως τῶν ἀβύσσων καταῤῥαχθέντας, καὶ ἐν κακοῖς τὰς ψυχὰς ἀποχρέμψαντας. Εἴδομεν ἀστέρας ἀπ' οὐρανοῦ κατενεχθέντας, ὁρμῇ σφοδρᾷ τῷ οὐραίῳ τοῦ δράκοντος αὐτοὺς ἐκπατάξαντος· τοὺς δ' ἐπὶ χοὸς γῆς κάτω κειμένους, ἀπὸ τοῦ προσώπου σου, τῆς χειρός σου, Κύριε, ὑπανακουφιζούσης, κατείδομεν παραδόξως αὖθις ἐπαναβάντας. Εἴδομεν τοὺς μὲν ζῶντας θνήξαντας, τοὺς δὲ νεκροὺς ἀπὸ τοῦ θανάτου ἐξεγερθέντας, καὶ τοὺς ἐν υἱοῖς Θεοῦ μεταξὺ λίθων πεπυρακτωμένων ἀναστρεφομένους, ὡσεὶ πηλὸν εἰς τὸ μηδὲν ὑποῤῥυέντας. Εἴδομεν, τὸ μὲν φῶς ἐπισκοτασθὲν, ἀπὸ δὲ σκότους φῶς ἀναλάμψαν· »ὅτι τελῶναι καὶ »πόρναι προάγουσι τοὺς ἐνοίκους ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ »δὲ υἱοὶ τῆς βασιλείας ἐκβάλλονται εἰς τὸ σκότος τὸ ἐξώτερον.

Ἵνα τί δὲ ταῦτα πάντα, εἰμὴ διότι ἀνέβησαν ἐπαρθέντες ἐπὶ τοῦ ὄρους ἐκείνου, ἐφ' οὗ ἀνῆλθεν ὁ πρῶτος Ἄγγελος, καὶ κατῆλθε διάβολος; οὓς μέντοι προώρισας, αὐτοὺς καὶ ἐκάλεσας, καὶ ἡγίασας, καὶ καθήγνισας, ἵνα ὦσιν ἄξιον τῆς σῆς μεγαλωσύνης σκήνωμα, σὺν οἷς, καὶ ἐν οἷς, τρυφή σοι ἐστὶν ἁγία καὶ καθαρά· ἐν οἷς ἀμέλειτοι καὶ αὐτὸς ἐνήδῃ, καὶ τὴν ἐκείνων ἐπευφραίνεις νεότητα, συνοικῶν αὐτοῖς ἐν μέσῳ αὐτῶν, ἵνα ὦσι ναὸς ἅγιός σου, ὃ μέγα ἐστὶν εἰς ἐπισύστασιν δόξης τῇ ἡμῶν ἀνθρωπότητι.

ΚΕΦ. Λ.

Ὅτι ἡ τοῦ πιστοῦ ψυχὴ Θεοῦ ἐστὶν ἁγιαστήριον.

Ἡ γὰρ ψυχὴ, ἣν οὔκουν μὲν ἐκ σεαυτοῦ, ἀλλὰ διὰ τοῦ ῥήματος τοῦ σοῦ· οὐκ ἐξ ὁποιασοῦν τινὸς ὕλης στοιχείων, ἀλλ' ἐκ τοῦ μη-

δενὸς ἔκτισας, λογικὴν οὖσαν φύσιν, νοερὰν, ἀσώματον, ἀθάνατον, ἀεικίνητον (ἣν τῷ φωτὶ τοῦ προσώπου σου ἐσημείωσας, καὶ τῇ δυνάμει τοῦ λουτῆρος σου καθιέρωσας·) οὕτως ἐπιδεκτικὴ τῆς σῆς μεγαλωσύνης ὑπάρχει, ὡς ὑπὸ σοῦ, ἄλλου δὲ μηδενὸς πεφυκέναι ἐμπίπλασθαι. Ἐπειδὰν οὖν σὲ ἔχει, τῆς καθ' ἑαυτὴν ἐπιθυμίας ἀνάπλεως ἐστὶ, καὶ οὐδὲν αὐτῇ ἕτερον ὑπολείπεται, οὗ περ ἂν ἐφίοιτο· προεφιεμένη καὶ γάρ τινος τῶν ἐκτὸς, φανερὸν ὅτι ἐντὸς ἑαυτῆς σε οὐκ ἔχει· οὐ γὰρ ἄν τινος ἐπιθυμήσειε περαιτέρω, σὲ ἔχουσα.

Ἐπεὶ γὰρ τὸ πᾶν ἀγαθὸν σὺ ὑπάρχεις, καὶ τῶν ἀγαθῶν τὸ ἀκρότατον, οὐκ ἔχει οὗ τινος ἂν καὶ ἀγαθοῦ ἐπέκεινα ἐπιγλίχοιτο, τὸ πᾶν κεκτημένη· ὡς εἴγε αὐτὸ τὸ πᾶν ὂν ἀγαθὸν μὴ ποθοίη, ἐπιποθεῖν λοιπὸν αὐτῇ τι, ὃ οὐκ ἔστι τὸ πᾶν ἀγαθόν· τοιγαροῦν, οὐδὲ τὸ τῶν ἀγαθῶν ἄκρον, οὐδ' ἄρα τὸν Θεὸν αὐτὸν, ἀλλὰ μᾶλλον τὸ κτίσμα· τὸ δέ τοι κτίσμα ἐπιποθοῦσα, ἔσται ἀεί ποτε πεινῶσα· καὶ γὰρ δὴ καὶ τοῦ ἐπιποθήτου κτίσματος γενομένη ἐν ἀπολαύσει, ἔτι κενὴ ἀπολείπεται· οὐδὲν γὰρ τὸ αὐτὴν ἐστὶν ἐμπιπλῶν, εἰμὴ σὺ μόνος, οὗ κατὰ τὴν εἰκόνα αὕτη δεδημιούργηται. Αὐτὸς δ' ἐμπίπλης τοὺς μηδενὸς ἄλλου, παρεκτὸς σοῦ, ἐφιεμένους, καὶ αὐτοὺς ἀποφαίνεις σεαυτοῦ ἀξίους, ἁγίους, μακαρίους, ἀμιάντους, Θεοφιλεῖς τε καὶ φιλοθέους, ἅτε δὴ πάντα ὡς σκύβαλα ἡγουμένους, ἵνα σὲ καὶ μόνον κερδήσωσιν.

Αὕτη ἐστὶν ἡ μακαριότης, ἣν τῷ ἀνθρώπῳ ἀπεκληρώσω· αὕτη ἡ τιμὴ, δι' ἧς αὐτὸν ἐν ἅπασι τοῖς κτίσμασι, μᾶλλον δὲ ὑπὲρ τὰ κτίσματα πάντα ὑπερετίμησας, ὡς ἂν εἴη θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ἰδοὺ, Κύριε ὁ Θεός μου, ὕψιστε, παντοκράτωρ, πανυπεράγαθε, εὗρον τὸν τόπον ἔνθα οἰκεῖς· κατοικεῖς γὰρ ἐν τῇ ψυχῇ, ἣν κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν αὐτὸς ἔκτισας. Ἐν τῇ ψυχῇ τῇ σὲ μόνον ζητούσῃ τε καὶ ἐπιποθούσῃ· οὐκ ἐν ἐκείνῃ, ἥτις οὐδὲ ζητεῖ σε, οὐδὲ σοῦ ὅλως ἐφίεται.

ΚΕΦ. ΛΑ.

Ὅτι οὔτε διὰ τῶν ἐκτὸς αἰσθήσεως, οὔτε διὰ τῶν ἐντὸς εὑρεθῆναι δύναται ὁ Θεός.

„Ἐπλανήθην ἐγω ὡσεὶ πρόβατον τὸ ἀπολωλὸς, ζητῶν ἔξωθεν τὸν ἔνδον ὑπάρχοντα· καὶ ἄγαν ἐκοπίασα, ἐκτὸς ἐμοῦ ἐκζητῶν σε· σὺ δ' ἐνοικεῖς ἐν ἐμοί, εἰ μόνον εἴην ἐγὼ σοῦ ἐφιέμενος. Περιῆλθον στενωποὺς καὶ πλατείας τοῦ κόσμου τούτου ἀναζητῶν σε, καὶ οὐχ εὗρον· ἐπεὶ οὐ καλῶς ἐζήτουν ἔξω, ὅ περ ἦν ἔσω· ἀπέστειλα τοὺς ἐμοὺς Ἀγγέλους, ἁπάσας μου τὰς ἐξωτέρας αἰσθήσεις τοῦ ἐκζητῆσαι σε, καὶ οὐχ εὗρον, ὅτι οὐ καλῶς ἐξεζήτουν. Ὁρῶ γὰρ, ὦ τὸ φῶς τὸ ἐμὸν, ὁ Θεός μου, ὁ φωτίσας με, ὅτι οὐκ ὀρθῶς δι ἐκείνων ἐζήτουν ἐγώ· σὺ γὰρ ἔνδον ἐμοῦ ἦσθα, αὐταὶ δὲ, ὡς ἔνδον εἰσῆλθες, οὐ συνεῖδον.

Καὶ γὰρ οἱ μὲν ὀφθαλμοὶ φασὶν, εἰμὴ χρόαν εἶχε, δἰ ἡμῶν οὐκ εἰσῆλθε· τὰ ὦτα φασὶν, εἰμὴ ἀπέδωκεν ἦχημα, δἰ ἡμῶν οὐκ εἰσῆλθεν· ἡ ῥὶς φησὶν, εἰμὴ ὀσμὴν ἀποφέρει, δἰ ἐμοῦ οὐκ εἰσῆλθεν· ἡ γεῦσις φησὶν, εἰμὴ κεχύμωται, δἰ ἐμοῦ οὐκ εἰσῆλθεν· ἡ δ' ἀφὴ προστίθησιν, εἰμή τι σωματῶδες ἐστὶ, μηδέν μου περὶ αὐτοῦ πυνθάνου. Οὔκουν ἐν σοὶ ταῦτα ἐστὶν ὁ Θεός μου· οὐ γὰρ σώματος εἶδος, οὐδὲ χρόνου εὐπρέπειαν, οὐ φωτὸς αἴγλην, οὐ χροιὰν, οὐχ ἡδέα μελωδήματα, καὶ ὅσα γλυκερὸν ἐστὶν ἐξηχοῦντα, οὐκ ἀνθέων, καὶ μύρων, καὶ ἀρωμάτων πνοὰς, οὐ μέλιτος κηρίον, οὐ μάννα, τὰ γεύσεως πανήδιστα τρυφήματα, οὐ τὰ λοιπὰ τῶν ἅψασθαί τε καὶ περιπτύξασθαι ἐπεράστων, οὐδ' ὅσα ἄλλα καθυποπίπτει ταῖς αἰσθήσεσι ταύταις τυγχάνω ζητῶν. Ἄβαλε, τοῦ αὐτὸν εἶναι τὸν Θεόν μου πιστεύειν! ὧν καὶ τὰ αἰσθητήρια τὰ τῶν βοσκημάτων ἀντιλαμβάνεται.

Καὶ μὴν, ὅτε τὸν Θεόν μου ζητῶ, οὐδέν τι ἧττον ἢ τὸ φῶς ζητῶ τὸ ὑπὲρ πᾶν φῶς, ὅ περ ὀφθαλμὸς ἥκιστα χωρεῖ· φωνήν τινα ζητῶ, τὴν ὑπὲρ πᾶσαν φωνὴν, ἥν τινα τὸ οὖς οὐ χωρεῖ· ὀσμήν τινα, τὴν ὑπὲρ πᾶσαν ὀσμὴν, ἣν μυκτὴρ οὐ χωρεῖ· γλυκύτητα τὴν ὑπὲρ πᾶσαν γλυκύτητα, ἣν οὐ χωρεῖ ἡ γεῦσις· περίπτυξιν τὴν ὑπὲρ πᾶσαν περίπτυξιν, ἧς περ ἂν ἡ ἀφὴ θήγοι ἡ τοῦ ἐξωτέρου ἀνθρώπου. Ταυτὶ τὸ φῶς φαίνει, ἔνθα τόπος οὐ περιέχει· αὕτη ἡ φωνὴ ἠχεῖ, ἔνθα ἄημα οὐκ ἀφαρπάζει· ἡ ὀσμὴ αὕτη εὐωδιάζει, ἔνθα ῥιπὴ οὐ διασκίδνησιν· ἡ γεῦσις αὕτη ἐστὶν ἡδεῖα, ἔνθα οὐκ ἔστι λιχνείας θέλξις· ἡ περίπτυξις αὕτη ἐφάπτεται, ἀφ' οὗ περ οὐκ ἀπεκδιασπᾶται. » Οὗτος ἐστὶν ὁ Θεός μου, καὶ οὐ λογι» σθήσεται ἕτερος πρὸς αὐτόν » τοῦτο ζητῶ, ὅτε τὸν Θεόν μου ζητῶ· τοῦτο ἀγαπῶ, ἡνίκα τὸν Θεόν μου ἀγαπῶ.

Ὀψέ σε ἠγάπησα, ὦ κάλλος πρεσβύτατον τὸ αὐτὸ καὶ νεώτατον· ὀψέ σε ἠγάπησα· καὶ σὺ μὲν ἔνδον ἦσθα, ἐγὼ δὲ ἔξω· ἐνταῦθα δέ σε ζητῶν, ἀμφὶ τοῖς ὡραίοις τούτοις, οἷς περ ἐποίησας, ὁ ἀσχήμων ἐνεκυβίστων. Μετ' ἐμοῦ ὑπῆρχες, ἐγὼ δὲ οὐκ ἦν μετὰ σοῦ· ταῦτά με ἀπὸ σοῦ μακρὰν ἀπῆγεν, ἅ περ οὐδ' εἶναι τὴν ἀρχὴν εἶχεν, εἰμὴ ἐν σοί. Περιῄειν οὖν πάντα ἀναζητῶν σε, καὶ διὰ πάντων ἰὼν, ἐμαυτὸν ἀπελίμπανον. Ἠρώτησα τὴν γῆν, εἴπερ αὕτη ὁ Θεός μου ἐστί; καὶ εἶπέ μοι, οὔ· τὰ δ' ἐν αὐτῇ πάντα συνωμολόγησαν αὐτῇ. Ἠρώτησα τὴν θάλασσαν, τὰς ἀβύσσους, καὶ τὰ ἕρποντα ἐν τοῖς ὕδασι, καὶ ἀπεκρίναντο, οὐκ ἐσμὲν ὁ Θεός σου: ζήτει αὐτὸν ὑπὲρ ἡμᾶς. Ἠρώτησα τὰς πνοὰς καὶ τὰς αὔρας, καὶ εἶπέ μοι ὁ ἀὴρ ὅλος, σὺν ἅπασι τοῖς αὐτῷ ἐνδιαιτωμένοις· σφάλλεται ὁ Ἀναξιμένης, οὐκ ἐγὼ εἰμὶ ὁ Θεός σου. Ἠρώτησα τὸν οὐρανὸν, τὸν Ἥλιον, τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ εἶπόν μοι· οὐδ' ἡμεῖς ἐσμὲν ὁ Θεός σου.

Καὶ εἶπον ἅπασι τοῖς περὶ τὰς πύλας τὰς τῆς σαρκός μου περιεστῶσί μοι· Ἔφητε περὶ τοῦ Θεοῦ μου, ὅτι ὑμεῖς οὐκ ἐστὲ· εἴπατέ μοι τί περὶ ἐκείνου; καὶ ἔκραξαν ἅπαντες φωνῇ μεγάλῃ: Αὐτὸς

ἐποίησεν ἡμᾶς. Εἶτα προσεπηρώτησα τὸν ὅλον διάκοσμον· λέγε μοι, εἰ σὺ εἶ ὁ Θεός μου, ἢ οὔ; καὶ ἀπεκρίνατό μοι ἐν φωνῇ ἰσχυρᾷ· οὐκ εἰμὶ (φησὶν) ἐγὼ, ἀλλὰ δι' αὐτοῦ ἐγὼ εἰμί· ὃν δ' ἐν ἐμοὶ ζητεῖς, αὐτὸς ἐστὶν ὁ ποιήσας με· ὑπὲρ ἐμὲ ζήτει τὸν διέποντά με, τὸν ἐμὲ κτίσαντα. Διερωτᾷν περὶ τοῦ Θεοῦ τὰ κτισθέντα, τὸ εἰς βάθος ἐστὶν αὐτὰ ἐπιθεωρεῖν· τούτων δὲ ἀπόκρισις ἐστὶν, ἡ περὶ τοῦ κτίστου αὐτῶν μαρτυρία. Καὶ γὰρ σύμπαντα κέκραγεν· αὐτὸς ἐποίησεν ἡμᾶς· ὡς γὰρ φησὶν ὁ Ἀπόστολος » τὰ ἀόρατα τοῦ » Θεοῦ, διὰ τῆς τοῦ κόσμου κτίσεως, τοῖς ποιήμασι νοούμενα » καθορᾶται. »

Καὶ ὑπέστρεψα πρὸς ἐμαυτὸν, καὶ εἰσῆλθον ἐντὸς ἐμαυτοῦ, καὶ εἶπον ἐμοί γε αὐτῷ: σὺ τίς εἶ; καὶ ἀπεκρινάμην αὐτὸς ἐμαυτῷ: ἄνθρωπος εἰμὶ λογικὸς καὶ θνητός. Καὶ ἠρξάμην ἀνακρίνειν, τί τοῦτ' ἂν εἴη; Καὶ εἶπα, πόθεν τὸ τοιοῦτον ζῶον, Κύριε ὁ Θεός μου; πόθεν εἰμι ἐγὼ, εἰμὴ παρὰ σοῦ; αὐτὸς ἐποίησάς με, καὶ οὐκ αὐτὸς ἐμαυτὸν ἐποίησα· τίς σὺ εἶ; σὺ εἶ δι' ὃν ἐγὼ ζῶ· σὺ, δι' ὃν ζῇ τὰ πάντα· τίς σύ; ὁ Κύριος καὶ Θεός μου, ὁ ἀληθινός τε καὶ μόνος· ὁ παντοκράτωρ, ὁ ὑπεραιώνιος, ὁ ὑπερκατάληπτος, ὁ ἀκαταμέτρητος, ὁ ἀεὶ ζῶν, καὶ οὐδὲν ὅ,τι καὶ θνήσιμον ἐν σεαυτῷ φέρων, ὁ ἀθάνατος ὢν, καὶ τοὺς αἰῶνας οἰκῶν, ὁ θαυμαστὸς ἐν ὀφθαλμοῖς Ἀγγέλων, ὁ ἄφραστος, ὁ ἀνεξιχνίαστος, ὁ ἀκατονόμαστος, Θεὸς ζῶν, καὶ ἀληθινὸς, καὶ φοβερὸς, καὶ ἰσχυρός· ὁ μὴ γινώσκων ἀρχὴν, μηδὲ τελευτήν· ἀρχὴ τῶν πάντων, καὶ τέλος· ὁ πρὸ τῆς πρωτίστης καταβολῆς πάντων αἰώνων, καὶ πρὸ πάσης αἰωνίου ἐνάρξεως· σὺ εἶ ὁ Θεός μου, καὶ ὁ Κύριος συμπάντων τῶν δημιουργηθέντων ὑπὸ σοῦ κτισμάτων, καὶ παρὰ σοὶ τὰ αἴτια ἵδρυται πάντων τῶν ἀκινήτως καθεστώτων, καὶ αἱ ἀρχαὶ δὲ αἱ τῶν μεταβάλλεσθαι πεφυκότων παρὰ σοὶ ὁμοίως ὑφεστήκασιν ἀμετάβλητοι, τῶν τε λόγου μετειληχότων, καὶ τῶν μὴ ; καὶ οἱ τῶν ὑπὸ χρόνον δὲ λόγοι ἐν σοὶ ζῶσιν αἰώνιοι.

Εἰπέ μοι τῷ σῷ δούλῳ καθικετεύοντι, Κύριε ὁ Θεός μου, εἰπὲ, πολυέλεε, τῷ ἐλεεινῷ δούλῳ σου· εἰπὲ, δέομαί σου, ἕνεκεν τοῦ

πλήθους τῶν οἰκτιρμῶν σου : πόθεν τὸ τοιόνδε ζῶον , εἰμὴ παρὰ σοῦ ; Εἴποτέ τις ἄρα ποιήσειεν ἑαυτὸν ἐπιτεχνευσάμενος ; εἴτις ἂν ἄλλοθεν ἢ παρὰ σοῦ , τὸ εἶναι τε , καὶ τὸ ζῆν κομίσαιτο ; οὐχὶ σὺ τὸ ὄν εἶ τὸ ὑπέρτατον , ἐξ οὗ ἐστὶν ἅπαν τὸ εἶναι ; εἴτι γὰρ ἐστὶ, παρὰ σοῦ ἐστί · διότι σοῦ ἄνευ , οὐδὲν ἐστίν. Οὐχὶ σὺ εἶ τῆς ζωῆς ἡ πηγὴ , ἐξ ἧς νάει ζωὴ πᾶσα ; εἴτι γὰρ ζῇ , διὰ σοῦ ζῇ , καὶ σοῦ χωρὶς οὐδὲν ζῇ. Σὺ οὖν, Κύριε, πεποίηκας πάντα, καὶ ζητήσω , τίς με ἐποίησε ; Σὺ, Κύριε, ἐποίησάς με , οὗ χωρὶς , ἐγένετο οὐδὲ ἓν . Σὺ εἶ ὁ ποίητής μου, ἐγὼ δὲ σὸν εἰμὶ ποίημα. Εὐχαριστῷ σοι, Κύριε , ὁ Θεός μου , δὶ οὗ ἐγὼ ζῶ , καὶ δὶ οὗ πάντα ζῇ. Ὅτι ἐποίησάς με εὐχαριστῶ σοὶ τῷ πλαστουργῷ μου ! αἱ γὰρ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με · εὐχαριστῶ σοι τῷ φωτὶ τῷ ἐμῷ , ὅτι ἐφώτισάς με καὶ εὗρον σέ τε , κᾀμὲ αὐτόν · ὅπου εὗρον ἐμαυτὸν , ἐκεῖ καὶ ἔγνων σε · ὅπου δέ σε ἔγνων, ἐκεῖ μὲ ἐφώτισας. Εὐχαριστῶ σοὶ τῷ φωτί μου , ὅτι κατεφώτισάς με.

Τὶ τοῦτο ἐστὶν ὅ περ εἶπον , ὅτι ἔγνων σε ; Οὐχὶ σὺ ὁ Θεὸς εἶ » ὁ ἀπερανόητος ; ὁ ἀκαταμέτρητος ; ὁ Βασιλεὺς τῶν βασιλευόντων, » καὶ Κύριος τῶν κυριευόντων ; ὁ μόνος ἔχων ἀθανασίαν, καὶ φῶς » οἰκῶν τὸ ἀπρόσιτον , ὅ οὐδεὶς ἑώρακε πώποτε , καὶ οὐδεὶς ὁρᾷν δύναται ; Οὐχὶ σὺ Θεὸς εἶ , ὁ κρύφιός τε καὶ ἀνεξείκαστος ἐν μεγαλωσύνῃ ; ὁ μόνος ἑαυτοῦ ἐπιγνώστης ὢν , καὶ θεάμων θαυμάσιος ; τίς τοίνυν ἔγνω ποτὲ, ὅ οὐδαμῇ οὐδέ ποτε ἐθεάσατο ; εἶπας καὶ γὰρ ἐν τῇ ἀληθείᾳ σου » ὅτι ἄνθρωπος οὐκ ὄψεταί με καὶ ζήσεται. » Ἀλλὰ καὶ ὁ Κήρυξ ὁ σὸς ἐν τῇ ἀληθείᾳ σου εἴρηκε » Θεὸν » οὐδεὶς ἑώρακε πώποτε. » Τίς ἄρα ἔγνω ὅ περ οὐδέ ποτε εἶδεν ; ἀλλ' ἔφη δὴ καὶ αὐτὴ ἡ ἀλήθειά σου » οὐδεὶς ἔγνω τὸν Υἱὸν, εἰμὴ » ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τίς ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός. » Μόνη αὐτὴ σεαυτὴν ἡ Τριὰς γινώσκουσα εἶ : ἡ Τριὰς , ἡ πάντα νοῦν ὑπερέχουσα.

Τί τοίνυν ἐστὶν , ὅ περ ἔφην ὁ ἄνθρωπος ἐγὼ , ὁ ὁμοιωθεὶς ματαιότητι , ὅτι δῆθεν σὲ ἔγνων ; τίς γάρ σε ἔγνω , εἰμὴ σὺ σαυ-

τόν ; σὺ γὰρ Θεὸς μόνος, παντοδύναμος, ὑπερύμνητος καὶ ὑπερένδοξος, καὶ ὑπερυψούμενος, καὶ ὑπερύψιστος, καὶ ὑπερούσιος, ἐν ἁγιωτάτοις καὶ θειοτάτοις λογίοις ἐπονομάζῃ, ὅτι ὑπὲρ πᾶσαν οὐσίαν νοουμένην, ἤ νοερὰν, ἤ αἰσθητὴν, καὶ ὑπὲρ πᾶν ὄνομα ὀνομαζόμενον, οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ὑπερουσίως τε καὶ ὑπερακατανοήτως ὢν γινώσκῃ, ὡς ἐν ὑπερουσίῳ καὶ κρυφαίᾳ τῇ θεότητι, καὶ ὑπὲρ πάντα νοῦν καὶ λόγον καὶ οὐσίαν, ἀπροσίτως τε καὶ ἀνεξιχνιάστως ἐν σεαυτῷ οἰκῶν, ἔνθα φῶς ἀπρόσιτον, καὶ σέλας ἀνεξερεύνητον, καὶ ἀκατάληπτον, καὶ ἀνερμήνευτον, οὗ φῶς οὐδὲν ἐφικέσθαι οἷον τε· ὅτι ἀθέατον, καὶ ἀθεώρητον, καὶ ὑπὲρ λόγον καὶ πᾶσαν διανόησιν, καὶ ὑπεραμετάβλητον, καὶ ὑπερακοινώνητον εἶναι πιστεύεται τὸ φῶς σου, ὅ περ οὐδεὶς οὐδέ ποτε ἀνθρώπων οὐδὲ Ἀγγέλων τεθέαται, ἀλλ' οὐδὲ θεάσασθαι δύναται. Οὗτος ὁ οὐρανὸς ὁ σὸς ἐστὶ, Κύριε, οὐρανὸς κρύπτων τὸ ἐν αὐτῷ ὑπερκρύφιόν τε καὶ ὑπεράγνωστον, καὶ ὑπεράῤῥητον, καὶ ὑπερουσιῶδες φάος, περὶ οὗ λέγεται· » ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ. »

Ὁ οὐρανὸς τοῦ οὐρανοῦ ἐστὶ, πρὸς ὃν γῆ ἐστὶν ἄντικρυς ὁ οὐρανὸς ὅλος οὗτος, ὅτι λίαν θαυμαστῶς ὑπερεξῆρται ὑπὲρ τοῦτον ἐκεῖνος, καὶ ὑπὲρ αὐτὸν δὴ τὸν ἐμπύριον· διὸ καὶ οὐρανοῦ οὐρανὸς προσείρηται τῷ Κυρίῳ, ἅτε μηδενὶ γινωσκόμενος, πλὴν ἤ τῷ Κυρίῳ αὐτῷ· πρὸς γὰρ ἐκεῖνον οὐδεὶς ἀναβέβηκεν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. » Οὐδεὶς γὰρ ἔγνω τὸν Πατέρα, εἰμὴ ὁ Υἱὸς, καὶ τὸ » Πνεῦμα αὐτῶν· καὶ οὐδεὶς ἔγνω τὸν Υἱὸν, εἰμὴ ὁ Πατὴρ, καὶ τὸ » Πνεῦμα αὐτῶν· καθάπερ οὖν, καὶ οὐδεὶς ἔγνω τὸ Πνεῦμα, εἰμὴ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὧν τὸ Πνεῦμα ἐστί. Σὺ δὲ μόνῃ σεαυτῇ ἀρίγνωτος εἶ, ὦ Τριὰς παναγία. Τριὰς ὑπερθαύμαστε, καὶ ὑπερανεκδιήγητε, καὶ ὑπερανεξιχνίαστε, καὶ ὑπεραπρόσιτε, καὶ ὑπερακατάληπτε, καὶ ὑπερακατανόητε, καὶ ὑπερούσιε. Τριὰς ἡ ὑπερουσίως ὑπερέχουσα πᾶσαν κατάληψιν, πάντα λόγον, πάντα νοῦν, πᾶσαν διάνοιαν, πᾶσαν οὐσίωσιν καὶ αὐτῶν ἔτι τῶν ὑπερκοσμίων

νοερῶν φύσεων. Τριὰς, ἣν οὐδὲ φράσαι, οὐδ' ἐννοῆσαι, οὐδ' ἐπιγνῶναι δυνατὸν, οὐδ' αὐτοῖς τοῖς Ἀγγέλων ὄμμασι.

Πόθεν οὖν σε ἔγνων ἐγὼ, ὑπερύψιστε Κύριε ὁ Θεός μου, τὸν ὑπὲρ πᾶσαν τὴν γῆν, καὶ ὑπὲρ πάντα οὐρανόν; ὅν οὐδὲ τὰ Χερουβὶμ ἐντελῶς γινώσκουσιν, οὐδὲ τὰ Σεραφὶμ, ἀλλὰ ταῖς τῶν Θεωριῶν πτέρυξι καλύπτει τὰ ἑαυτῶν πρόσωπα σοῦ ἐνώπιον, τοῦ καθημένου ἐπὶ τοῦ ὑψηλοῦ καὶ ἐπηρμένου θρόνου βοῶντα καὶ λέγοντα »Ἅγιος, ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς τῶν δυνάμεων, πλήρης » πᾶσα ἡ γῆ τῆς δόξης σου!» Ἐξεπλάγη δὴ τότε καὶ ὁ Προφήτης, καὶ ἔκραξεν. »Ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὢν, » καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχον- » τος ἐγὼ οἰκῶ!» ἐξεπλάγη δὲ καὶ ἐν ἐμοὶ ἡ καρδία μου, καὶ εἶπα. Οὐαί μοι, ὅτι ἄνθρωπος ἀκάθαρτα χείλη ἔχων ἐγὼ, οὐκ ἐσίγησα· εἶπα δὲ, ὅτι σὲ ἔγνων· πλὴν ἀλλ' οὐαὶ, Κύριε, τοῖς σιγῶσι περὶ σοῦ· καὶ οἱ ἀδολεσχοῦντες αὐτοὶ ἄλαλοι καθίστανται χωρὶς σοῦ. Καὶ οὐδ' ἐγὼ σιγήσομαι, Κύριε, ὅτι ἐποίησάς με, καὶ ἐφώτισάς με, καὶ εὗρές με, καὶ οὕτως εὗρόν σε καὶ αὐτὸς, καὶ ἔγνωκά σε, ὅτι σύ με ἐφώτισας.

Ἀλλ' ὅπως σε ἔγνων; σὲ ἔγνων ἐν σοί· ἔγνων δέ σε, οὐχ ὡς αὐτὸς ἐν σαυτῷ εἶ, ἀλλ' ὡς ὑπάρχεις ἐν ἐμοὶ, οὕτω σε ἔγνων, καὶ οὐδὲ σοῦ ἄνευ, οὐδὲ τοῦτο, ἀλλὰ διὰ σοῦ· διότι σὺ τὸ φῶς εἶ τὸ φωτίσαν με. Ὡς γὰρ εἶ ἐν σοὶ αὐτῷ, τοῦτο σοὶ μόνῳ γνωστὸν ἐστίν· ὡς δ' ἐν ἐμοὶ κατὰ τὴν χάριν πάρει, κἀμοὶ τυγχάνεις οὐκ ἀγνοούμενος. Ἀλλὰ τί ἐμοὶ ὑπάρχεις; λέγε μοι, ὦ οἰκτίρμων, τῷ οἰκτίστῳ οἰκέτῃ σου· λέγε μοι κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, τί ὑπάρχεις ἐμοί; Εἶπον τῇ ψυχῇ μου· σωτηρία σου εἰμὶ ἐγώ. Μὴ ἀποκρύψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μή πη ἐκθάνοιμι. Ἔα με λαλῆσαι πρὸς τὸ σὸν ἔλεος, τὸν πεφυκότα γῆν καὶ σποδόν· Ἔα με λαλῆσαι πρὸς τὸ σὸν ἔλεος· ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ· λαλήσω γὰρ πρὸς τὸν Θεόν μου ὁ χοῦς ὢν καὶ σποδός. Εἰπέ μοι τῷ σὲ ἱκετεύοντι, εἰπέ μοι ὁ ἐλεήμων τῷ τοῦ ἐλέους σου χρῄζοντι· εἰπὲ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, τί μοι τυγχάνεις ὑπάρχων;

Καὶ ἐβρόντησας ἤχῳ μεγάλῳ εἰς τὸ ἐνδότερον οὖς τῆς καρδίας μου, καὶ διήνοιξας τὴν κώφωσίν μου, καὶ ἠκούτισάς με τῆς φωνῆς σου, καὶ ἐφώτισάς μου τὴν τύφλωσιν, καὶ εἶδον τὸ φῶς σου· καὶ ἔγνων ὅτι σὺ εἶ ὁ Θεός μου, διὰ τοῦτο εἶπα, ὅτι ἔγνων σε.

Ἔγνων καὶ γάρ σε, ὅτι ὁ Θεός μου εἶ σύ· ἔγνων σὲ τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἦν δ' ὅτε οὐκ ἦν ἐγώ σε γιγνώσκων· οὐαὶ τῷ καιρῷ ἐκείνῳ, ὅτε σε οὐκ ἐγίγνωσκον! οὐαὶ τῇ τυφλότητί μου ἐκείνῃ, ὅτε σε οὐχ ἑώρων! οὐαὶ τῇ κωφότητι ἐκείνῃ, ὅτε ἐγώ σου οὐκ ἤκουον! τυφλὸς καὶ κωφὸς, ἐν οἷς ὡραίοις ἐμόρφωσας ἀσχημονῶν ἐγὼ ἀμόρφως ἐνέπιπτον. Μετ' ἐμοῦ μὲν αὐτὸς ἦσθα, ἐγὼ δὲ μετὰ σοῦ οὐκ ἤμην· ἐκεῖνα δὲ μακρὰν ἀπὸ σοῦ με κατεῖχεν, ἅ περ οὐδ' ἂν ὅλως ὑπῆρχεν, εἰμὴ ἦν ὄντα ἐν σοί. Ἐφώτισάς με, ὦ τὸ τοῦ κόσμου φῶς, ἐφώτισάς με καὶ εἶδόν σε, καὶ ἠγάπηκά σε· οὐδεὶς γάρ σε ἀγαπᾷ, εἰμὴ ὅς ἂν ἴδοι σε· οὐδεὶς δ' ἂν ὄψαιτο, εἰμὴ ὅς ἂν ἀγαπήσειεν. Ὀψὲ ἠγάπηκά σε τὸ κάλλος τὸ οὕτως ἀρχαῖον καὶ νέον. Ὀψέ σε ἠγάπηκα· φεῦ τοῦ χρόνου ἐκείνου, ὅτε σε ὁ δείλαιος οὐκ ἠγάπων!

ΚΕΦ. ΛΒ.

Ὁμολογία τῆς ἀληθινῆς πίστεως.

Εὐχαριστῶ σοι, ὦ φῶς τὸ ἐμόν· εὐχαριστῶ σοὶ τῷ φωτίσαντί με ὅπως ἂν γνοίην σε· ἀλλ' ὅν τιν' ἄρα σε ἔγνων; ἔγνων σὲ τὸν μόνον ὄντα Θεὸν, τὸν ζῶντα καὶ ἀληθινὸν ἐμὸν κτίστην· ἔγνων σὲ τὸν οὐρανοῦ καὶ ὁρατῶν ἁπάντων καὶ ἀοράτων Θεὸν ἀληθινὸν, παντοκράτορα, ἀθάνατον καὶ ἀθέατον· ἀπερίγραπτον, ἀπεριόριστον, αἰώνιον, ἀπρόσιτον, ἀκατάληπτον, ἀνεξιχνίαστον, ἄτρεπτον, ἀπέραντον, ἄπειρον· ἀρχὴν ἁπάντων τῶν ὁρωμένων τε, καὶ τῶν μὴ, δημιουργημάτων· δι' οὗ πάντα ἐγένετο,

δἰ οὗ σύμπαντα τῶν γεγονότων ὑφέστηκε τὰ στοιχεῖα, οὗ περ ἡ μεγαλωσύνη, ὡς οὐδέ ποτε ἤρξατο, οὕτως οὐδ' ἀπολήξει εἰς τὸν αἰῶνα. Ἔγνων σὲ ἕνα καὶ μόνον Θεὸν ἀληθινὸν αἰώνιον, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τρία μὲν πρόσωπα, οὐσίαν δὲ μίαν, ἁπλῆν τε ὅλως καὶ ἀδιαίρετον φύσιν· τὸν μὲν Πατέρα ἐξ οὐδενὸς, τὸν δὲ Υἱὸν ἐκ τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ὡσαύτως (*), ἀρχῆς οἱασοῦν καὶ τέλους ἐπέκεινα. Θεὸν ἕνα τε καὶ τριαδικὸν, μόνον ἀληθινὸν Θεὸν παντοκράτορα· μίαν τῶν ὅλων ἀρχὴν, ποιητὴν ἕνα ὁρατῶν τε καὶ ἀοράτων, ὅς τῇ σῇ δυνάμει ἐκ τοῦ μηδενὸς ἐν ἀρχῇ τὴν κτίσιν ἐδημιούργησας ἑκατέραν, τὴν ἔνυλόν τε καὶ τὴν ἄϋλον· τὴν ἀγγελικὴν δηλονότι καὶ τὴν ἐγκόσμιον· ἔπειτα δὲ καὶ τὴν ἀνθρωπίνην, οἷον κοινὴν, ὡς ἐκ σώματος ἅμα συνισταμένην καὶ πνεύματος.

Ἔγνων τε καὶ ὁμολογῶ σὲ τὸν Θεὸν καὶ Πατέρα, ἀγέννητον, καὶ σὲ τὸν Υἱὸν τὸν γεννηθέντα ἐκ τοῦ Πατρός· καὶ σὲ τὸ ἅγιον Πνεῦμα τὸν Παράκλητον, τὸν οὔτε ἀγέννητον, οὔτε γεννητὸν, ἀλλ' ἐκ τοῦ Πατρὸς ἀνερμηνεύτως ἐκπορευτόν· Τριάδα ἁγίαν, ἀδιαίρετον ἐν προσώποις τρισὶν, ἴσοις τε, καὶ ὁμοουσίοις καὶ συναϊδίοις. » Τριάδα ἐν Μονάδι, καὶ Μονάδα ἐν Τριάδι. Καρδίᾳ μὲν » οὕτω πιστεύων εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογῶν εἰς σωτη» ρίαν. » Ἔγνων σὲ τὸν Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, τὸν δημιουργὸν καὶ σωτῆρα καὶ λυτρωτὴν ἐμοῦ τε αὐτοῦ, καὶ τοῦ ἀνθρωπίνου γένους παντός· ὃν ὁμολογῶ ἐκ τοῦ Πατρὸς πρὸ τῶν αἰώνων, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν, ἐκ Θεοῦ ἀληθινοῦ, οὐ ποιηθέντα, ἀλλὰ γεννηθέντα: ὁμοούσιόν τε καὶ συναΐδιον τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, δἰ οὗ τὰ πάντα ἐγένετο ἐν ἀρχῇ· πιστεύων βεβαίως

(*) *Κἀνταῦθα τὴν τοῦ ἱεροῦ Αὐγουστίνου ταύτην ὁμολογίαν διανοθεύειν οἱ Λατῖνοι πειρῶνται, προστιθέντες τὸ παρεισαχθὲν ὑπ' αὐτῶν ἐν τῷ συμβόλῳ τῆς πίστεως:* Ab utroque: (ἐξ ἀμφοῖν) *καινοτόμημα, τὸ ἐπὶ τῶν Αὐγουστίνου χρόνων, καὶ μακρῷ ὕστερον ἔτι, ἐν τῇ ἐκκλησίᾳ πάντῃ ἀνήκουστον.*

καὶ ὁμολογῶν ἀληθῶς σὲ τὸν Μονογενῆ Θεὸν Ἰησοῦν Χριστὸν, ἐξ ὅλης κοινῶς τῆς ἁγίας Τριάδος διὰ τὴν ἀνθρώπων σωτηρίαν σαρκωθέντα, καὶ ἐκ Μαρίας τῆς ἀειπαρθένου συνεργείᾳ τοῦ ἁγίου Πνεύματος συλληφθέντα τε καὶ κυηθέντα, γενέσθαι ἄνθρωπον ἀληθινὸν, ἐκ ψυχῆς λογικῆς, καὶ σαρκὸς ἀνθρωπίνης συστάντα.

Ὅς τις μονογενὴς ὢν Υἱὸς τοῦ Θεοῦ, ἀπαθὴς ὡσαύτως τῇ θεότητι καὶ ἀθάνατος, δι' ἀγάπης ὑπερβολὴν, ἧς ἡμᾶς ἠγάπησας, ὁ αὐτὸς Υἱὸς τοῦ Θεοῦ καὶ παθητὸς κατὰ τὴν ἀνθρωπότητα ἐγένου, καὶ θνητός· ὑπὲρ δὲ τῆς σωτηρίας τοῦ ἀνθρωπίνου γένους, ὦ μονογενὲς Υἱὲ Θεοῦ, καὶ ἐπὶ τοῦ σταυρικοῦ ξύλου παθεῖν ἠξίωσας, καὶ θανεῖν εἵλου, ἵνα ἡμᾶς ἀπὸ τοῦ αἰωνίου θανάτου λυτρώσῃς· καὶ εἰς Ἅδην δὲ, πρὸς τοὺς ἐν σκότει καθημένους ἐκεῖ Πατέρας ἡμῶν, ὁ τοῦ φωτὸς χορηγὸς κατελθεῖν· ὅθεν νικητὴς ἐν δόξῃ τριήμερος ἐξανέστης, ἐπανειληφὼς τὸ ἱερὸν σῶμα, τὸ ἐν τάφῳ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων τεθὲν, καὶ ζωοποιήσας αὐτὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθιδρύσας. Ἀφαρπάσας γὰρ τὴν ἐν Ἅδου αἰχμαλωσίαν ἡμῶν, ἣν ὁ παλαιὸς τοῦ ἀνθρωπίνου γένους πολέμιος ἐτύγχανε προαιχμαλωτεύσας, ὡς ἀληθινὸς Θεοῦ Υἱὸς ὢν, σὺν τῇ φύσει τῆς ἡμετέρας σαρκὸς, τουτέστι συνάμα τῇ ψυχῇ, καὶ τῇ βροτείῳ σαρκὶ, τῇ ἐκ τῆς ὑπερενδόξου Παρθένου ὑπὸ σοῦ προσληφθείσῃ, ἀνῆλθες ὑπὲρ πάντας τοὺς οὐρανοὺς, ὑπὲρ πάσας Ἀγγέλων τάξεις ὑπερεπαναβεβηκὼς, ἔνθα κάθησαι ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρὸς, ἔνθα ἡ πηγὴ τῆς ζωῆς, καὶ τὸ φῶς ἐστὶ τὸ ἀπρόσιτον, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ πάντα νοῦν ὑπερέχουσα.

Ἐκεῖ Θεόν σε ἀληθινὸν, καὶ ἀληθινὸν ἄνθρωπον Ἰησοῦν Χριστὸν λατρεύοντες προσκυνοῦμεν, καὶ ὁμολογοῦντες πιστεύομεν. Καὶ προσδοκῶμεν δὲ, ὅτι ἐν τέλει τῶν αἰώνων ἥξεις Κριτὴς, τοῦ κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἅπασιν ἀγαθοῖς τε καὶ πονηροῖς κατὰ τὰ ἔργα αὐτῶν, ἅ περ ἐν τῷδε τῷ βίῳ ἔπραξαν, ἤτοι γέρας, ἢ κόλασιν, ὡς ἂν ἕκαστος, ἤτοι ἀναπαύσεως, ἢ

καταχρίσεως γένοιτο ἄξιος. Ἀναστήσονται γὰρ ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ἄνθρωποι, ὅσοι ψυχῆς λογικῆς ἐν σαρκὶ αὐτῶν ὧδε μετέσχον, ἵνα ὁλοσχερὴς ὁ ἄνθρωπος, εἴτε εἰς δόξαν, εἴτε εἰς γέενναν ἀφορισθείη, κατ' ἀξίαν ὧν ἔπραξεν. Αὐτὸς γὰρ ἡμῶν ὑπάρχεις ἡ ζωὴ καὶ ἡ ἀνάστασις, ὃν καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστὸν, τὸν καὶ τὸ σῶμα τῆς ἡμῶν ταπεινώσεως μετασχηματιοῦντα, ὥστε τῷ σώματι τῆς σῆς δόξης γενέσθαι συμμόρφους.

Ἔγνων δὲ Θεὸν ἕνα ἀληθινὸν ὄντα καὶ σὲ τὸ ἅγιον Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς μὲν ἐκπορευόμενον, σὺν Πατρὶ δὲ καὶ Υἱῷ συντεταγμένον, ὡς αὐτῶν Πνεῦμα ὂν ἐπίσης, ὁμοούσιόν τε αὐτοῖς καὶ συναιώνιον. Τὸ Πνεῦμα, τὸ ἡμῶν παράκλητον καὶ συνήγορον· τὸ Πνεῦμα, τὸ ἐπ' αὐτὸν τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐν εἴδει περιστερᾶς κατελθὸν, καὶ τοῖς Ἀποστόλοις ἐν πυρίναις γλώσσαις ἐπιφοιτῆσαν· τὸ καὶ τοὺς ἁγίους τε καὶ ἐκλεκτοὺς τοῦ Θεοῦ ἅπαντας ἐξ ἀρχῆς τῇ δωρεᾷ τῆς χάριτος τῆς σῆς ἐκδιδάξαν, καὶ τὰ τῶν Προφητῶν στόματα διανοῖξαν εἰς τὸ ἐκδιηγεῖσθαι τῆς βασιλείας τοῦ Θεοῦ τὰ θαυμάσια· τὸ παρὰ πάντων τῶν ἁγίων σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. Ἐν οἷς κἀγὼ αὐτὸς ὁ υἱὸς τῆς παιδίσκης σου ἐν ὅλῃ μου τῇ καρδίᾳ δοξάζω τὸ ὄνομά σου, ὅτι ἐφώτισάς με. Σὺ γὰρ εἶ τὸ φῶς τὸ ἀληθινὸν, τὸ ἀψευδὲς σέλας τοῦ θεαρχίου πυρὸς, καὶ ὁ τῶν πνευμάτων καθηγητὴς, ὁ διὰ τῆς σῆς ἐπιχρίσεως πᾶσαν ἡμᾶς ἐκδιδάσκων ἀλήθειαν· τὸ Πνεῦμα τῆς ἀληθείας, οὗ χωρὶς, ἀδύνατον ἀρέσαι Θεῷ· ὅτι Θεὸς αὐτὸς εἶ ἐκ Θεοῦ, καὶ φῶς ἐκ φωτὸς, παρὰ τοῦ Πατρὸς τῶν φώτων ἀνερμηνεύτως ἐκπροϊὸν, καὶ διὰ τοῦ Υἱοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χορηγούμενον. Οἷς δὴ καὶ ὁμοούσιον Πνεῦμα ὑπάρχεις, καὶ ἰσότιμον, καὶ συναΐδιον, ἐν μιᾷ τῇ Τριαδικῇ οὐσίᾳ ὑπερουσίως συνδοξαζόμενον αὐτοῖς καὶ συμβασιλεῦον.

Ἔγνων σὲ Θεὸν τὸν ζῶντα, ἕνα τε καὶ ἀληθινόν· τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τρισσὸν μὲν τοῖς προσώποις, μοναδικὸν δὲ τῇ φύσει· ὃν καὶ ὁμολογῶ, καὶ προσκυνῶ, καὶ δοξάζω, ἐν ὅλῃ μου τῇ καρδίᾳ· τὸν ὄντως ὄντα Θεὸν, τὸν μόνον, τὸν ἅγιον, τὸν ἀθάνατον, τὸν ἀδιαίρετον, τὸν ἄτρεπτον, τὸν ἀπρόσιτον, τὸν ἀνεξιχνίαστον. Ἓν φῶς, ἕνα ἥλιον, ἕνα ἄρτον, μίαν ζωὴν, ἓν ἀγαθὸν, μίαν ἀρχὴν, ἓν τέλος. Ἕνα Δημιουργὸν οὐρανοῦ καὶ γῆς· δι' οὗ πάντα ζῇ, πάντα ὑφέστηκε, πάντα διέπεται, διευθύνεται, καὶ ζωοποιεῖται, τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ὑπὸ τὴν γῆν· παρ' ὃν οὐκ ἔστι Θεὸς, οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς.

Οὕτω σὲ ἔγνων, τὸν Θεόν μου καὶ Κύριον, τὸν γινώσκοντά με, οὕτω σε ἔγνων. Ἔγνων σε διὰ τῆς πίστεως, ἧς ἐνέπνευσάς μοι, ὦ τὸ φῶς τὸ ἐμόν· ὦ φῶς τῶν ἐμῶν βλεφάρων, Κύριε ὁ Θεός μου, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· ὦ χαρὰ ἡ εὐφραίνουσα τὴν νεότητά μου, ὦ ἀγαθότης ἡ ὑποστηρίζουσα τὸ γῆράς μου. Ἐπὶ γὰρ σοὶ, Κύριε, πάντα ἐπαγαλλιᾶται τὰ ὀστᾶ μου, κράζοντα: » Κύριε, τίς ὅμοιός σοι; τίς ὅμοιός σοι ἐν Θεοῖς, Κύριε, σοὶ τῷ μὴ » χερσὶν ἀνθρώπων πεποιημένῳ, τὰς δὲ χεῖρας τὰς τῶν ἀνθρώπων » ποιήσαντι; Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον ἐστὶ καὶ χρυσίον, » ἔργα χειρῶν ἀνθρώπων· οὐχ ὁ Θεὸς οὕτως ὁ τοὺς ἀνθρώπους » ἐργασάμενος. Πάντες οἱ Θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος » τοὺς οὐρανοὺς ἐποίησεν.» Αὐτὸς ὁ Κύριος ἐστὶ καὶ Θεός· Θεοὶ δὲ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν μὴ ποιήσαντες ἀπολέσθωσαν· τὸν Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ οὐρανὸς καὶ ἡ γῆ αἰνεσάτωσαν.



ΚΕΦ. ΛΓ.

Ἐξομολόγησις τῆς ἰδίας ἑαυτοῦ ἐξȣδενώσεως·

Τίς ὅμοιός σοι ἐν Θεοῖς, Κύριε; τίς ὅμοιός σοι; Μέγας ἐν ἁγιότητι, φοβερὸς, καὶ αἰνετὸς, καὶ ποιῶν τέρατα! Ὀψέ σε ἔγνων τὸ φῶς τὸ ἀληθινὸν, ὀψὲ ἔγνων ἐγώ σε. Προσίστατο δὲ τοῖς ὀφθαλμοῖς τοῖς ἐμοῖς ματαιότητος νεφέλη τις μεγάλη τε καὶ ζοφώδης ἐπιπροσθοῦσα, ὥστε μὴ ἔχειν με τὸν ἥλιον τῆς δικαιοσύνης, καὶ τὸ τῆς ἀληθείας φῶς καθορᾷν. Ἐνεκαλινδούμην τῷ σκότει ὁ τοῦ σκότους υἱὸς, καὶ ἠγάπων τὸν σκοτασμὸν τὸ φῶς ἀγνοῶν· τυφλὸς ἤμην, καὶ τὴν τύφλωσιν ἐφίλουν, καὶ διὰ σκότους εἰς σκότος ἐπορευόμην. Τίς ὁ ἐκεῖθεν ἐξαγαγών με τὸν τυφλώττοντα, καὶ ἐν σκότει καὶ σκιᾷ θανάτου καθήμενον;

Τίς με τῆς χειρὸς λαβόμενος ἐκεῖθεν ἐξήγαγε; τίς ὁ φωτίσας με; Οὐκ ἐγὼ ἀνεζήτουν, αὐτὸς ἐξεζήτει με· οὐκ ἐγὼ ἐπεκαλούμην, αὐτός με ἀνεκάλεσε. Τίς οὗτος; σὺ, Κύριε, ὁ Θεός μου, ὁ οἰκτίρμων καὶ ἐλεήμων· ὁ Πατὴρ τῶν οἰκτειρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως· σὺ ὁ Θεός μου ὁ ἅγιος, ὃν ἐν ὅλῃ μου τῇ καρδίᾳ ὁμολογῶ, εὐχαριστῶν τῷ ὀνόματί σου. Οὐκ ἐγώ σε ἀνεζήτουν, σύ με ἐξεζήτησας· οὐκ ἐγὼ ἐπεκαλεσάμην, σύ με ἀνεκάλεσας.

Ἐκάλεσάς με καὶ γὰρ τῷ ὀνόματί σου, ἐβρόντησας ἄνωθεν φωνῇ μεγάλῃ εἰς τὸ ἐνδότερον οὖς τῆς καρδίας μου. Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ ὑπεχώρησε τὸ μέγα νέφος, καὶ διετάκη ὑποῤῥυεῖσα ἡ ζοφερὰ ἀχλὺς ἡ τοὺς ὀφθαλμούς μου κατακαλύπτουσα· καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον τὸ φῶς σου· καὶ ἔγνων τὴν φωνήν σου, καὶ εἶπα· ἀληθῶς, Κύριε, » σὺ εἶ, ὁ Θεός μου,

» καὶ ἐξήγαγές με ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ πρὸς τὸ φῶς » σου τὸ θαυμαστὸν ἀνεκαλέσω με. » Καὶ ἰδοὺ νῦν βλέπω · εὐχαριστῶ σοὶ τῷ με φωτίσαντι. Καὶ ἐπεστράφην, καὶ κατεῖδον τὸ σκότος ἐν ᾧ ἐπηλυγαζόμην, καὶ τὴν ζοφερὰν ἄβυσσον ἐν ᾗ κατεκείμην, καὶ τρόμος συνέσχεμε, καὶ ἐξεπλάγην, καὶ εἶπα · βαβαὶ, βαβαὶ, ἐς ἡλίκον σκότος ἐνεπεπτώκειν! Οὐαὶ, οὐαὶ τῆς τυφλότητος ἐκείνης, ἐν ᾗ τὸ ἀπὸ τοῦ οὐρανοῦ φῶς καθορᾷν οὐκ εἶχον! Φεῦ, φεῦ τῆς προκαταλαβούσης με ἀγνοίας, ὅτε σὲ οὐκ ἐγίνωσκον, Κύριε! Εὐχαριστῶ σοι τοίνυν τῷ φωτοδότῃ καὶ ῥύστῃ μου · ὅτι ἐπέλαμψας ἐπ' ἐμοὶ, καὶ ἐπέγνων σε. Ὀψὲ δή σε ἔγνων, ὦ ἀλήθεια ὑπεράρχιε, ὀψέ σε ἔγνων, ὦ ἀλήθεια προαιώνιε. Σὺ μὲν γὰρ ἦς ἐν τῷ φωτὶ, ἐγὼ δὲ ἦν ἐν τῷ σκότει, καὶ οὔ σε ἐγίνωσκον · ὅτι οὐδὲ φωτισθῆναι, σοῦ χωρὶς, εἶχον · οὐδὲ γὰρ ἐστὶ φῶς, σοῦ ἄνευθεν.

ΚΕΦ. ΛΔ.

Ἀναπόλησις τῆς Θείας Μεγαλωσύνης.

Ἅγιε ἁγίων, Θεὲ ὑπεραγεικάστου μεγαλωσύνης · Θεὲ Θεῶν, καὶ Κύριε τῶν κυριευόντων · θαυμαστὲ, ἄφραστε, ἀπερινόητε · ὅν τρέμουσιν ἐν οὐρανῷ αἱ τῶν Ἀγγέλων Δυνάμεις, ὅν προσκυνοῦσιν αἱ Κυριότητες καὶ οἱ Θρόνοι, καὶ θεᾶσθαι φρίττουσιν ἐκείνων ἅπασαι αἱ Ταξιαρχίαι, οὗ τινος τοῦ πλήθους τῆς ἰσχύος τε καὶ σοφίας οὐκ ἔστιν ἀριθμός. Ὁ θεμελιώσας τὸν κόσμον καὶ πήξας ἐπ' οὐδενός · ὁ συνάγων ἐν ἀέρι, ὡς ἐν ἀσκῷ, ὕδατα θαλάσσης · Παντοδύναμε, πανυπεράγιε, πανσθενέστατε · ὁ Θεὸς τῶν πνευμάτων, καὶ πάσης σαρκὸς, οὗ ἀπὸ τοῦ προσώπου ὑποχωρεῖ ὁ οὐρανὸς καὶ ἡ γῆ · οὗ τῷ νεύματι τὰ στοιχεῖα πάντα ὑπείκει ·

Προσκυνησάτωσάν σοι, καὶ δοξασάτωσάν σε, Κύριε, σύμπαντα τὰ κτίσματά σου.

Ἰδοὺ κἀγὼ ὁ υἱὸς τῆς παιδίσκης σου, κάμπτω νῦν διὰ τῆς εἰς σὲ πίστεως τὸν τῆς ἐμῆς καρδίας αὐχένα ὑπὸ τοὺς πόδας τῆς σῆς μεγαλωσύνης, χάριτάς σοι καθομολογῶν, ὅτι τῷ σῷ ἐλέει φωτίσαι με κατηξίωσας· ὦ φῶς τὸ ἀληθινὸν, φῶς τὸ ἅγιον, φῶς τὸ πάντερπνον· φῶς τὸ ὑπερύμνητον, φῶς θαυμαστὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καὶ αὐτοὺς προσέτι τοὺς ὀφθαλμοὺς τοὺς τῶν Ἀγγέλων· ἰδοὺ δὴ βλέπω διὰ τῆς σῆς χάριτος, ἰδοὺ δὴ βλέπω οὐράνιον φῶς· ἀκτὶς γὰρ ἄνωθεν ἐκ τοῦ φωτός σου τοῖς νοεροῖς ὀφθαλμοῖς μου ἐνδιαυγάζει, ἡ πάντα τὰ ὀστᾶ μου ἐκτέρπουσα καὶ καταφαιδρύνουσα . . . Ὦ . . . Εἴ περ ἐν ἐμοί ἐς τελειότητα ἐπιδοίη ἡ ἀκτὶς αὕτη! Αὖξε μοι, δέομαι, ὁ τοῦ φωτὸς χορηγὸς, ἐπαύξησόν μοι τὸ ἄρτι μοι ἐνδιαυγάσαν! ἐκτανθήτω μοι παρὰ σοῦ, ἀντιβολῶ· προσεπεκτανθήτω μοι!

Τί τόδε, οὗ περ συναισθομαι; τί τὸ πῦρ τοῦτο τὸ διαθερμαῖνον τὴν καρδίαν μου; ὁποῖον τὸ σέλας τὸ ἀκτινοβολοῦν ἐπὶ τὰ ἐντός μου! Ὦ πῦρ, τὸ ἀεὶ μὲν καῖον, οὐδέ ποτε δὲ σβεννύμενον, περίφλεξόν με. Ὦ φῶς τὸ ἀεί ποτε φαῖνον, οὐδέ ποτε δ' ὑπεκλεῖπον, καταύγασόν με! Ὄφελον ὑπὸ σοῦ ἐκπυρσευθείην, ὦ πῦρ ἅγιον! οἷον ἡδὺ πυρπολεῖς! ὡς κρυφίως φεγγοβολεῖς! ὡς ἐπιθελκτικῶς περιφλέγεις! Οὐαὶ τοῖς ὑπὸ σοῦ μὴ διαπυρωμένοις! Οὐαὶ τοῖς ὑπὸ σοῦ μὴ κατελλαμπομένοις! Ὦ φῶς τὸ ἀληθινὸν τὸ πάντα ἄνθρωπον φωτίζον, οὗ ἡ μαρμαρυγή τε καὶ αἴγλη πληροῖ τὸν κόσμον.

Οὐαὶ τοῖς πεπηρωμένοις τὰ ὄμματα, καὶ σὲ τὸν ἥλιον, τὸν φωτίζοντα οὐρανόν τε καὶ γῆν, μὴ ἐπιδερκομένοις. Οὐαὶ τοῖς ἀβλέπτοῦσι, καὶ σὲ θεᾶσθαι μὴ δυναμένοις. Οὐαὶ τοῖς ἀποστρέφουσι τοὺς ὀφθαλμοὺς, ὡς μὴ ἀτενίζειν πρὸς τὴν ἀλήθειαν, καί γε τοῖς μὴ ἀποστρέφουσιν, ἵνα μὴ βλέπωσι τὴν ματαιότητα· οὐ γὰρ

ὀφθαλμοὶ πεφύκασιν, οἱ ἐν σκότει ἐθάδες, τὰ τῆς ἀκροτάτης ἀληθείας ἀμαρύγματα ἐποπτάνεσθαι· οὐδὲ φωτὸς τινὰ ποιεῖσθαι λόγον, οἷς ἐν ζόφῳ ἡ οἴκησις· σκότος ὁρῶσι, σκότος ἀσπάζονται, σκότος προσεπευδοκοῦσιν· ἀπὸ σκότους ἐπὶ σκότος μεταβαίνοντες, οὐδ' ἴσασιν οἱ ἐλεεινοὶ, οἷ καταπίπτουσιν. Ἄθλιοι, οἱ μὴ εἰδότες τίνος ἀποστεροῦνται· ἀθλιώτεροι δ' ἔμπης οἱ ἐν ὀφθαλμοῖς ἀνεῳγμένοις καταφερόμενοι, καὶ ζῶντες εἰς Ἅδου καταβαίνοντες.

Ὦ φάος μακάρτατον, τὸ ὑπὸ μόνων καθαρῶν ὀφθαλμῶν καθορᾶσθαι δυνάμενον! » Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι » αὐτοὶ τὸν Θεὸν ὄψονται. » Καθάρισόν με, ὦ καθαρτικὴ δύναμις, ἴασαί μοι τὴν ὀφθαλμίαν, ὅπως ἂν σε ἐν ὄψεσιν ἐῤῥωμέναις θεᾶσθαι ἔχοιμι τὸν, εἰμὴ ὑπὸ ὀμμάτων ὑγειαινόντων, μηδ' ὁπωσοῦν ὀπτανόμενον. Ἄφελέ μοι τὰς ἐκ τῆς παλαιᾶς ἀχλύος λεπίδας τῇ τῆς ἀπροσίτου φωτοχυσίας σου αἴγλῃ, ὡς ἂν κατοπτεύειν σε δυναίμην ἀνανταναклάστοις ὄψεως ἐπιβολαῖς, καὶ ἐν τῷ φωτί σου τὸ φῶς κατόψωμαι. Εὐχαριστίαν ἀναπέμπω σοὶ τῷ φωτί μου· ἰδοὺ βλέπω. Πλατυνθείη μοι, δέομαί σου, Κύριε, ἡ ὅρασίς μου! » Ἀποκάλυψον τοὺς ὀφθαλμοὺς, καὶ κατανοήσω τὰ θαυμάσια » ἐκ τοῦ νόμου σου, σοῦ τοῦ θαυμαστοῦ Θεοῦ ὄντος ἐν τοῖς » Ἁγίοις σου. » Εὐχαριστῶ σοι, ὦ τὸ φῶς τὸ ἐμόν· ἰδοὺ δὴ βλέπω. Βλέπω μὲν, ἀλλὰ δι' ἐσόπτρου, καὶ ἐν αἰνίγματι. Πότε δὲ ἆρα πρόσωπον πρὸς πρόσωπον; ὅτε ἡ ἡμέρα ἥξει ἡ τῆς εὐφροσύνης τε καὶ ἀγαλλιάσεως, καθ' ἣν εἰσελεύσομαι εἰς τὸν τόπον τοῦ θαυμαστοῦ σου σκηνώματος, ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἵνα πρόσωπον πρὸς πρόσωπον ἐπόψωμαι τὸν βλέποντά με, καὶ κορεσθῇ ἡ καρδία μου.



ΚΕΦ. ΛΕ.

Περὶ πόθȣ ψυχῆς Θεὸν διψώσης.

» Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, » οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Ἐδίψησεν ἡ ψυχή » μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφ- » θήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ μου; Ὦ πηγὴ ζωῆς, ὤ φλέψ » ὑδάτων ζώντων· πότε ἀφίξομαι ἐπὶ τὰ ῥεῖθρα τῆς σῆς γλυκύ- » τητος, ἀπὸ τῆς γῆς ταύτης τῆς ἐρήμου, καὶ ἀβάτου, καὶ ἀνύ- » δρου, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου; » τοῦ ἐμ- πλῆσαι τὸ συνέχον με δίψος ἐκ τῶν ναμάτων τοῦ ἐλέους σου; Διψῶ, Κύριε, ἡ τῆς ζωῆς πηγὴ σὺ ὑπάρχεις, κόρεσόν με. Διψῶ, Κύριε, διψῶ σὲ τὸν ζῶντα Θεόν. » Ὦ... πότε δὴ ἥξω, καὶ » ὀφθήσομαι τῷ προσώπῳ σου; Ἆρ' ἐπόψομαι τὴν ἡμέραν ἐκείνην; » τὴν ἡμέραν (φημὶ) τῆς εὐφροσύνης καὶ τέρψεως; τὴν ἡμέραν, » ἣν ἐποίησεν ὁ Κύριος, ἵνα ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν » ἐν αὐτῇ; »

Ὦ ἡμέρα ὑπερδιαυγεστάτη καὶ ὡραία· ἡ ἀγνοοῦσα ἑσπέραν, ἡ μὴ ἔχουσα δύσιν· ἐν ᾗ ἀκούσομαι φωνὴν αἰνέσεως, φωνὴν ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως· ἐν ᾗ ἀκούσομαι. » Εἴσελθε » εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· εἰς τὴν χαρὰν τὴν διαιωνίζουσαν· » εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου· ἔνθα μεγάλα ἐστὶ, καὶ ἀνε- » ξερεύνητα, καὶ θαυμαστὰ, ὧν οὐκ ἔστιν ἀριθμός » Εἴσελθε εἰς τὴν χαρὰν τὴν ἄνευ οἱασοῦν λύπης, τὴν περιέχουσαν εὐφροσύνην αἰώνιον, ἔνθα ἔσται ἅπαν ἀγαθὸν, κακὸν δὲ οὐδέν· ἔνθα σοι παρέσται πᾶν ὅ,τι θέλεις, καὶ οὐδὲν ἔσται, ὅ περ ἂν μὴ ἐθέλοις· ὅπου ζωὴ ἔσται ζωηρὰ, γλυκερὰ, καὶ ἐρατεινὴ, καὶ ἀοίδι-

μος· ὅπου πολέμιος οὐκ ἔσται ἀντιπροσβάλλων, οὐδέ τις ἐπαγωγή· ἄκρα δὲ καὶ βεβαία ἡ ἀσφάλεια, καὶ ἀσφαλὴς ἡ γαλήνη, καὶ γαλήνιος ἡ τερπνότης, καὶ πάντερπνος ἡ εὐδαιμονία, καὶ πανευδαίμων ἡ ἀϊδιότης, καὶ ἀΐδιος ἡ μακαριότης, καὶ ἡ Μακαρία Τριὰς, καὶ ἡ Τριαδικὴ Ἑνὰς, καὶ ἡ ἑνιαία Θεότης, καὶ ἡ τῆς Θεότητος μακαρτάτη ὅρασις, ἥτις ἡ χαρὰ ἐστὶν ἡ τοῦ Κυρίου μου.

Ὦ χαρὰ ὑπερχαρὴς, ἡ πᾶσαν χαρὰν ὑπερβάλλουσα! ἧς περ ἐκτὸς, οὐκ ἔστι χαρά! Πότε εἰς σὲ εἰσελεύσομαι, ἵνα ἴδω τὸν Κύριόν μου τὸν ἐνοικοῦντα ἐν σοί; ἥξω δὴ, καὶ ἐπόψομαι τὸ ὅραμα τὸ μέγα τόδε· τί τὸ ἐπέχον με; Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη! Οἴμοι, ἕως πότε ῥηθήσεταί μοι· ποῦ ἐστὶν ὁ Θεός σου; ἕως πότε ῥηθήσεταί μοι; ἀνάμεινον· ὑπόμενε· καὶ νῦν, τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; τὸν γὰρ σωτῆρα ἀπεκδεχόμεθα, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς μετασχηματιεῖ τὸ σῶμα τῆς ἡμῶν ταπεινώσεως εἰς τὸ συμμόρφους ἡμᾶς γενέσθαι τῷ σώματι τῆς δόξης αὐτοῦ. Περιμένομεν οὖν τὸν Κύριον, πότε ἂν ἐπιστρέψειεν ἀπὸ τῶν γάμων, ἵν' ἡμᾶς εἰσαγάγῃ εἰς τὸν Νυμφῶνα αὐτοῦ. Ἐλθὲ, Κύριε, μὴ χρονίσῃς· ἐλθὲ, Κύριε Ἰησοῦ Χριστὲ, ἐλθὲ, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν εἰρήνῃ! ἐλθὲ, καὶ ἐξάγαγε ἐκ τῆς φυλακῆς ἡμᾶς τοὺς δεσμώτας, ἵνα ἐνώπιόν σου ἀγαλλιασώμεθα ἐν καρδίᾳ τελείᾳ! Ἐλθὲ ὁ σωτήρ ἡμῶν, ἐλθὲ ἡ προσδοκία τῶν ἐθνῶν ἁπάντων! ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα! Ἐλθὲ τὸ φῶς τὸ ἐμὸν, ὁ ἐμὸς ῥύστης; » Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν » μου, τοῦ ἐξομολογήσασθαι τῷ ἁγίῳ ὀνόματί σου! »

Ἕως πότε, Κύριε, ὁ ἐλεεινὸς ἐγὼ κλυδωνισθήσομαι ἐν τοῖς κύμασι τῆς θνητότητος ταύτης, κράζων πρὸς σὲ, σὺ δὲ οὐκ εἰσακούσῃ; Ἐπάκουσόν μου, Κύριε, τοῦ πρὸς σὲ κεκραγότος ἐκ ταύτης τῆς μεγάλης θαλάσσης, καὶ προσόρμισόν με ἐν τῷ λιμένι τῆς αἰωνίου πανευδαίμονος καταστάσεως· εὐδαίμονες οἱ ἐκ τοῦ κινδύνου ταύτης τῆς τρικυμίας ὑπεξαχθέντες, καὶ πρὸς σὲ τὸν Θεὸν ἐγκαθορμι-

σθῆναι καταξιωθέντες, τὸν ὅρμον τὸν ἀσφαλέστατον. Ὦ τρισευδαίμονες ἀληθῶς, οἱ ἀπὸ τοῦ πελάγους ἐπὶ τὴν ἀκτὴν, ἀπὸ τῆς ὑπερορίας ἐπὶ τὴν πατρίδα, ἀπὸ τῆς εἱρκτῆς ἐπὶ τὰ ἀνάκτορα ἀφιγμένοι! Αὐτοὶ τῆς ἐφετῆς ἀναπαύσεως ἤδη τετυχηκότες, μακάριοι τῷ ὄντι εἰσί. Τὸ γὰρ βραβεῖον τῆς ἀλήκτου δόξης, ὅ διὰ πολλῶν ἐνταῦθα ᾐτήσαντο θλίψεων, μετὰ τῆς μακαρίας τέρψεως ἀπολαβόντες, αἰωνίως νῦν ἐπαγάλλονται. Ὦ μακάριοι ὄντως, καὶ τρὶς, καὶ τετράκις μακάριοι! οἷ τῶν κακῶν ἤδη πάντων ἀποδυθέντες, ἐπὶ δὲ τῆς ἀμαράντου δόξης ἐν ἀσφαλείᾳ καταστάντες εἰς τὴν εὐπρέπειαν ἐφικέσθαι τῆς σῆς βασιλείας κατηξιώθησαν. Ὦ Βασιλεία, ἧς οὐκ ἔσται τέλος, Βασιλεία πάντων τῶν αἰώνων! ἔνθα τὸ φῶς ἀνέκλειπτον, καὶ ἡ τοῦ Θεοῦ εἰρήνη, ἡ πάντα νοῦν ὑπερέχουσα! ἔνθα ἀναπάυονται αἱ ψυχαὶ τῶν ἁγίων, καὶ ἡ εὐφροσύνη ἄληκτος ὑπὲρ κεφαλὰς αὐτῶν! Χαρᾶς γὰρ ἀπολαύουσι καὶ ἀγαλλιάσεως, καὶ πᾶσα ἀπ' αὐτῶν ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός.

Ὡς λίαν ὑπερένδοξος ἐστὶ, Κύριε, ἡ σὴ Βασιλεία, ἐν ᾗ πάντες οἱ ἅγιοι σὺν σοὶ βασιλεύσουσι, περιβεβλημένοι φῶς ὥσπερ ἱμάτιον, φέροντες ἐπὶ κεφαλῆς στέφανον ἐκ λίθου τιμίου. Ὦ μακαριότητος Βασιλείας διαιωνιζούσης, ἐν ᾗ σὺ, Κύριε, ἡ τῶν ἁγίων ἐλπὶς, καὶ τὸ διάδημα τῆς αὐτῶν δόξης, πρόσωπον πρὸς πρόσωπον αὐτοῖς καθορώμενος, εὐφραίνεις καὶ κατατέρπεις αὐτοὺς πανταχόθεν ἐν εἰρήνῃ τῇ σῇ, τῇ πᾶσαν ὑπερεχούσῃ διάνοιαν. Ἐκεῖ χαρὰ πέρας οὐκ ἔχουσα, τέρψις ἄνευ ἀνίας, ῥῶσις ἄνευ ὀδύνης, ὁδὸς ἄνευ μόχθου, φῶς ἄνευ σκότους, ζωὴ ἄνευ θανάτου, ἅπαν ἀγαθὸν, παντὸς κακοῦ πάντῃ ἀμέθεκτον· ὅπου νεότης μηδέ ποτε γηράσκουσα· ὅπου βιότης ὅρον ἀγνοοῦσα, ὅπου κάλλος μηδέ ποτε ὑπωχριῶν, ὅπου ἔρως μηδέ ποτε ἀποχλιαινόμενος, ὅπου ὑγίεια μηδέ ποτε ὑπομαραινομένη, ὅπου χαρμονὴ μηδέ ποτε ὑπελαττουμένη, ὅπου ἄλγος μηδὲν αἰσθητὸν, ὅπου στεναγμὸς οὐδεὶς ἀκουστὸς, ὅπου ἀνιαρὸν οὐδὲν ὁρατὸν, ὅπου θυμηδία ἐς ἀεὶ ἀδιάλει-

πτες, ὅπου κακοῦ πτόησις οὐδεμία· ὅτι τοῦ ἄκρου ἀγαθοῦ ἐκεῖ ἡ ἀπόλαυσις· τοῦτο δὲ ἐστὶ, τὸ τοῦ Κυρίου τῶν δυνάμεων διὰ παντὸς ἐκεῖ καθορᾶσθαι τὸ πρόσωπον.

Εὐδαίμονες τοίνυν ὁπόσοι ἐκ τῆς παρούσης λήξεως, ᾗ τοσαῦτα παρακολουθεῖ τὰ ναυάγια, ἐπὶ τὰς τοσαύτας τέρψεις μεταστῆναι ἐγένοντο ἄξιοι· κακοδαίμονες δὲ, οἴμοι! καὶ ἐλεεινοὶ ἡμεῖς, οἱ διὰ τηλικούτων τῆς μεγάλης τῆσδε θαλάσσης τρικυμιῶν, καὶ διὰ τῶν ἐν οὕτω σφοδρῷ τῷ κλύδωνι ἀβύσσων τὸ ἀκάτιον ἕλκοντες, καὶ μὴ εἰδότες εἴπερ ἄρα εἰς ὅρμον σωτήριον ἐλθεῖν δυνησόμεθα. Κακοδαίμονες (φημὶ) καὶ ἐλεεινοὶ ἡμεῖς, ὧν ὁ βίος ἐν ἐξορίᾳ, ἡ ὁδὸς ἐν κινδύνῳ, τὸ τέλος ἐν ἀμφιβόλῳ· οἱ οὐδ᾽ εἰδέναι ἔχομεν σαφῶς ὅποι καταλήξομεν, διὰ τὸ πάντα τὰ ἐν τῷ μέλλοντι ἡμῖν ἀποκεῖσθαι ἄδηλα, ἐν τῇ τοῦ πελάγους ἔτι ἀναστρεφομένοις σφοδρᾷ τρικυμίᾳ, καὶ πρὸς σὲ τὸν λιμένα ἐπιστενάζουσιν. Ὦ Πατρὶς ἡμετέρα, Πατρὶς ἡ ἀσφαλὴς, πόῤῥωθέν σε ὁρῶμεν, ταύτης ἀπὸ σὲ τῆς θαλάσσης κατασπαζόμεθα, ἐκ τῆς κοιλάδος ταύτης σὲ ἀναπνέομεν· ἐν δάκρυσι δ᾽ ἐπειγόμεθα, εἴπως ἔνι ἡμᾶς πρὸς σὲ ἐφικέσθαι.

Χριστὲ, ἡ τοῦ γένους τῶν ἀνθρώπων ἐλπίς· Θεὲ ἐκ Θεοῦ· ἡ καταφυγὴ ἡμῶν καὶ δύναμις, οὗ τὸ φέγγος πόῤῥωθεν τοῖς ἐπὶ τῆς θαλαττίου καταιγίδος ἐν νέφεσιν ἀχλυώδεσι πλωϊζομένοις ἡμῖν, οἷον ἀστέρος ἀκτὶς πελαγίου πρὸ ὀφθαλμῶν διασελάζει, ὅπως εἰς τὸν λιμένα κατευθυνθείημεν, κυβέρνησον ἡμῶν, Κύριε, τὴν ναῦν τῇ δεξιᾷ σου διὰ τοῦ πηδαλίου τοῦ σταυροῦ σου, μὴ ἐν τοῖς τοσούτοις κύμασιν ἀπολώμεθα, μὴ ὑπὸ τῆς τηλικαύτης ζάλης ὑποβρύχιοι τοῖς ὕδασι γενώμεθα, μηδ᾽ ὁ βυθὸς ἡμᾶς καταπίῃ· ἀλλὰ καὶ τῷ ἀγκίστρῳ τοῦ σταυροῦ σου ἀπὸ τοῦ πελάγους τούτου ἡμᾶς ἐξανέλκυσον πρὸς σὲ αὐτὸν τὴν μόνην ἡμετέραν παράκλησιν, ὅν περ ἀπὸ μακρόθεν, ὡς ἄστρον πρωϊνὸν, καὶ ὥσπερ ἥλιον δικαιοσύνης ἐν ὀφθαλμοῖς δακρυχέουσι μόλις καθορῶμεν, ἐν αὐτῇ καθεστῶτα τῆς οὐρανίου πατρίδος, καὶ ἡμᾶς ἐκδεχόμενον.

Ἰδοὺ, Κύριε, πρὸς σὲ κράζομεν, οἱ ὑπὸ σοῦ μὲν λυτρωθέντες, ἀλλὰ καὶ νῦν ἔμπης πόῤῥω ἀπὸ σοῦ ἠλάσκοντες, οὓς τῷ τιμίῳ σου αἵματι ἐξηγόρασας. » Ἐπάκουσον ἡμῶν ὁ Θεὸς, ἡ ἐλπὶς πάντων » τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. » Ἐν θαλάσσῃ πολυταράχῳ στρεφόμεθα· σὺ ἐπὶ τὴν ἀκτὴν ἑστὼς, ὁρᾷς τοὺς περὶ ἡμᾶς κινδύνους· σῶσον ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. Δὸς ἡμᾶς, Κύριε, Σκύλλης τε μεταξὺ καὶ Χαρύβδεως σαλευομένους, οὕτω διελθεῖν διὰ μέσου, ὥστε τὸν ἑκατέρωθεν κίνδυνον διαδράντας, συνάμα τῷ σκάφει καὶ τοῖς ἀγωγίμοις ἀσφαλῶς ἐν τῷ λιμένι ἐγκαθορμισθῆναι.

ΚΕΦ. Λϛ'.

Περὶ τοῦ φωτὸς τῆς δόξης.

Ἐπὰν δὲ πρὸς σὲ ἔλθωμεν τὴν πηγὴν τῆς σοφίας, πρὸς σὲ τὸ φῶς τὸ ἀνέκλειπτον, ὥστε σὲ κατοπτεύειν οὐκ ἐν ἐσόπτρῳ, οὐδ' ἐν αἰνίγματι, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον, τότε χορτασθήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ἡμῶν· οὐδὲν γὰρ ἔξωθεν ἡμῶν ὑπολειφθήσεται τὸ τηνικαῦτα, ὅ περ ἂν τὸν πόθον ἡμῖν κινήσειε, πλὴν ἢ σὺ, Κύριε, τῶν ἀγαθῶν τὸ ἀκρότατον, ὁ τὸ βραβεῖον τοῖς μακαρίοις ἐσόμενος, καὶ τὸ διάδημα τῆς αὐτῶν εὐπρεπείας, καὶ τὸ αἰώνιον ἀγαλλίαμα τὸ ἐπὶ τῆς κεφαλῆς αὐτῶν, εἰρηνοποιῶν αὐτοὺς ἔσωθέν τε καὶ ἔξωθεν διὰ τῆς σῆς εἰρήνης, ἡ πάντα νοῦν ἐστὶν ὑπερέχουσα. Ἐκεῖ κατοψόμεθά σε, καὶ ἀγαπήσομεν, καὶ αἰνέσομεν· ἐκεῖ ὀψόμεθα ἐν τῷ φωτί σου τὸ φῶς σου. Σὺ γὰρ ἡ τῆς ζωῆς ὑπάρχεις πηγὴ, καὶ ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Οἷον δὲ φῶς; φῶς ἐξαίσιον, φῶς ἀσώματον, ἀκήρατον, ἀκατάληπτον· φῶς ἀνέκλειπτον, φῶς ἄδυτον, φῶς ἀπρόσιτον, φῶς ἄκτιστον, φῶς

ἀληθινὸν, φῶς θεῖον· τὸ φωτίζον ὀφθαλμοὺς Ἀγγέλων, τὸ εὐφραῖνον τὴν νεότητα τῶν ἁγίων· τὸ φῶς ὂν φώτων, καὶ ζωῆς πηγαῖον· ὅ περ αὐτὸς σὺ εἶ, ὁ Κύριός μου καὶ ὁ Θεός μου.

Σὺ γὰρ εἶ τὸ φῶς, οὗ ἐν τῷ φωτὶ ὀψόμεθα φῶς· σὲ δηλονότι ἐν σοί, ἐν αἴγλῃ τῇ τοῦ προσώπου τοῦ σοῦ, ὅτε σὲ πρόσωπον πρὸς πρόσωπον κατοψόμεθα. Τί δ' ἐστὶ τὸ, πρόσωπον πρὸς πρόσωπον; εἰμὴ, ὅ φησὶν ὁ Ἀπόστολος, τὸ γινώσκειν καθὼς καὶ ἐπεγνώσθην· τὸ γινώσκειν τὴν ἀλήθειάν σου καὶ τὴν δόξαν σου, τοῦτο ἐστὶ τὸ γινώσκειν τὸ πρόσωπόν σου: Γινώσκειν τοῦ Πατρὸς τὴν δύναμιν, τοῦ Υἱοῦ τὴν σοφίαν, τοῦ ἁγίου Πνεύματος τὴν ἀγαθωσύνην, αὐτῆς τῆς θεαρχικῆς Τριάδος τὴν ἑνιαίαν καὶ ἀδιαίρετον οὐσίαν καὶ φύσιν· τὸ γὰρ τὸ πρόσωπον καθορᾷν τοῦ Θεοῦ τοῦ ζῶντος, αὐτό γε τοῦτο τῶν ἀγαθῶν ἐστὶ τὸ ἀκρότατον, ἡ τῶν Ἀγγέλων χαρὰ, καὶ ἡ τῶν ἁγίων ἁπάντων τὸ ἆθλον τῆς αἰωνίου ζωῆς, ἡ δόξα ἡ τῶν Πνευμάτων, ἡ ἀγαλλίασις ἡ πέρας μὴ ἔχουσα, ὁ στέφανος τῆς εὐπρεπείας, τὸ γέρας τῆς εὐδαιμονίας, ἡ ἀνάπαυσις ἡ περιούσιος, ἡ ἐνδοτάτη καλλονὴ τῆς εἰρήνης, καὶ ἡ ἔξω φαιδρότης καὶ τέρψις· ὁ τοῦ Θεοῦ παράδεισος, ἡ Ἱερουσαλὴμ ἡ οὐράνιος, ἡ ζωὴ ἡ μακαρία, τὸ πλήρωμα τῆς εὐδαιμονίας, ἡ διαιωνίζουσα εὐφροσύνη, ἡ εἰρήνη ἡ θεία ἡ ὑπὲρ πᾶσαν ἐννοίας κατάληψιν.

Αὕτη ἡ πλήρης ἐστὶ μακαριότης, καὶ ἡ ὁλοτελὴς τοῦ ἀνθρώπου δόξα, τὸ καθορᾷν τὸ πρόσωπον τοῦ Θεοῦ αὐτοῦ· τὸ καθορᾷν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸ θεᾶσθαι τὸν πλάσαντα αὐτὸν, καὶ σώσαντα αὐτὸν, καὶ δοξάσαντα αὐτόν· θεάσεται γὰρ γινώσκων, ἀγαπήσει δ' ἐρῶν, αἰνέσει δὲ ἀπολαύων· αὐτὸς ἐστὶν ἡ κληρονομία τοῦ λαοῦ αὐτοῦ, τοῦ λαοῦ τῶν ἁγίων, τοῦ λαοῦ ὃν ἐξηγόρασεν· αὐτὸς ἡ ἀπόλαυσις τῆς αὐτῶν εὐδαιμονίας· αὐτὸς τὸ γέρας καὶ ὁ μισθὸς τῆς αὐτῶν προσδοκήσεως. Ἔσομαι γὰρ, φησὶν,

ὁ μισθός σου πολὺς σφόδρα. Πρέπει καὶ γὰρ τοῖς μεγάλοις μεγάλα. Ὄντως, Κύριε ὁ Θεός μου, μέγας σὺ εἶ, ὅτι σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεοὺς, καὶ ὁ μισθός σου μέγας σφόδρα. Οὐ γὰρ μέγας εἶ σὺ, ὁ δὲ μισθός σου μικρός· ἀλλ' ὥσπερ μέγας αὐτὸς εἶ, οὕτω καὶ ὁ μισθὸς ὁ παρὰ σοῦ μέγας ἐστίν. Οὐ γὰρ ἄλλος μὲν σὺ, ἄλλος δ' ὁ παρὰ σοῦ μισθός· ἀλλ' αὐτὸς σὺ εἶ μισθὸς μέγας σφόδρα· Σὺ εἶ ὁ στεφανῶν, σὺ καὶ ὁ στέφανος. Σὺ καὶ ὁ ἐπαγγελλόμενος, καὶ ἡ ἐπαγγελία. Σὺ καὶ ὁ ἀντιδωρούμενος, καὶ τὸ δώρημα· Σὺ καὶ ὁ ἀθλοθέτης καὶ τὸ ἆθλον τῆς αἰωνίου μακαριότητος.

Σὺ οὖν ὁ στεφοδότης ὢν, καὶ τὸ στέφος ὁ αὐτὸς εἶ, Κύριε, ὁ Θεός μου, καὶ τὸ διάδημα τῆς ἐν τῇ δόξῃ περικοσμουμένης ἐλπίδος μου· τὸ φέγγος τὸ κατευφραῖνον, τὸ φῶς τὸ ἀνακαινίζον, ἡ εὐπρέπεια ἡ κατακαλλύνουσα, ἡ ἐλπίς μου ἡ μεγάλη, ἡ ἔφεσις τῆς τῶν ἁγίων καρδίας, καὶ τὸ ἐφετὸν αὐτοῖς. Ἡ σὴ θέα τοιγαροῦν, ἡ παρὰ σοῦ ὅλη ἐστὶν ἀντίδοσις, τὸ ὅλον βραβεῖον, καὶ ἡ ὅλη χαρὰ, ἣν προσδοκῶμεν. » Αὕτη καὶ γὰρ ἐστὶν ἡ ζωὴ ἡ αἰ» ώνιος, αὕτη, ὡς ἡ σὴ ἔφη σοφία, ἡ αἰώνιος ζωὴ ἐστὶν, ἵνα » γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας » Ἰησοῦν Χριστόν. » Ἐπειδὰν τοίνυν κατίδωμέν σε τὸν μόνον Θεὸν, τὸν Θεὸν τὸν ἀληθινὸν, τὸν Θεὸν τὸν ζῶντα, τὸν ἰσχυρὸν, τὸν ἀόρατον, τὸν ἀπερίγραπτον, τὸν ἀπερινόητον, καὶ τὸν μονογεννῆ σου Υἱὸν, τὸν ὁμοούσιον σοὶ καὶ συναΐδιον Κύριον Ἰησοῦν Χριστὸν, ὃν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας εἰς τὸν κόσμον ἀπέστειλας· καὶ τὸ συμφυὲς ἅμα, καὶ ἀχώριστον Πατρός τε καὶ Υἱοῦ πανάγιον Πνεῦμα· Θεὸν, τοῖς μὲν προσώποις τριαδικὸν, μοναδικὸν δὲ τῃ οὐσίᾳ καὶ φύσει· Θεὸν ἅγιον ἕνα καὶ μόνον, οὗ παρεκτὸς οὐκ ἔστι Θεός· τότε δὴ ἕξομεν ὃ νῦν ζητοῦμεν, τὴν ἀτελεύτητον ζωὴν, τὴν αἰώνιον δόξαν, ἣν ἡτοίμασας τοῖς ἀγα-

πῶσι σε, ἣν ἔκρυψας τοῖς φοβουμένοις σε· ἣν ἐπιδώσεις τοῖς ἐκζητοῦσι τὸ πρόσωπόν σου διὰ παντός.

Ἀλλὰ σὺ, Κύριε, ὁ Θεός μου, ὁ πλάσας με ἐκ κοιλίας μητρός μου, τῆς τῇ χειρί σου με παρακαταθεμένης, μὴ δὴ συγχωρήσῃς ἐπὶ πλεῖον ἀφ' ἑνὸς εἰς πολλὰ περισπᾶσθαι με· ἀλλ' ἀπὸ μὲν τῶν ἐκτὸς ἐμοῦ πρὸς ἐμὲ αὐτὸν, ἀπ' ἐμοῦ δὲ αὐτοῦ πρὸς σέ με τὸν ἕνα συνάγαγε, ἵνα σοὶ λέγῃ ἐνδελεχῶς ἡ καρδία μου. Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω. τὸ πρόσωπον τοῦ Κυρίου τῶν δυνάμεων, ἐν ᾧ μόνῳ ἡ πᾶσα τῶν μακαρίων ἀκατάληκτος συνέστηκε δόξα· ὅ δή που πρόσωπον κατοπτεύειν, ἡ ζωή ἐστιν ἡ αἰώνιος καὶ ἡ δόξα τῶν ἁγίων ἡ ἀτελεύτητος. Εὐφρανθήτω τοίνυν ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. » Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον » πολλῷ δ' ἔτι μᾶλλον ἡ καρδία ἡ τῶν εὑρισκόντων. Εἰ γὰρ ἐν τῷ ζητεῖν οὐχ ἡ τυχοῦσα περιγίγνεται εὐφροσύνη, ἐν τῷ γε ἀνευρίσκειν ὅση τις ἄρα ἔσται; Τοιγαροῦν διακαῶς ἀεὶ καὶ ἀδιαλείπτως ἐγὼ τὸ πρόσωπόν σου, Κύριε, ζητήσω, εἴποτέ μοι τέως διανοιχθείη ἡ θύρα καὶ πύλη τῆς δικαιοσύνης, ὥστε με ἐπαξιωθῆναι εἰς τὴν χαρὰν εἰσελθεῖν τοῦ Κυρίου μου. » Αὕτη ἡ πύλη τοῦ Κυρίου, » δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. »





ΚΕΦ. ΛΖ.

Ἱκεσία πρὸς τὴν Παναγίαν Τριάδα.

Ὦ τὰ τρία ὁμότιμά τε καὶ συναιωνίζοντα πρόσωπα, ὁ Θεός μου ὁ ἀληθινὸς, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ὁ μόνος ἔχων ἀθανασίαν, καὶ φῶς οἰκῶν ἀπρόσιτον· »Ὁ θεμελιώσας τὴν »γῆν τῇ δυνάμει σου, καὶ τὴν οἰκουμένην τῇ σοφίᾳ σου διέπων.» Ἅγιος, ἅγιος, ἅγιος, Κύριος, ὁ Θεὸς Σαβαὼθ, ὁ φοβερὸς καὶ ἰσχυρὸς, ὁ δίκαιος καὶ ἐλεήμων, ὁ θαυμαστὸς, καὶ αἰνετὸς, καὶ ἀγαπητός. Ὁ εἷς Θεὸς, πρόσωπα δὲ τρία, οὐσία δὲ μία καὶ δύναμίς τε καὶ σοφία, καὶ ἀγαθότης μία· ἡ μία καὶ ἀδιαίρετος Τριάς· ἄνοιξόν μοι τὰς πύλας τῆς δικαιοσύνης τῷ σοὶ κεκραγότι, καὶ εἰσελθὼν ἐν αὐταῖς, ἐξομολογήσομαί σοι, Κύριε.

Ἰδοὺ πρὸ τῆς πύλης ἵσταμαι τοῦ οἴκου σου, Δέσποτα, οἷα δὲ προσαίτης κρούω· κέλευσον δὴ ἀνοιχθῆναι μοι κρούοντι, ὁ εἰπὼν κρούετε. καὶ ἀνοιγήσεται ὑμῖν. Κρούουσι γὰρ, ὦ Πάτερ πολυέλεέ τε καὶ πανοικτίρμον, κρούουσι πρὸς τὴν σὴν θύραν αἱ τῶν ἐμῶν περικαρδίων ἐπωρυομένων ἐφέσεις, καὶ αἱ κραυγαὶ τῶν ἀπὸ τῶν ὀφθαλμῶν μου δακρύων. Ἔστι δ' ἐνώπιόν σου ἡ ἐπιθυμία μου » πᾶσα, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Σὺ τοίνυν, » Κύριε, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκ- » κλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου! Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ παιδός σου, καὶ ἔκτεινόν σου τὴν χεῖρα τὴν ὑπεράγαθον πρὸς ἀντίληψίν μου, ὅπως ἂν ἐκ τῶν βαθέων τῶν ὑδάτων ἐξάξῃς με, καὶ ἀπὸ τοῦ πηλοῦ καὶ τῆς ἰλύος ἐκσπάσῃς με τῆς ἀθλιότητος, ἵνα μὴ ἀπόλωμαι πρὸ ὀφθαλμῶν τῆς σῆς φιλανθρωπίας, καὶ κατεναντίον τῶν πανοικτιρμόνων σπλάγχνων τῆς

ἀπείρου σου ἀγαθότητος · ἀλλ᾽ ἵνα πρὸς σὲ τὸν ἐμὸν Θεὸν διεκφύγω, τοῦ ἰδεῖν τὸν πλοῦτον τῆς βασιλείας σου, τοῦ θεωρεῖν τὴν τερπνότητα τοῦ σοῦ προσώπου ἀδιαλείπτως, καὶ αἰνεῖν καὶ δοξάζειν τὸ ὄνομά σου τὸ ἅγιον. Ναὶ, Κύριε, ὁ ποιῶν θαυμάσια, ὁ πλατύνων μου τὴν καρδίαν εἰς τὸ μεμνῆσθαί σου · ὁ φωτίζων τὴν νεότητά μου, καὶ μὴ παρορῶν τὸ γῆράς μου · ἀλλ᾽ ἀγαλλιᾶσθαι ποιῶν πάντα τὰ ὀστᾶ μου, καὶ ὡς ἀετοῦ ἀνακαινίζων τὴν πολιάν μου.

Ὅτι πρέπει σοὶ πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ μιᾷ θεότητι, τῇ μιᾷ βασιλείᾳ, τῇ μιᾷ δυνάμει· τῷ μόνῳ ὑπερανάρχῳ, καὶ ὑπερουσίῳ, καὶ παντοδυνάμῳ Δημιουργῷ τῶν ἁπάντων ἐν Τριάδι λατρευομένῳ Θεῷ, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τέλος τῶν μονολογίων τοῦ ἱεροῦ Αὐγουστίνου.



ΤΟΥ

ΑΥΤΟΥ

ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΤΟ ΕΓΧΕΙΡΙΔΙΟΝ·

Περὶ τῆς τοῦ Χριστοῦ θεωρίας·

ΗΤΟΙ

ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΛΟΓΟΥ, ΔΙ ΟΥ ΠΡΟΣ ΟΥΡΑΝΙΟΝ ΠΟΘΟΝ ΔΙΕΓΕΙΡΟΙΤ᾽ ΑΝ Η ΜΝΗΜΗ, Η ΕΝ ΝΥΣΤΑΓΜΩ͂Ι ΡΑΘΥΜΙΑΣ ΥΠΟΚΑΘΕΥΔΟΥΣΑ.

ΠΡΟΛΟΓΟΣ.

Εν μέσῳ παγίδων ἀναστρεφομένοις ὁ τῶν ἐπουρανίων πόθος ῥᾷστα διαψυχραίνεται· καὶ ἀδιαλείπτου τοίνυν φυλακῆς ἡμῖν χρεία, ἵνα τὸν ὕπνον ἀποσειόμενοι, πρὸς Θεὸν συνεχῶς ἀνατρέχοιμεν· ὅς τῶν ἀγαθῶν ἡμῖν ἐστὶ τὸ ἀληθὲς καὶ ἀκρότατον, ἀφ᾽ οὗ ἀπορρέομεν. Διὸ δὴ οὐ θράσους τινὸς προλήψει, ἐκ πολλῆς δὲ τῆς πρὸς τὸν Θεόν μου ἀγάπης τὴν περὶ τόδε τὸ πονημάτιον σπουδὴν ἀνεθέμην εἰς δόξαν αὐτοῦ· ὅπως ἂν ἐκ τῶν παρὰ τοῖς

θεσπεσίοις πατράσι κομψοτέρων λογίων, ἐπίτομόν τι καὶ πρόχειρον περὶ τοῦ Θεοῦ μου ῥῆμα ἐς ἀεὶ ἔχοιμι μετ᾽ ἐμοῦ, ὅ δή, ὁσάκις ἂν μοι ὑποχλιαίνεσθαι γένηται, ἀναγινώσκων, πρὸς τὴν ἐκείνου ἐπανεξαπτοίμην ἀγάπησιν. Νῦν οὖν πάρεσό μοι ὁ Θεός μου, ὅν ἐκζητῶ, ὅν ἀγαπῶ, ὅν καὶ καρδίᾳ, καὶ στόματι, καὶ ὅλῃ (ὅση μοι περίεστι) τῇ δυνάμει, ὑμνολογῶν τε καὶ προσκυνῶν αἰνῶ καὶ δοξάζω.

Ἡ ψυχή μου σοὶ καθοσιουμένη, καὶ ἐξ ἀγάπης τῆς περὶ σὲ ἀναφλεγομένη, ἐν σοὶ ἀναπνέουσα, σοὶ ἐπιχαίνουσα, σὲ μόνον ἰδεῖν ἐπιποθοῦσα, οὐδὲν ἐπίσταται τὸ αὐτὴν κατατέρπον, ἀλλ᾽ ἢ τὸ περὶ σοῦ λαλεῖν, περὶ σοῦ ἀκούειν, περὶ σοῦ γράφειν, περὶ σοῦ διανοεῖσθαι, τὴν δόξαν τὴν σὴν ἐνδελεχῶς ἐπὶ καρδίας ἀναπολεῖν, ὥστε μοι ἐν ταῖς ἀναριθμήτοις τοῦ βίου ζάλαις ἀναστρεφομένῳ, τὴν γλυκεῖαν σου μνήμην καθίστασθαι εἰς ἄνεσιν. Σὲ τοίνυν ἐπικαλοῦμαι τὸν ὑπερπόθητον· πρὸς σὲ κράζω ἐξ ὅλης μου τῆς καρδίας μεγάλῃ κραυγῇ· ἐπειδὰν δέ σε οὕτως ἐπικαλοῦμαι, εἰς ἐμὲ αὐτὸν δή που τυγχάνω ἀνακαλούμενος. Οὐδὲ γὰρ ἂν ἦν ὅλως ἐγώ, ἢν μὴ αὐτὸς ᾖς μετ᾽ ἐμοῦ· μετ᾽ ἐμοῦ δὲ σὺ εἶ, ὅτε ἐν ἐμοὶ μένεις ἡ μνήμη ἡ ἐμή. Ἐκ ταύτης σὲ ἔγνων, καὶ ἐν αὐτῇ σὲ εὑρίσκω, ὁσάκις ἂν σου ἐπιμνησθήσωμαι, καὶ ἐν σοὶ ἐντρυφῶ ἐξ οὗ τὰ πάντα, δι᾽ οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα.



ΚΕΦ. Α.

Περὶ τῆς ὑπερουσίου Θείας οὐσίας.

Σὺ, Κύριε, τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῖς, πάντα φέρων ἀφόρτως, πάντα ἐμπιμπλῶν ἀπερισχέτως· ἀεὶ ἐνεργῶν, ἀεὶ ἠρεμῶν· συνάγων, καὶ μηδενὸς χατίζων· ζητῶν, καὶ μηδενὸς ἀμοιρῶν· ἀγαπῶν ἀσαλῶς, ζηλῶν ἀζηλοτύπως. Μεταμέλει μέν σοι, ἄνευ δ' ἀνίας. Ὀργίζῃ, καὶ γαληνιᾷς· ἔργον μὲν ἀμείβεις, βουλὴν δ' οὐκ ἀμείβεις. Δέχῃ ὅπερ εὑρίσκεις, καὶ οὔ ποτ' ἀπέβαλες· οὐδέ ποτ' ἐνδεὴς εἶ, καὶ χαίρεις ἐν κέρδεσιν· οὐδέ ποτε πλεονεκτεῖς, καὶ ἀπαιτεῖς τόκους· ὑπερεπιχορηγεῖς, ᾧ οὐκ ὀφείλεις· ἤ, ἀεί σοι προσεπιδίδοται, ἵν' ἐποφείλῃς.

Τίς γάρ τι κέκτηται τό γε μὴ σόν; χρέα ἐκτίεις, μηδὲν χρεωστῶν, χαρίζεις χρέα, μηδὲν ἀπολλύς. Ἀπανταχοῦ παρὼν εἶ, καὶ πανταχοῦ ὅλος. Γνωστὸς μὲν εἶ, ὁρατὸς δ' οὔ· ὁ μηδαμόθεν ἀπὼν, ἀπὸ τῶν λογισμῶν τῶν ἀνόμων πόῤῥω ἀπέχεις· ὁ μηδ' ἐκεῖθεν ἀπέχων, ὅθεν ἀφέστηκας: ἔνθα γὰρ ἂν μὴ ἧς τῇ χάριτι, πάρει τῇ ἐκδικήσει· ὁ παρὼν ἑκασταχοῦ, μόλις δ' εὑρεθῆναι δυνάμενος· ὃν ἑστῶτα μὲν διώκομεν, καταλαβεῖν δ' οὐκ ἰσχύομεν· ὁ πάντα κρατῶν, πάντα πληρῶν, πάντα περιέχων, πάντα ὑπερέχων, πάντα συνέχων.

Ὁ τὰς καρδίας ἐκδιδάσκων τῶν πιστευόντων ἄνευ ῥημάτων ψόφου τε καὶ ἠχήσεως· ὁ μὴ τόποις ἐπεκτεινόμενος, μηδὲ χρόνοις διαποικιλλόμενος· ὁ μηδὲ προσελεύσεις ἔχων, μηδ' ἀπελεύσεις· (ᾧ οὐκ ἔστι δηλ. προσιέναι, καὶ οὗ περ οὐχ οἷόν τε ἀπιέναι.) Ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὃ οὐδεὶς ἀνθρώπων ἑώρακεν, οὐδὲ ἰδεῖν δύναται. Ἐν σεαυτῷ μένων ἀκίνητος, πάντοσε πάντῃ περιπορεύῃ·

οὐ γὰρ οὐδὲ τμηθῆναι οἷος τε εἶ, καὶ διαιρεθῆναι· ὅτι ἀληθῶς εἷς εἶ, καὶ οὐδ' ἂν εἰς μέρη γένοιο· ἀλλ' ὅλος τὸ ὅλον κρατεῖς, τὸ ὅλον πληροῖς, τὸ ὅλον καταλάμπεις, καὶ ἔχεις.

ΚΕΦ. Β.

Περὶ τῆς ἀνερμηνεύτου Θείας γνώσεως.

Καὶ εἰ δ' ὁ κόσμος ὅλος ἐμπλησθείη βιβλίων, οὐκ ἂν ἡ σὴ διερμηνευθείη σοφία ἡ ἀνερμήνευτος· Ἄφραστος γὰρ ὤν, ἀπερίγραπτος εἶ, καὶ ἀπερινόητος, ἡ τοῦ φωτὸς τοῦ Θείου πηγή, καὶ τῆς ἀϊδίου αἴγλης ὁ Ἥλιος. Μέγας εἶ ἄνευ ποσότητος, διὸ καὶ ἀκαταμέτρητος· ἀγαθὸς εἶ ἄτερ ποιότητος, διὸ καὶ ἀληθῶς καὶ ἄκρως ἀγαθὸς, καὶ οὐδεὶς ἀγαθὸς εἰμὴ σὺ μόνος· οὗ ἡ μὲν θέλησις ἐστὶ τὸ θέλειν, τὸ δὲ θέλειν ἐστὶ τὸ δύνασθαι. Ὃς ἅπαντα, ὅσα παρήγαγες, ἐκ τοῦ μηδενὸς μόνον ἐθελήσας ἐποίησας· ὃς τὴν κτίσιν πᾶσαν ἀνενδεῶς κέκτησαι, καὶ ἀπόνως διακυβερνᾷς, καὶ ἀπαρενοχλήτως εὐθύνεις· καὶ οὐ μὴ συνταράξει τοῦ σοῦ κράτους τὴν τάξιν, οὔτε ἐν τοῖς ἄνω, οὔτε ἐν τοῖς κάτω οὐδέν.

Ὃς ἐν παντὶ τόπῳ ὑπάρχεις, ἄνευ τόπου· πάντα περιέχεις, ἄνευ περιοχῆς· ἁπανταχοῦ πάρει, ἄνευ θέσεως καὶ κινήσεως. Ὃς οὐδὲ κακοῦ παραίτιος εἶ, ὃ δρᾷν οὐ δύνασαι· ὃς οὐδὲν οὐχὶ δύνασαι, καὶ οὐδέ ποτέ τι δράσας μετέγνως. Οὗ τινος τῇ μὲν ἀγαθότητι ὑπέστημεν, τῇ δὲ δικαιοσύνῃ τίσεις τίννυμεν, τῷ δὲ ἐλέει ἀπολυτρούμεθα. Οὗ ἡ μὲν παντοδυναμία πάντα διακυβερνᾷ, καὶ διεξάγει, καὶ συμπληροῖ ὅσα περ ἔκτισεν. Οὐδ' οὖν οὕτω σε συμπληροῦν τὰ πάντα φαμὲν, ὡς δῆθεν καὶ ὑπ' αὐτῶν περιέχεσθαι τὸν μᾶλλον αὐτὰ περιέχοντα· οὐδὲ μὲν οὖν κατὰ μέρος ἐμπληροῦν σε ἕκαστα οὕτω πως δέον ἡγεῖσθαι, ὥστε ἕκαστον, κατὰ

τὸ μέγεθος χωροῦν τὸ ἴδιον, μερίδα περιλαμβάνειν τὴν ἀπὸ σοῦ· τουτέστι, τὸ μὲν μεῖζον μείζονα, τὸ δ' ἔλαττον ἐλάσσονα· αὐτὸς γὰρ δὴ μάλιστα ὅλος ὑπάρχεις ἐν ἅπασι, καὶ ἅπαντα ἐν σοί· οὗ περ ἡ παγκρατορία περιέχει τὰ πάντα, καὶ οὐδὲν οὐ μὴ δυνήσεται πόρον ἐξευρεῖν ὡς ἀποδρᾶναι τῆς σῆς δυνάμεως· ὅς γὰρ ἄν περ μὴ ἔχῃ σὲ ἵλεων, οὐδόλως ἐποργισθέντα ἐκφεύξεται.

ΚΕΦ. Γ.

Περὶ πόθε ψυχῆς τῆς Θεῦ συνεπαισθανομένης.

Σὲ τοίνυν, Κύριε πανοικτίρμων, ἐπικαλοῦμαι ἐπὶ τῆς ἐμῆς ψυχῆς, ἣν πρὸς ὑποδοχήν σου παρασκευάζεις διὰ τοῦ πόθου, ὃν ἐν ταύτῃ ἐμπνεῖς. Εἴσελθε δή, δέομαί σου, καὶ ταύτην οὕτω σοὶ αὐτῷ προσενάρμοσον, ὥστε σὲ κεκτῆσθαι, ἣν ἔκτισάς τε καὶ ἐπανέκτισας· ἵν' ἔχοιμί σε οἷον σφραγίδα ἐν τῇ καρδίᾳ μου! Μὴ με τὸν ἐπικαλούμενόν σε ἐγκαταλίποις, ἀντιβολῶ, πολυέλεε Κύριε! ὅτι πρὶν ἢ ἐγὼ σε ἐπικαλέσωμαι, αὐτός με προσεκαλέσω, καὶ ᾔτησας, ἵνα ἐγὼ ὁ δοῦλος ὁ σὸς ἐκζητήσω, καὶ ζητήσας σε εὕρω, καὶ εὑρὼν ἀγαπήσω σε. Ἐξεζήτησά σε, Κύριε, καὶ εὗρόν σε, καὶ ἐπιποθῶ ἀγαπᾶν σε· ἐπαύξησον τὸν ἐν ἐμοὶ πόθον, καὶ δὸς ὃ αἰτοῦμαι σε. Κἂν γὰρ ἅπαντά μοι δῷς ὅσα ἐποίησας, οὐκ ἐξαρκεῖ μοι τῷ δούλῳ σου, ἐὰν μὴ σεαυτὸν ἐμοὶ δῷς. Δός μοι τοίνυν σαυτὸν ὁ Θεός μου· σαυτὸν ἀπόδος μοι. Ἠνὶ δή, ἀγαπῶ σε· καὶ εἰ σμικρὸν ἐστίν, ἔτι καὶ ἐρρωμενέστερον ἀγαπήσαιμι· τῷ γὰρ ἔρωτι τῷ σῷ συνέχομαι, τῷ πόθῳ τῷ σῷ πυρπολοῦμαι, τῇ σῇ μνήμῃ τῇ γλυκερᾷ ἐνευφραίνομαι.



Ἰδοὺ γὰρ, ἐν ᾧ ἡ ψυχή μου ἐπιστοναχίζει σοι, καὶ τῷ σῷ ἀνεκδιηγήτῳ ἐλέει ἐμμελετᾷ, αὐτὸ τὸ τῆς σαρκός μου τουτὶ φορτίον ἧττον μοι ἐπιβαραῖ· ὁ τῶν λογισμῶν θραῦς ἀνακοπάζει· τὸ τῆς θνητότητος, καὶ τῶν πολλῶν μου ἄλλων ἀθλιοτήτων τὸ ἄχθος οὐχ ὡς εἰώθει με ἀπαμβλύνει. Ἀθρόα πάντα σιγᾷ, πάντα μοι γαληνιᾷ· ἡ καρδία μου διακαίεται, ἡ ψυχὴ ἐφήδεται, ἡ μνήμη ἐνακμάζει, ἡ διάνοια διαυγάζεται, καὶ ὅλον τὸ ἐν ἐμοὶ πνεῦμα τῷ τῆς σῆς θέας ἐξαπτόμενον πόθῳ, εἰς ἀγάπην τῶν ἀοράτων δοκεῖ ἀναρπάζεσθαι. Ἀναλάβοι δή μου τὸ πνεῦμα πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθείη, καὶ μὴ ἐκλίποι, καὶ ἄχρι γε τῆς εὐπρεπείας τοῦ σοῦ ἀφίκοιτο οἴκου, καὶ τοῦ θρόνου τῆς δόξης σου· κἀκεῖ δὲ, ἔνθα τῶν ὑπερκοσμίων οἱ δῆμοι τῆς σῆς ἐμφοροῦνται τραπέζης, ἐκ τῶν κεκρυμμένων σου ἐκτραφείη ἐν τόπῳ χλόης, παρὰ τὰ σὰ ῥεῖθρα τὰ δαψιλέστατα ποιμαινόμενον. Σύ μοι τὸ ἐμὸν γενοῦ ἀγαλλίαμα, ὃς καὶ ἡ ἐλπὶς ἡ ἐμὴ ὑπάρχεις, καὶ ἡ σωτηρία καὶ ἀπολύτρωσις. Σὺ ἡ χαρά μου, ὃς καὶ αὐτὸ ἔσῃ τὸ γέρας μου. Σὲ ἐκζητοίη διὰ παντὸς ἡ ψυχή μου, καὶ σὺ ποίησον ὅπως ἂν μὴ ἐκλίποι ζητοῦσα σε.

ΚΕΦ. Δ.

Περὶ ἀθλιότητος ψυχῆς, τῆς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μὴ ἀγαπώσης, μηδ᾽ ἐκζητούσης.

Οὐαὶ τῇ ψυχῇ τῇ ἀθλίᾳ, ἥτις Χριστὸν μὴ ἐκζητοῦσα, μηδ᾽ ἀγαπῶσα, αὐχμῶσα τε καὶ ἐλεεινὴ ἀναστρέφεται. Ἀπόλλυσιν ὅ,τι καὶ ζῇ, ὁ μὴ τὸν Θεὸν ἀγαπῶν· ᾧ περ ἄν, Κύριε, ζῆν διὰ σὲ μὴ

μέλοι, οὐδὲν οὗτος ἐστὶ, καὶ ὅλως κατεξουδένωται· ὁ σοὶ ζῆν οὐκ ἀλέγων, ἤδη τέθνηκεν· ὁ σοὶ μὴ φρονῶν, μωραίνει. Σοὶ τοίνυν ἐμαυτὸν ἐγὼ, ἀπειρεύσπλαγχνε, συνίστημί τε καὶ ἀποδίδωμι, καὶ παραχωρῶ, τῷ δί οὗ ὑπάρχω, καὶ ζῶ, καὶ φρονῶ. Ἐπὶ σοὶ θαῤῥῶν εἰμὶ, καὶ πεποιθὼς, καὶ ἅπασάν μου ἀνατιθεὶς τὴν ἐλπίδα, δί οὗ καὶ ἀνεγερθείην, καὶ ζήσαιμι, καὶ ἐν ἀναπαύσει γενοίμην. Σὲ καὶ ποθῶ, καὶ ἀγαπῶ, καὶ λατρεύω, σὺν ᾧ καὶ ζήσω, καὶ βασιλεύσω, καὶ μακάριος ἔσομαι. Ἡ μὴ ἀγαπῶσα σε ψυχὴ τὸν κόσμον ἀγαπῶσα ἐστὶν, ἁμαρτίαις δουλεύουσα, μοχθηρίαις ὑποπίπτουσα, οὐδέ ποτε ἠρεμοῦσα, οὐδέ ποτε ἐν ἀσφαλεῖ διάγουσα. Δουλευέτω σοι, ὦ πανοικτίρμον, ἀεί ποτε ἡ διάνοιά μου· ἐπιστεναζέτω ἀεὶ πρὸς σὲ ἡ παροίκησίς μου, καὶ ἐν ἀγάπῃ τῇ περὶ σὲ ἡ καρδία μου πυρπολείσθω.

Ἀναπαυθήτω δὴ ἡ ψυχή μου ἐν σοὶ ὁ Θεός μου· περινοείτω σε ἐν διανοίας ἐκστάσει· ψάλλοιμι τὰς ὑμνολογίας τὰς σὰς ἐν ἀγαλλιάσει· αὕτη μοι ἐπὶ τῆς ὑπερορίας εἴη παραμυθία. Καταφευγέτω μου ὁ νοῦς ὑπὸ τῇ σκέπῃ τῶν σῶν πτερύγων, ἀπὸ οἴκων ἀνομιῶν τοῦ αἰῶνος τούτου. Κοπασάτω ἐν σοὶ ἡ καρδία μου· ἡ καρδία, τὸ μέγα τε καὶ πολυκύμαντον πέλαγος. Ὦ τῶν ὑπερκοσμίων ἀγαθῶν ἁπάντων ὁ ἀπειροπλούσιος ἑστιάτωρ Θεὸς, θρέψον με ἀπαγορεύσαντα, σύλλεξον διασκορπισθέντα, λύτρωσον αἰχμαλωτισθέντα, ὁλοκλήρωσον διασπασθέντα. Ἰδοὺ δὴ ἐπὶ τῆς θύρας ἑστηκὼς κρούω· ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐν οἷς ἡμᾶς ἐπεσκέψω ἀνατολὴ ἐξ ὕψους. Κέλευσον τῷ ἐλεεινῷ κρούοντι ἀνοιχθῆναι, ὡς ἂν ἐλευθέρως πρὸς σὲ εἰσέλθοι, καὶ ἀναπαυθείη ἐν σοὶ, καὶ μετασχὼν τοῦ οὐρανίου σου ἄρτου ἐπιῤῥωσθείη· σὺ γὰρ εἶ ὁ ἄρτος, καὶ ἡ πηγὴ τῆς ζωῆς. Σὺ τὸ τοῦ προαιωνίου ἀπαυγάσματος φῶς· σὺ εἶ τὰ πάντα, ἐξ ὧν ὀρθῶς διαζῶσιν οἱ ἀγαπῶντες σε.

ΚΕΦ. Ε.

Πόθος ψυχῆς.

Ὁ Θεὸς, τὸ φῶς τῶν καρδιῶν τοῖς ὁρῶσι σε, καὶ ἡ ζωὴ τῶν ψυχῶν τοῖς ἐρῶσι σου, καὶ ἡ δύναμις τῶν διανοιῶν τοῖς ἐκζητοῦσι σε, δός μοι τῷ σῷ ἁγίῳ προσεμφύεσθαι ἔρωτι! Ἐλθὲ, δέομαί σου, εἰς τὴν καρδίαν μου, καὶ ἐκ τῆς πιότητος τῆς τρυφῆς σου μέθυσον αὐτὴν, ὥστε τουτωνὶ τῶν προσκαίρων ἐπιλαθέσθαι. Ἀσχάλλειν ἔπεισί μοι καὶ ἐπαλύειν καὶ καταισχύνεσθαι, τοιούτοις προσπαθαινομένῳ, οἷα περ οὗτος ὁ κόσμος ἐργάζεται· ἀνιαρόν μοι γίνεται πᾶν ὅ,τι θεῶμαι· ἀχθεινὸν πᾶν ὅ περὶ τῶν παροιχομένων πυνθάνομαι. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου· εὔφρανον τὴν καρδίαν μου· ἐλθὲ πρός με, ὅπως ἂν ἴδω σε. Ἀλλὰ στενοχωρὴς ὁ οἶκος ἐστὶν ὁ τῆς ψυχῆς μου· ἀλλ᾽ ἐὰν ἔλθῃς, ὑπὸ σοῦ πλατυνθήσεται. Ἀλλὰ σαθρός τε ἐστὶ καὶ ἐρείψιμος· ἀλλ᾽ ἐπανασκεύασον αὐτόν. Πλεῖστα μὲν ἐστὶ περιέχων τὰ τοῖς σοῖς ὀφθαλμοῖς προσκρούοντα, ὁμολογῶ, καὶ ἐπίσταμαι· ἀλλὰ τίς τοῦτον ἀποκαθαριεῖ; ἢ πρὸς τίνα, πλὴν σοῦ, ἄλλον κεκράξομαι; Κύριε, ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.

Ποίησόν με, Χριστὲ γλυκύτατε, πανάγαθε Ἰησοῦ, ποίησόν με, ἀντιβολῶ, διὰ τῆς πρὸς σὲ ἀγάπης, καὶ τοῦ περὶ σὲ πόθου, τὸ φορτίον τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ τῶν γηΐνων ὀρέξεων ἀποσείσασθαι. Κυριευσάτω τῆς σαρκὸς ἐν ἐμοὶ ἡ ψυχὴ, τῆς ψυχῆς ὁ λόγος, τοῦ λόγου ἡ χάρις σου, καὶ τῷ σῷ με θελήματι ἔσωθέν τε καὶ ἔξωθεν καθυπάγαγε. Δώρησαί μοι ἵνα καὶ καρδίᾳ, καὶ χείλεσι, καὶ πᾶσι μου τοῖς ὀστέοις ὑμνῶ καὶ δοξάζω σε. Πλάτυνόν μου τὸν νοῦν, καὶ ὕψωσον τὸ ἐποπτικὸν τῆς καρδίας μου, ὅπως

ἂν, ἐν ἀρπαλέῳ γοῦν τῷ διανοήματι, τῆς σῆς προαιωνίου καὶ διὰ πάντων διηκούσης σοφίας τὸ ἐμὸν πνεῦμα ἐφίκοιτο. Λῦσόν με, ἱκετεύω, ἀπὸ τῶν δεσμῶν, οἷς συνεσφιγμένος συνέχομαι, ἵνα πάντα παρωσάμενος ταῦτα, σοὶ δουλεύοιμι, σοὶ μόνῳ προσκολλώμενος εἴην, σοὶ μόνῳ προσέχοιμι.

ΚΕΦ. ϛ'.

Περὶ εὐδαιμονίας ψυχῆς, τῆς ἐκ τῆς γηΐνης φυλακῆς ἀπολυθείσης.

Ὡς εὐδαίμων ἡ ψυχή, ἡ ἐκ τῆς γηΐνης φυλακῆς ἐξαχθεῖσα, καὶ εἰς οὐρανὸν ἐπισπέρχουσα· ἡ σὲ τὸν γλυκύτατον Κύριον πρόσωπον πρὸς πρόσωπον κατοπτεύουσα· ἡ μηδεμίαν διαπτοουμένη θανάτου πτόησιν, ἀλλ' ἐν ἀφθαρσίᾳ τῆς ἐν τῇ διαιωνιζούσῃ δόξῃ τρυφῆς ἀπολαύουσα. Γαλήνιός τε καὶ ἔμπεδος ἤδη ἡ τοιαύτη ψυχὴ καθέστηκεν, οὔτ' ἐχθρόν τινα δεδοικυῖα, οὔτε δὴ θάνατον. Ἔχει γάρ σε τὸν χρηστὸν ἑαυτῆς Δεσπότην, ὅν πάλαι ἐξεζήτησε, καὶ ἀεὶ ἠγάπησε· συνοαρίζει δὲ ταῖς ὑμνολόγοις χοροστασίαις, τὰ μελίῤῥοα τῆς ἀλήκτου πανηγύρεως ᾄσματα, τὰ πρὸς αἴνεσιν τῆς σῆς δόξης, Χριστὲ Βασιλεῦ, Πανάγαθε Ἰησοῦ, αἰωνίως προσᾴδουσα. » Μεθυσθήσεται γὰρ ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤ» ῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτήν. » Ὡς εὐδαίμων ὁ τῶν ὑπερκοσμίων ἐκεῖνος πολιτῶν ὅμιλος, καὶ ἡ πανένδοξος πανήγυρις τῶν ἀπὸ τῆς ἐπωδύνου ταλαιπωρίας τῆς δε τῆς ἡμῶν παροικήσεως, ἐπὶ τὴν τερπνότητα μεθισταμένων τῆς σῆς ὡραιότητος, καὶ ἐφ' ὅλην τὴν τῆς σῆς αἴγλης καλλονὴν καὶ εὐπρέπειαν. Ἐκεῖσε, Δέσποτα, οἱ παρὰ σοὶ πολιτευσόμενοι διηνεκῶς ὄψονταί σε· οὐδὲν ἐκεῖ ὠσὶν ἐξακούεται τὸ τὴν διάνοιαν αὐτοῖς διαταράξαι δυνάμενον.


Οἷα δὴ ᾄσματα, οἷα μουσικὰ ὄργανα, οἷαι μολπαί τε καὶ ψαλτῳδίαι πέρατος ἄνευ ἐκεῖ προσᾴδονται! Ἠχεῖ ἀπαύστως ἐκεῖ τὰ μελιηδέα τῶν ὑμνολογιῶν ὄργανα, αἱ τῶν Ἀγγέλων ὑπερήδισται μελῳδίαι, ᾄσματα ᾀσμάτων θαυμαστὰ καὶ ἐξαίσια, ὑπὲρ τῆς παρὰ σοῦ σωτηρίας εἰς δόξαν τὴν ὑπὸ τῶν ἐκεῖ πολιτευομένων ᾀσματιζόμενα· πικρία τε καὶ πᾶσα χολῆς δριμύτης ἀπὸ τῆς σῆς χώρας ἐκείνης πόῤῥω ἀπέδρα. Οὐκ ἔστι γὰρ ἐκεῖ πονηρὸς, οὐδὲ πονηρία, οὐκ ἔστιν ἀντίμαχος καὶ πολέμιος, οὐδ' ἔστιν ἐκεῖ τι πρὸς ἁμαρτίαν θέλγητρον. Οὔτις ἐκεῖ ἔνδεια, οὔτις δυσπρέπεια, οὔτις ἐρίθεια, οὔτις λοιδορία, οὔτις ἀντιλογία, οὐδὲν δέος, οὐδεὶς τάραχος, οὔτις ποινὴ, οὔτις ὑπόνοια, οὔτις παραβιασμὸς, οὔτις διχοφροσύνη· ἀλλ' εἰρήνη ἐκεῖ ἀκροτάτη, πληρεστάτη ἀγάπη, ἀγαλλίασις καὶ αἴνεσις Θεοῦ αἰωνία, καὶ ἀδιάλειπτος ἐν ἀσφαλείᾳ ἀνάπαυσις, καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ, πέρας μὴ ἔχουσα.

Ὢ... ὡς εὐδαίμων ἔσομαι, ἐὰν τὰς τῶν οὐρανοπολιτῶν ἐκείνων γλυκυτάτας ᾀσματολογίας ἀκούσωμαι, καὶ τὰ μελίῤῥοα ἔπη, δι' ὧν τὸν ὀφειλόμενον ὕμνον τῇ ὑψίστῳ Τριάδι ἀποδιδόασιν! Ἀλλ' ἔτι δὴ καὶ μάλα εὐδαιμονέστατος, ἐὰν καταξιωθῶ καὶ αὐτὸς, Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ μου, ἐκ τῶν ἡδυτάτων ᾠδῶν Σιὼν προσᾶσαι τὴν αἴνεσιν.

ΚΕΦ. Ζ.

Περὶ τῆς ἐν τῷ παραδείσῳ τέρψεως.

Ὢ βίου βιωσίμου! βίου αἰωνίου καὶ αἰωνίως μάκαρος! ὅπου τέρψις ἄνευ ἀνίας, ἄνεσις ἄνευ καμάτου, ἀξίωμα ἄνευ ταράχου, πλοῦτος ἄνευ ἀποβολῆς, ῥῶσις ἄνευ νόσου, περιουσία ἄνευ ἐλλείψεως, ζωὴ ἄνευ τελευτῆς, ἀϊδιότης ἄνευ διαφθορᾶς,



εὐκληρία ἄνευ δυσποτμίας! Ἔνθα πᾶν ἀγαθὸν ἐν ἀγάπῃ τελείᾳ, ἔνθα εἶδός τε καὶ κατοπτεία ἐν προσώπῳ πρὸς πρόσωπον· ἔνθα πλήρης ἡ εἴδησις ἐν ἅπασι, καὶ κατὰ πάντα· ἔνθα ἡ ἀκροτάτη Θεοῦ καθορᾶται ἀγαθότης, καὶ τὸ φῶς τὸ φωτίζον τὰ πάντα ὑπὸ τῶν ἁγίων δοξολογεῖται. Ἔνθα παροῦσα ἡ Θεοῦ μεγαλωσύνη προσβλέπεται, καὶ ὑπὸ τῆς τοιᾶσδε βρώσεως τῆς ζωοπορόχου ἀνελλειπῶς ὁ νοῦς τῶν ἐπιδερκομένων κορέννυται· ἀδιαλείπτως γὰρ καὶ ὁρῶσι, καὶ ὁρᾷν ἐφίενται· ἀλλ' ἄνευ μὲν ἀδημονίας ἐφίενται, ἄνευ δὲ ἀηδίας κορέννυνται.

Ἔνθα ὁ ἀληθινὸς ἥλιος τῆς δικαιοσύνης τῇ ἐξαισίῳ θέᾳ τῆς αὐτοῦ καλλονῆς ἅπαντας ἀναζωπυροῖ, καὶ τοὺς τῆς οὐρανίου πατρίδος οἰκήτορας οὕτω σύμπαντας καταυγάζει, ὥστε καὶ τούτους αὐτοὺς φωτοβολεῖν· καί γε τὸ διὰ τοῦ θεαρχικοῦ φωτὸς φωτισθὲν τοῦτο φῶς ἀναφαίνεσθαι καὶ αὐτὸ ἐκσελαγίζον, ὑπὲρ ἅπαν τὸ καθ' ἡμᾶς ἡλιακὸν σέλας, καὶ ὑπὲρ τὴν τῶν ἀστέρων συμπάντων δόξαν. Θεῷ καὶ γὰρ συνημμένοι τῷ ἀθανάτῳ, ἀθάνατοι καὶ αὐτοὶ καθίστανται καὶ ἀκήρατοι, ὡς ὁ Κύριος καὶ σωτὴρ ἡμῶν ἐπηγγείλατο· » Πάτερ, (εἰπὼν) οὓς δέδωκάς μοι, » θέλω ἵνα, ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεω- » ρῶσι τὴν δόξαν τὴν ἐμήν. Ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ Πάτερ » ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.

ΚΕΦ. Η.

Περὶ τῆς ἐν οὐρανοῖς Βασιλείας.

Ἡ βασιλεία ἡ οὐράνιος, βασιλεία εὐδαιμονεστάτη, βασιλεία θανάτου κρείσσων, βασιλεία πέρας μὴ ἔχουσα· ἣν χρόνος οὐδεὶς ἐπιδιαδέχεται δι' αἰῶνος· ἐν ᾗ ἐνδελεχὴς ἡ ἡμέρα νυκτὸς ἄτερ,

καιρὸν οὐκ οἶδε· ἔνθα νικήτωρ ὁ στρατευόμενος μετὰ τὸν ἀγῶνα, σωρὸν ἀγαθῶν ἀῤῥήτων κομίζεται, λαμπρῶς τὴν κεφαλὴν ἀναδεδημένος ἐν ἀϊδίῳ τῷ στέμματι.

Εἴθε κἀμὲ τοῦ τῶν ἁμαρτιῶν ἄχθους ἀπαλλαγέντα, τῶν Χριστοῦ δούλων τὸν ἔσχατον, Θεὸς ἐπιτάξειε, τὸ ἐπίσαγμα τὸ τῆς σαρκὸς ἀποθέμενον, ἐπὶ τὴν ἄληκτον εὐφροσύνην τῆς αὐτοῦ πόλεως ἐν ἀναπαύσει μεταβῆναι, μετὰ τῶν ἁγιωτάτων χορῶν τῶν ὑπερκοσμίων ἀναστρέφεσθαι, τοῖς μακαρτάτοις πνεύμασιν ἐν τῇ τοῦ Δημιουργοῦ δόξῃ συνοργιάζειν, τὸ Θεοῦ πρόσωπον παρόντος ἐπιδέρκεσθαι, μηδεμιᾶς θανάτου πτοήσεως ἐπιούσης, ἐν ἀϊδίῳ τῇ ἀφθαρσίᾳ τῆς ἀθανασίας ἀδεῶς ἐπιχαίρειν, καὶ συνημμένον τῷ τὰ πάντα εἰδότι, ἅπαντα ζόφον ἀγνοίας ἀποσκευάσθαι· καὶ τῶν μὲν ἐπὶ γῆς ἁπάντων κατολιγωρεῖν, τὴν δὲ κοιλάδα τῶν δακρύων μήτε θεᾶσθαι περαιτέρω ἀξιοῦν, μήτ' ἐπαναμιμνήσκεσθαι· ἐν ᾗ βίος ἐπίμοχθος, βίος ἐπίκηρος, βίος πικρίας ἁπάσης ἀνάμεστος, βίος κακῶν κυριεύων, καὶ τοῖς κάτω συρομένοις ὑποδουλούμενος.

Ζωή, ἐν ᾗ αἱ μὲν χυμώδεις ὑγρότητες ἐξοιδίσκουσιν, αἱ δ' ἀλγηδόνες κατισχναίνουσιν· οἱ καῦσοι ἀφαυαίνουσιν, αἱ ἀέρων πνοαὶ νοσοποιοῦσι, τὰ σῖτα διογκοῦσιν, αἱ ἀσιτίαι ἐκτήκουσιν· αἱ παιδιαὶ παραλύουσιν, αἱ ἀνίαι ἐκδαπανῶσιν, αἱ μέριμναι στενοχωροῦσιν, ἡ ἐν ἀσφαλεστέρῳ πως διαγωγὴ ὑπαμβλύνει, ὁ πλουτισμὸς ἐκτυφοῖ, ἡ πενία ταπεινοῖ, ἡ νεότης ἐπαίρει, τὸ γῆρας ὑποκυφοῖ, ἡ νόσος θραύει, ἡ λύπη καταβάλλει, ὁ διάβολος ἐνεδρεύει, ὁ κόσμος θωπεύει, ἡ σὰρξ καθηδυπαθεῖ, ἡ ψυχὴ ἐκτυφλοῦται, ὅλος ὁ ἄνθρωπος συνταράσσεται· ἐπὶ δὲ δὴ τοῖς τοιούτοις δεινοῖς καὶ τηλικούτοις, ἐπερχόμενος ὁ θάνατος ἐπιδιαδέχεται, καὶ ταῖς εἰκαίαις ἐπιτέρψεσιν ἐπιτίθησι πέρας, ὡς παυσομένας τοῦ εἶναι, μηδὲ τοῦ γενέσθαι ποτὲ αὐτάς τινα ὑπολείπειν δόκησιν.



ΚΕΦ. Θ.

Ὅπως ὁ Θεὸς τὴν ἀπολοφυρομένην ψυχὴν μετὰ τὰς πολλὰς ὀδυρμὰς παραμυθεῖται·

Ἀλλ' ὁποίους ἄρα τοὺς ὕμνους, ὁποίας τε τὰς εὐχαριστίας προσενέγκοιμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ καὶ ἐν τηλικαύταις τῆς ἡμῶν θνητότητος περιστάσεσι μὴ διαλείποντι παραμυθεῖσθαι ἡμᾶς τῇ ἐπισκέψει τῆς παρὰ σοῦ χάριτος; Ἰδοὺ δή σοι ὁ ἐλεεινὸς ἐγὼ, ὑπὸ πολλῶν ὀδυνῶν τε καὶ θλίψεων περιστατούμενος, ἐν τῷ τοῦ ἐμοῦ βίου τὸ πέρας φοβεῖσθαι, καὶ τὰ ἐμοὶ ἐξημαρτημένα ἐπαναλογίζεσθαι, ἐν τῷ τὴν σὴν κρίσιν δειμαίνειν, καὶ τὴν ὥραν τοῦ θανάτου διενθυμεῖσθαι, καὶ τὰς ἐν τῷ ταρτάρῳ ἀποκειμένας μοι κολάσεις ὑποφρίττειν· (ὅσῃ γὰρ τῇ ἀκριβείᾳ ἐξερευνηθήσεται τὰ ἐμὰ ἔργα οὐκ οἶδα, οὐδ' ὁποίῳ ποτ' ἄρα τῷ τέρματι ἐπισφραγιῶ αὐτὰ ὅλως ἐπίσταμαι.)

Ὅμως μέντοι γε, ταῦτα τε καὶ πλεῖστα ἐπὶ τούτοις ἕτερα ἐν καρδίᾳ κατ' ἐμαυτὸν ἀναπολοῦντι, πάρει μοι, Κύριε ὁ Θεός μου, κατὰ τὸ εἰωθὸς τοῦ ἐλέους σου, καὶ τῶν τοιούτων μου μεταξὺ ὀλοφυρμῶν, καὶ τῶν πολλῶν θρήνων, καὶ τῶν ἐκ βάθους καρδίας στεναγμῶν, τὴν ἐν ἀθυμίᾳ τε καὶ ἀδημονίᾳ ψυχήν μου ἀναλαμβάνεις ἐξαίρων ἐπὶ ἄκρων ὀρέων ἄχρις ἐπὶ τὰς τῶν ἀρωμάτων ἀλωὰς, καὶ κατασκηνοῖς με ἐν τόπῳ χλόης παρὰ διεξόδους γλυκερῶν ὑδάτων, ἔνθα τράπεζαν ἑτοιμάζεις μοι περιούσιον ἐξ ἐναντίας τῶν θλιβόντων με, ἐν ᾗ τὸ πνεῦμα μου τὸ ἀπαγορεῦσαν ἀναπαυθείη, καὶ ἡ κατώδυνος καρδία μου εὐφρανθείη· ἐν αἷς δὴ τέως ἐγὼ τερπνότησιν ἐμαυτὸν ἐπανακτησάμενος τῶν πολλῶν μου ἀθλιοτήτων

ἐπιλανθάνομαι, καὶ ὑπὲρ τὸ γῆς ὕψωμα μετάρσιος ἐπαρθεὶς, ἐν σοὶ τῇ ὄντως εἰρήνῃ καθησυχάζω.

ΚΕΦ. Ι.

Περὶ γλυκύτητος τῆς τȣ̃ Θεοῦ ἀγαπήσεως.

Ἀγαπῶ σε τὸν Θεόν μου, ἀγαπῶ σε· καὶ ἀγαπᾷν σε ἔτι μᾶλλον καὶ μᾶλλον ἐθέλω. Δός μοι, Κύριε ὁ Θεός μου, ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, δός μοι τὸ σὲ ποθεῖν, καὶ σὲ ἀγαπᾷν, ὅσον βȣ́λομαι, καὶ ὅσον ὀφείλω· ἀμέτρητος εἶ, καὶ ἄνευ μέτρου ἀγαπητέος· παρ' ἡμῶν δ' ἔτι διαφερόντως, οὓς τοσοῦτον αὐτὸς ἠγάπησας, οὕτω διέσωσας, ὑπὲρ ὧν τοσαῦτα τε καὶ τοιαῦτα ἐποίησας.

Ὦ ἀγάπη ἡ ἀεὶ διαπυρσευομένη καὶ μηδέ ποτε σβεννυμένη, Χριστὲ γλυκύτατε, πανάγαθε Ἰησοῦ! ὢ ἡ αὐτοαγάπη, ὁ Θεός μου! πύρωσόν με ὅλον τῇ φλογί σου, τῷ ἔρωτί σου, τῇ γλυκύτητί σου, τῷ πόθῳ σου, τῇ χρηστότητί σου, τῇ τερπνότητι καὶ ἀγαλλιάσει σου, τῇ ἐπιεικείᾳ καὶ εὐμενείᾳ σου, τῇ ὀρέξει τῇ πρὸς σὲ, καὶ ἐφέσει τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἁγνῇ καὶ καθαρωτάτῃ· ὅπως ἂν πλήρης ὢν ὅλος τοῦ γλυκασμοῦ τῆς περὶ σὲ ἀγαπήσεως, ὅλος φλὸξ ἐκ τῆς πανοικτίρμονός σου χάριτος ἀναδιδομένη, ἀγαπῴην σὲ τὸν ὑπερήδιστόν μου καὶ ὑπερκαλλέστατον Κύριον ἐξ ὅλης μου τῆς καρδίας, ἐξ ὅλης μου τῆς ψυχῆς, ἐξ ὅλης μου τῆς δυνάμεως, καὶ ἐξ ὅλης τῆς διανοίας, ἐν πνεύματι συντετριμμένῳ, καὶ μετὰ πηγῆς δακρύων, μετὰ εὐλαβοῦς κατανύξεως, καὶ μετὰ φόβου καὶ τρόμου, ἔχων σε ἔν τε καρδίᾳ, καὶ ἐπὶ στόματος, καὶ πρὸ ὀφθαλμῶν μου ἀεί ποτε καὶ ἁπανταχοῦ, οὕτως ὥστε μηδεμίαν ἐν ἐμοὶ χώραν ταῖς νοθιγενέσι τε καὶ κιβδήλοις τῶν ἀγαπήσεων ὅλως ἐνυπολείπεσθαι.

ΚΕΦ. ΙΑ.

Ὡς ἡμᾶς παρεσκευᾶσθαι δέον ἐπὶ τῆς ἡμῶν αὐτῶν ἐξαγοράσεως.

Ἰησοῦ Χριστὲ ὑπερκαλλέστατε, δέομαί σου, ἕνεκεν τῆς ὑπεραγιωτάτης ἐκχύσεως τοῦ πολυτίμου σου αἵματος, δι' οὗ ἡμᾶς ἐξηγόρασας, παράσχου μοι συντριβὴν καρδίας καὶ δακρύων πηγὴν, ἐξαιρέτως ἐν ᾧ σοι δεήσεις καὶ ἱκεσίας προσάγων παρίσταμαι· ἐν ᾧ σοι μελπόμενος ὕμνον προσᾴδω· ἐν ᾧ τὸ μυστηριῶδες λύτρον τῆς ἐξαγορᾶς ἡμῶν, τὸ προδηλότατον τῆς περὶ ἡμᾶς σου φιλανθρωπίας ἐχέγγυον ἐπαναπολῶ καὶ προβάλλομαι· ἐν ᾧ τοῖς σοῖς ἐφίσταμαι θυσιαστηρίοις, (καί τοιγε ἀνάξιος ὢν) ἐφιέμενός σοι προσενεγκεῖν τὸ φρικτὸν ἐκεῖνο καὶ ὑπερουράνιον ὁλοκάρπωμα, ὅ περ αὐτὸς, Κύριε ὁ Θεός μου, ὡς ἀμίαντος ἱερεὺς διέθου, καὶ εἰς ἀνάμνησιν τῆς σῆς ἀγάπης ἐνετείλω προσφέρεσθαι· τοῦ σοῦ θανάτου δηλονότι, καὶ τοῦ πάθους τοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, καὶ τῆς τῶν καθ' ἑκάστην ἀσθενημάτων ἡμῶν ἐπανορθώσεως.

Στερεωθήτω δὴ τὸ ἐμὸν πνεῦμα ἐν μέσῳ τῶν τηλικούτων Μυστηρίων διὰ τοῦ γλυκασμοῦ τῆς σῆς παραστάσεως. Ἐπαισθανέσθω σοῦ παρόντος, καὶ εὐφραινέσθω ἐνώπιον σοῦ τοῦ πυρὸς τοῦ ἀεὶ φαίνοντος, τοῦ ἔρωτος τοῦ ἀεὶ ζέοντος. Γλυκύτατε Χριστὲ, πανάγαθε Ἰησοῦ, τὸ φῶς τὸ αἰώνιον καὶ ἀνέκλειπτον, ὁ ἄρτος ὁ ζῶν, ὁ ἡμᾶς ἐνισχύων, καὶ μηδέ ποτ' ἐν σοὶ αὐτῷ ἐκλείπων, ὁ ἐσθιώμενος καὶ μηδέ ποτε δαπανώμενος. Ἐπίφαυσον ἐπ' ἐμὲ, πύρωσόν με, λάμπρυνον καὶ ἁγίασον τὸ σκεῦος τὸ σόν· ἀπεκκένωσον αὐτὸ ἀπὸ πάσης μοχθηρίας, ἔμπλησον τῆς σῆς χάριτος, καὶ ταύτης ἔμπλεων διατήρησον, ἵνα εἰς σωτηρίαν ψυχῆς μου τῆς βρώσεως μετάσχοιμι τῆς σαρκός σου· ἐσθίων δὲ ζωὴν ἐκ σοῦ, ζωὴν διὰ σοῦ, ἐφικοίμην εἰς σὲ, ἀναπαυθείην ἐν σοί.

ΚΕΦ. ΙΒ.

Περὶ τῆς χαρᾶς.

Ὦ γλυκύτης ἀγάπης, καὶ ἀγάπη γλυκύτητος! ἐσθιέτω σε ἡ γαστήρ μου, καὶ τοῦ νέκταρος τῆς σῆς ἀγάπης πιμπλάσθω τὰ σπλάγχνα μου, καὶ ἐξερευξάσθω ἡ καρδία μου λόγον ἀγαθόν. Ἡ ἀγάπη ὁ Θεός μου μέλι γλυκερὸν, γάλα χιώνεον, ἡ βρῶσις τε καὶ ἀγαλλίασίς μου, ποίησον ὅπως ἐναυξοίμην ἐν σοὶ, ὑπερῴᾳ ὑγιαινούσῃ γευόμενος. Σὺ εἶ ἡ ζωή μου, καθ' ἣν διατελῶ ζῶν, ἡ ἐλπίς μου, ἐφ' ἧς ἐστήριγμαι, ἡ δόξα, ἧς περ ἐφίεμαι ἀπολαῦσαι. Σύ μοι τὴν καρδίαν κάτεχε, τὴν διάνοιαν εὔθυνε, τὸ φρονοῦν ὁδήγει, τὴν ἀγάπην ἐξέγειραι, τὴν ψυχὴν ἔξαιρε, καὶ τὸ στόμα τοῦ διψῶντος σε πνεύματος ἐπὶ ῥεῖθρα τὰ ὑπέρτατα ἕλκε.

Σιγησάτω μοι, δέομαι, τῆς σαρκὸς ὁ θροῦς· σιωπάτωσάν μοι αἱ φαντασιώσεις αἱ ἀπὸ γαιῶν, καὶ θαλασσῶν, καὶ ἐξ ἀέρος, καὶ τοῦ πόλου· φιμούσθω τὰ ἐνύπνια, καὶ αἱ ὀνειρώδεις ἀνακαλύψεις, καὶ γλῶσσα πᾶσα, καὶ πᾶν σημεῖον, καὶ ὅ,τι δή ποτε ἐστὶ τῶν φύσει παρερχομένων. Σιγάτω δ' ἐν ἑαυτῇ καὶ ἡ ψυχὴ αὐτὴ, καὶ παρίτω ἑαυτὴν, μηδαμῶς ἑαυτὴν, ἀλλὰ σὲ τὸν Θεόν μου καὶ Κύριον διανοουμένη· ὅτι σὺ εἶ τῷ ὄντι πᾶσα ἡ ἐμὴ ἐλπὶς καὶ πεποίθησις. Ἐν γὰρ σοὶ τῷ Θεῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ γλυκυτάτῳ καὶ ἐπιεικεστάτῳ καὶ πανοικτίρμονι, ἔνεστιν ἡμῶν ἑκάστου ἡ μερὶς, καὶ τὸ αἷμα, καὶ ἡ σάρξ. Ἔνθα δ' ἄρ ἡ μερὶς ἡ ἐμὴ βασιλεύει, ἐκεῖ πιστεύω κἀμὲ αὐτὸν βασιλεύειν· ἔνθα τὸ αἷμα τὸ ἐμὸν ἄρχει, ἐκεῖ ἄρχειν καὶ αὐτὸς πέποιθα· ἔνθα ἡ ἐμὴ δοξάζεται σάρξ, ἐκεῖ κἀμὲ αὐτὸν δοξαζόμενον οἶδα. Εἰ δὲ καὶ φιλαμαρτήμων ἐγὼ, ἀλλὰ περὶ τῆς περιούσης ἐμοὶ κατὰ χάριν

τοιαύτης κοινωνίας τε καὶ μεθέξεως, ἀπιστεῖν οὐκ ἔχω· καὶ εἰ τὰ ἐμὰ πλημμελήματα εἴργει, ἀλλ' ἡ ἐμὴ οὐσία τοῦτο ἐναπαιτεῖ· καὶ εἰ τὰ ἴδια ἐγκλήματα ἐκκλείει με, ἀλλ' ἡ μετουσία τῆς φύσεως οὐκ ἀπωθεῖται.

ΚΕΦ. ΙΓ.

Ὅτι ὁ σαρκωθεὶς Θεὸς Λόγος ὁ τῆς ἐλπίδος ἡμῖν καθέστηκεν αἴτιος.

Οὐ γὰρ οὕτως ἀνεπιεικὴς ὁ Κύριος ἐστὶν, ὡς μὴ ἀγαπᾷν τὴν σάρκα τὴν ἑαυτοῦ, καὶ τὰ μέλη αὐτοῦ, καὶ τὰ σπλάγχνα αὐτοῦ. Ἀπογνοίην ἂν διὰ τὰς πολλὰς ἐμὰς ἁμαρτίας τε καὶ κακίας, καὶ διὰ τὰς ὑπὲρ ἀριθμὸν πλημμελείας καὶ ἀθετήσεις, ἅς περ ἐποίησα, καὶ καθ' ἡμέραν ἀδιαλείπεως ἐκτελῶ καὶ λόγῳ καὶ ἔργῳ, καὶ τρόποις παντοίοις, ὅσοις ἡ ἀνθρώπου πέφυκεν ἐξαμαρτάνειν ἀσθένεια, εἰμὴ ὁ σὸς, ὦ Θεὲ, υἱός τε καὶ λόγος ἐγένετο σὰρξ, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

Ἀλλ' ἀπογνῶναι τὰ νῦν ἥκιστα ἂν τολμήσαιμι, ἐπεὶ ὁ σοὶ ὑπακούσας ἕως θανάτου, θανάτου δὲ σταυροῦ, τὸ χειρόγραφον ἀνειλήφει τῶν ἡμετέρων ἀμπλακημάτων, καὶ τῷ σταυρῷ καθηλώσας, τήν τε ἁμαρτίαν καὶ τὸν θάνατον ἀνεσταύρωσεν. Ἐν αὐτῷ τοίνυν ἀσφαλῶς ἀναπνέω τῷ καθημένῳ ἐκ δεξιῶν σου, καὶ ὑπὲρ ἡμῶν μεσιτεύοντι· ἐν αὐτῷ θαῤῥῶν ἱκέσθαι πρὸς σὲ καθιμείρομαι, ἐν ᾧ ἤδη καὶ ἀνηγέρθημεν, καὶ ἀνεζωώθημεν· ἤδη μὲν γὰρ εἰς οὐρανὸν ἀνερχόμεθα, καὶ τοῖς οὐρανίοις συμπαρεδρεύομεν· σοὶ αἶνος, σοὶ δόξα, σοὶ τιμὴ, σοὶ εὐχαριστία.



ΚΕΦ. ΙΔ.

Ὅτι ὅσῳ ἐκτενεςέρα ἡ περὶ τὸν Θεὸν μελέτη γίνεται, τοσὅτῳ καθίςαται ἡδίων.

Πολυεύσπλαγχνε Κύριε, ὁ οὕτως ἡμᾶς ἀγαπήσας καὶ περισώσας! πολυεύσπλαγχνε Κύριε, ὡς ἡδίστη σου ἡ ἐπίμνησις! Ὅσῳ δὴ μᾶλλον ἐμμελετῶν σοι τυγχάνω, τοσούτῳ ἡδίων καὶ ἐρασμιώτερός μοι παρίστασαι· σφόδρα γὰρ κατευφραίνει με τὸ δι' ἀκραιφνοῦς νοῦ θεωρίας, καὶ διὰ γλυκυτάτου πόθου ψυχῆς, ἐν τῷ τῆς παροικίας μου τόπῳ ἐπὶ σοὶ διατιθεμένης, ἕως οὗ τοῖς ἐπικήροις ὧδε τούτοις συνεστηκὼς εἰμὶ μέλεσι, τὴν θαυμαστήν σου ἀγάπην τε καὶ καλλονήν, ᾗ περ ἐφικτόν μοι ἐστὶν, ἐπιθυμεῖν καὶ ἀκαταπαύστως ἀναλογίζεσθαι. Τῷ γὰρ βέλει τῆς σῆς ἀγάπης τέτρωμαι, καὶ τῷ περὶ σὲ ἱμέρῳ δεινῶς πυρπολοῦμαι, καὶ ὡς σὲ ἱκέσθαι ὀρέγομαι, καὶ σὲ θεάσασθαι καταγλίχομαι. Διὸ ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ὀφθαλμοῖς ἐγρηγορόσι ψαλῶ μὲν τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ, καὶ ὅλαις μου ταῖς δυνάμεσι σὲ τὸν πλαστουργόν μου καὶ ἀναπλάστην αἰνέσω. Διήξω δὴ καὶ δι' αὐτοῦ τοῦ πόλου, καὶ λογισμῷ τε καὶ πόθῳ μετὰ σοῦ ἔσομαι· ἵνα ἐπὶ τῆς ἐνεστώσης ἐμοὶ ἀθλιότητος, μόνῳ μὲν τῷ σώματι τοῖς παροῦσι κάτοχος ὦ, νοήσει δέ τε καὶ προθυμίᾳ ἀκορέστῳ, καὶ ἐν ὁλοψύχῳ μου τῇ ἐφέσει, ἀεί ποτε σὺν σοὶ ὑπάρχω· ἐκεῖ γάρ ἐστιν ἡ καρδία μου, ὅπου σὺ ὁ θησαυρός μου ὁ ποθεινὸς, καὶ ἀπαράβλητος, καὶ ὑπερεπέραστος.

Ἀλλ' ἰδοὺ νῦν ὁ Θεός μου ὁ πανάγαθος καὶ πανοικτίρμων, ἐν ᾧ τῆς ἀμέτρου σου ἀγαθότητος καὶ εὐσπλαγχνίας τὴν δόξαν

ἀναλογίσασθαι θέλω, οὐκ ἐπαρκοῦσα ἐστὶν ἡ καρδία μου· ὑπερέχει γὰρ αἴσθησιν πᾶσαν ψυχῆς βροτίας ἡ σὴ καλλονὴ, ἡ σὴ ὡραιότης, ἡ σὴ δύναμις, ἡ σὴ δόξα, ἡ σὴ εὐπρέπεια, ἡ σὴ μεγαλωσύνη, ἡ σὴ χρηστότης. Ὥσπερ γὰρ ἀνείκαστος ἐστὶν ἡ λαμπρότης τῆς δόξης σου, οὕτως ἀνεκδιήγητος ἐστὶ καὶ ἀνερμήνευτος ἡ ἐπιείκεια τῆς αἰωνίου σου ἀγαθοσύνης, δι᾿ ἧς περ οὓς τοῦ μηδενὸς παρήγαγες υἱοθετεῖς, καὶ σαυτῷ συνάπτεις.

ΚΕΦ. ΙΕ.

Ὅτι ἐπὶ τοῦ παρόντος βίϐ αἱ ὑπὲρ Χριςϐ θλίψεις εἰσὶν ἐπιθυμητέαι.

Ὦ ψυχὴ, εἴπερ ἡμᾶς ἔδει καθ᾿ ἑκάστην ἡμέραν στρεβλοῦσθαι διὰ κολάσεων, εἰ τὴν γέενναν αὐτὴν διὰ μακροῦ ὑπο μένειν, ὡς ἂν Χριστὸν δυνηθῶμεν ἰδεῖν ἐν τῇ δόξῃ αὐτοῦ, καὶ σὺν τοῖς ἁγίοις αὐτοῦ ἀναστρέφεσθαι, οὐχὶ ἀντάξιον εἴη ἅπαν ἡμᾶς ἀνιαρὸν ὑπομεῖναι, πρὸς τὸ ἀγαθοῦ τηλικούτου ἐν μεθέξει γενέσθαι, καὶ τοσαύτης τυχεῖν τῆς εὐδαιμονίας! Τοιγαροῦν ἑτοίμους οἱ δαίμονες τοὺς ἰδίους αὐτῶν πειρασμοὺς ἀδιαλείπτως ἐχόντων· θραυέτωσαν ἡμῖν αἱ ἀσιτίαι τὸ σῶμα· πιεζέτωσαν αὐτὸ τὰ τραχέα ἱμάτια, ἐπιβαρυνέτωσαν οἱ μόχθοι· καταβοάτω μου οὗτος, παρενοχλείτω μοι ἐκεῖνος, ἢ ἐκεῖνος· ἐπικυρτούτω με τὸ ῥίγος· ἐπιϋλακτείτω μοι τὸ συνειδός· περιφλεγέτω ἐπελθὼν ὁ καύσων· τὸ κὰρ ἐπαλγείτω· τὸ στέρνον πιμπράσθω, τὸ πρόσωπον ὠχριάτω, ὁλοσχερῆ με ἡ ἀῤῥωστία κατατρυχέτω· ἐκλιπέτω ἐν ὀδύναις ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς· ἐνσκηψάτω σηπεδὼν ἐν ὀστέοις μου, καὶ περὶ ἐμὲ ὁλοκλήρως τὰ ἕλκη βρυέτω· ἵνα τέως ἐν ἡμέρᾳ θλίψεως ἀναπαύσωμαι, καὶ ἀναβήσωμαι ἐπὶ τὸν λαὸν τὸν ἐμὸν, τὸν ἰσχὺν περιεζωσμένον.

Ὁποία γὰρ ἄρα ἡ τῶν δικαίων ἔσται δόξα ἐκείνη; ἡλίκη τῶν ἁγίων ἡ χαρμοσύνη, ὅτε πᾶν πρόσωπον ἐκλάμψει ὡς ἥλιος; ὅτε τὰς αὐτοῦ τάξεις διαστέλλων ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς ὁ Κύριος, ἄρξηται καταλέγειν, καὶ κατ' ἀξίαν τὴν αὐτῶν καὶ τὰς πράξεις, τὰ ἐπηγγελμένα ἑκάστῳ ἐπιβραβεύειν, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν μικρῶν τὰ μεγάλα; Ὄντως ὁ τῆς εὐδαιμονίας σωρὸς ἐκεῖ ἔσται· ἡνίκα τοὺς ἁγίους αὐτοῦ εἰς θέαν τῆς δόξης τοῦ Πατρὸς αὐτοῦ ἐν οὐρανοῖς συνιδρύσει, ἵνα ὁ Θεὸς ᾖ τὰ πάντα ἐν πᾶσιν.

ΚΕΦ. Ις.

Ὅπως ἡ τῶν ὀυρανῶν βασιλεία ἔχοι ἂν πορίζεσθαι.

Ὦ τῆς πανευδαίμονος τέρψεως, καὶ τῆς παντέρπνου εὐδαιμονίας! τὸ τοὺς ἁγίους καθορᾷν, καὶ μετὰ τῶν ἁγίων χρηματίζειν ἅγιον! τὸ τὸν Θεὸν θεᾶσθαι, καὶ τὸν Θεὸν ἔχειν ἐπ' αἰῶνος καὶ εἰς αἰῶνα, καὶ ἔτι! Ταῦτα προσεχόντως τε καὶ ἐπιμελῶς ἐννοῶμεν· τούτων ὅλῳ τῷ πόθῳ ἐφιώμεθα, ἵν' ἐς αὐτὰ δυνηθῶμεν ταχὺ ἐφικέσθαι. Πυνθάνῃ ὅπως τοῦτ' ἂν ἔχοι γενέσθαι; καὶ οἷς τισιν ἔργοις καὶ βοηθήμασιν; ἄκουε· παρ' αὐτῷ τῷ ἐργαζομένῳ κεῖται τὸ πρᾶγμα· ἡ γὰρ τῶν οὐρανῶν βασιλεία βιάζεται.

Ἡ Βασιλεία ἡ οὐράνιος, ὦ ἄνθρωπε, οὐδὲν ἕτερον ἀπαιτεῖ πρὸς ἐκτίμησιν παρὰ σὲ αὐτόν· τοσούτου γε τιμᾶται, ὅσου αὐτὸς τιμήματος εἶ. Δὸς σαυτὸν, καὶ ἕξεις ἐκείνην. Τί περὶ τῆς ἐξωνήσεως τυρβάζῃ; Χριστὸς ἑαυτὸν ἔδωκεν, ἵνα σὲ κτήσηται, βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὡσαύτως καὶ σὺ δὸς σεαυτὸν, ὅπως ἂν ᾖς ἡ βασιλεία αὐτοῦ, καὶ μὴ βασιλεύουσα ᾖ ἐν τῷ θνητῷ σώματί σου ἡ ἁμαρτία, ἀλλὰ τὸ πνεῦμα, ἐν κληρονομίᾳ ζωῆς.

ΚΕΦ. ΙΖ.

Τί ἐςὶν ὁ παράδεισος, καὶ οἷα τὰ ἐν αὐτῷ.

Ἐπὶ τὴν οὐράνιον, ὦ ψυχή, ἐπανέλθωμεν πόλιν, ἐν ᾗ κατεγράφημεν, ἧς περ εἶναι πολῖται ἀνεψηφίσθημεν. Ὡς οὖν συμπολῖται τοῖς ἁγίοις, καὶ οἰκεῖοι Θεῷ, καὶ ὡς κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστῷ, διασκεψώμεθα τὴν περίδοξον τῆς ἡμεδαπῆς πόλεως εὐκληρίαν, καθ᾽ ὅσον ἡμῖν οἷόν τε περισκέψασθαι, καὶ εἴπωμεν ἄρα μετὰ τοῦ Προφήτου. »Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ »ἡ πόλις τοῦ Θεοῦ! ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί!» Τεθεμελίωσαι γὰρ ἐν ἀγαλλιάματι πάσης τῆς γῆς· οὐκ ἔστι γῆρας ἐν σοί, οὐδὲ γήρως ταλαιπωρία· οὐκ ἔστιν ἐν σοὶ ἀνάπηρος, οὐδὲ χωλὸς, οὐδὲ κυφὸς, οὐδὲ δύσμορφος· παρίστανται γὰρ οἱ πάντες ἐν βίῳ τελείῳ, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Τί τοῦ τοιοῦδε βίου μακαριώτερον, ἐν ᾧ οὔτε δέος ὕπεστι πτωχείας, οὔτε κακουχία νοσήματος; Οὐδεὶς αὐτόθι ὁ λυμαινόμενος, οὐδεὶς ὁ ἐν ὀργῇ χαλεπαίνων, οὐδεὶς ὁ ἐπιβασκαίνων· οὔτις ὄρεξις ἐπιφλεγμαίνει, οὔτις βρώσεως ἐπιθυμία ὀρίνει, οὔτις φιλοδοξίας, ἢ σπουδαρχίας τύφος προσβάλλει. Οὔτις ἐκεῖ πρὸς τοῦ διαβόλου πτόησις, οὐδ᾽ αἱ ὑπὸ τῶν κακοδαιμόνων διατυρευόμεναι ἐπιβουλίαι καὶ ἔνεδραι. Καὶ ὁ φόβος δὲ ὁ τῆς γεέννης μακράν· καὶ οὔτε σώματος θάνατος, οὔτε ψυχῆς, ἀλλὰ δῶρον ἀθανασίας βίος εὐφρόσυνος. Οὐδὲν γὰρ κακὸν τηνικαῦτα· οὐδαμοῦ γὰρ διχοφροσύνη, σύμφωνα δὲ καὶ ἐναρμόνια πάντα· ὅτι μία ἡ τῶν ἁγίων συμπάντων ἔσται ὁμόνοια. Εἰρήνη τὰ πάντα καὶ φαιδρότης ἐκεῖ συνέχει. Πάντα δ᾽ ἐστὶ γαλήνιά τε καὶ ἡσυχαῖα. Διηνεκὴς δὲ ἡ φαιδρότης

καὶ αἴγλη, οὐχ οἷα περ ἡ παρ' ἡμῖν ἤδη· τοσούτῳ δ' ἀγλαεστέρα, ὅσῳ εὐδαιμονεστέρα· ἡ γὰρ πόλις ἐκείνη, καθὰ γέγραπται, οὐ χρείαν ἔχει ἡλίου, οὐδὲ σελήνης, ἀλλ' ἡ δόξα ἡ τοῦ Θεοῦ φωτιεῖ αὐτήν, καὶ ὁ λύχνος αὐτῆς ἐστὶ τὸ ἀρνίον, ἐν ᾗ ἐκλάμψουσιν οἱ ἅγιοι ἐπὶ τοῦ στερεώματος ὡς ἀστέρες. εἰς αἰῶνας αἰώνων.

Διὸ οὐδὲ νὺξ ἐκεῖ, οὐδὲ σκοτία, οὐδὲ νεφῶν συμπίλησις, οὐδέ γε καύσωνός τις, ἢ ψύχους τραχύτης· οὕτω δέ τοι εὐκραής ἐστιν ἡ τῶν ἐκεῖ εὐαρμοστία, οἵαν οὐδ' ὀφθαλμός ποτε εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδ' ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, εἰ μὴ ἐκείνων ὅσοι τῆς τοιᾶσδε τυχεῖν ἀπολαύσεως ἄξιοι γένοιντο, ὧν τὰ ὀνόματα ἀπεγράφη ἐν βίβλῳ ζωῆς. Ἐπὶ δὲ δὴ τοῖς ῥηθεῖσιν ἅπασι προσγίνεται καὶ τὸ ἀναστρέφεσθαι ἐν χοροῖς Ἀγγέλων τε καὶ Ἀρχαγγέλων, καὶ πασῶν τῶν ἐπουρανίων ἄλλων Δυνάμεων, καὶ τὸ θεᾶσθαι Πατριάρχας τε καὶ Προφήτας, καὶ τοὺς Ἀποστόλους δὲ ἐπιδέρκεσθαι, καὶ σύμπαντας τοὺς ἁγίους, καὶ μὲν δὴ καὶ τοὺς ἰδίους ἑαυτῶν ἔτι ἑκάστοις γεννήτορας. Καὶ περίδοξα μὲν δὴ τάδε πάντα, ἀλλ' ἀπαραθέτως ἐστὶν ὑπερέχον τῇ δόξῃ τὸ παρόντα Θεὸν ἐν προσώπῳ θεᾶσθαι, καὶ τὸ φῶς ἐκεῖνο τὸ ἀπερίγραπτον καθαρῶς κατοπτεύειν. Ὑπεραίρουσα γὰρ πάντως ἔσται ἡ δόξα τὸν Θεὸν αὐτὸν ἐν αὐτῷ κατιδεῖν. Ὀψόμεθά τε καὶ γὰρ, καὶ ἕξομεν ἐν σφίσιν αὐτοῖς, καὶ τῆς τοιαύτης οὐκ ἔσται τέλος.

ΚΕΦ. ΙΗ.

Ὅτι ἄνθρωπος ȣδὲν ἔχει ὅ,τι περ ἂν τῷ Θεῷ ἀποδῷ, εἰμὴ διὰ τῆς ἀγάπης.

Ἡ ψυχὴ ἐπίσημος οὖσα τῷ κατ' εἰκόνα εἶναι Θεοῦ, λαμπρὰ δὲ τῷ καθ' ὁμοίωσιν, ἔχει τι δι' οὗ ἂν παραινοῖτο ἀεί ποτε, ἤτοι σὺν

τῷ Θεῷ ἀχωρίστως μένειν, ἢ γοῦν πρὸς αὐτὸν ἐπανιέναι, εἴποτε δὶ ἰδίας προαιρέσεως, ἢ μᾶλλον εἰπεῖν κακίας, ἀπὸ Θεοῦ ἀποσταίη· οὐ μόνον δὲ συγγνώμης τε καὶ ἐλέους ἐλπίδι ἔχοι ἂν ὅθεν ἀναπνεύσειεν, ἀλλ᾽ ἔτι καὶ ὅθεν ἐπορεχθῆναι ἐπιθαρσήσειεν νυμφευθῆναι τῷ λόγῳ, καὶ Θεῷ σπεισαμένη, μετὰ τοῦ δεσπόζοντος τῶν Ἀγγέλων τὸν γλυκὺν ἄγειν τῆς ἀγάπης ζυγόν.

Ταῦτα πάντα ἐπιτελεῖ ἡ ἀγάπη, ἐὰν ἐκθύμως ἑαυτὴν ἡ ψυχὴ ὁμοίαν τῷ Θεῷ παραστήσεται, ᾧ καθομοιοῦσθαι φύσει δεδημιούργηται· ἀγαπήσασα δηλονότι καθάπερ ἠγάπηται. Ἐν γὰρ ἁπάσαις ταῖς ψυχικαῖς κινήσεσί τε, καὶ διαθέσεσι, καὶ αἰσθήσεσι, μόνη ἐστὶν ἡ ἀγάπη, καθ᾽ ἣν ἂν ἔχοι τὸ κτίσμα, εἰ καὶ μὴ ἐξ ἴσου, ἀνταποκρίνασθαι τῷ δημιουργήσαντι, ἢ αὐτὸν ἀντιπαραμείψασθαι· ἔνθα γὰρ ἂν ἡ ἀγάπη προσγένηται, τὰ λοιπὰ πάντα σὺν ἑαυτῇ συνεισφέρει, καὶ αἰχμαλωτίζει τὰ πάθη. Ἡ ἀγάπη καθ᾽ ἑαυτὴν ἐξαρκεῖ, καί γε καθ᾽ ἑαυτὴν αὐτὴ, καὶ δὶ ἑαυτὴν, εὐάρεστος γίγνεται· ἡ αὐτὴ καὶ ἆθλος, καὶ ἔπαθλον· αὐτὴ καὶ ἡ τοῦ καρποφορῆσαι αἰτία, αὐτὴ καὶ ὁ καρπὸς, αὐτὴ καὶ ἡ χρῆσις· διὰ γὰρ ἀγάπης τῷ Θεῷ συνενούμεθα.

Ἡ ἀγάπη συγκροτεῖ πνεῦμα ἓν ἐκ δυοῖν· ἡ ἀγάπη ἀμφοτέρους ποιεῖ τὸ αὐτὸ θέλειν, καὶ τὸ αὐτὸ μὴ θέλειν. Ἔργον δὲ ἀγάπης, πρῶτον μὲν τὸ τὰ ἤθη ἐπικοσμεῖν καὶ καταρτίζειν· ἔπειτα τὸ τὰ παρόντα ὡς μὴ παρόντα λογίζεσθαι· τρίτον δὲ, τὸ ἐν καθαρῷ τῷ τῆς καρδίας βλέμματι, καὶ τὰ ἀνωτέρω συνορᾷν τῆς ψυχῆς, καὶ τῶν ἐν αὐτῇ τὰ μυχαίτατα. Διὰ τῆς ἀγάπης πρὸ πάντων τὰ ἐν τῷ βίῳ καθήκοντα κατορθοῦται. Ἑξῆς, τὰ ἐν τῷ αἰῶνι τοῦ κόσμου διὰ τιμῆς ἀγόμενα καταφρονεῖται· τελευταῖον, καὶ τελευταῖον, καὶ αὐτὰ τὰ ἐν τῷ Θεῷ ἐνδότατα καθορᾶται.



ΚΕΦ. ΙΘ.

Ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἀπαιτεῖ τὸ καθ᾽ ὁμοίωσιν τὴν αὐτȣ͂.

Ὁ Θεὸς καὶ Πατὴρ ἀγάπη ἐστίν· ὁ Θεὸς ὁ Υἱὸς καὶ λόγος ἀγάπη ἐστὶ· τὸ Πνεῦμα τὸ ἅγιον, ἡ Πατρὸς καὶ Υἱοῦ ἀγάπη ἐστίν· ἡ δὲ ἀγάπη αὕτη ὅμοιόν τι καὶ παρ᾽ ἡμῶν ἀπαιτεῖ, τουτέστιν ἀγάπην, δι᾽ ἧς ἂν ὡσεὶ διά τινος συγγενικῆς οἰκειώσεως αὐτῷ τῷ Θεῷ καὶ ἡμεῖς συναπτοίμεθά τε καὶ συνενοίμεθα. Ἡ ἀγάπη ὑπεροχὴν οὐκ οἶδεν, ὑποστολὴν οὐκ ἐπίσταται. Ὁ ἀγαπῶν καθ᾽ ἑαυτὸν πρόσεισι τῷ Θεῷ, πεποιθότως τε καὶ συνήθως αὐτῷ προσφθέγγεται, μηδὲν ὑποπτήσσων, μηδ᾽ ὑποστελλόμενος. Ἀπόλλυσιν ὅ,τι καὶ ζῶν ἐστὶν ὁ μὴ τὸν Θεὸν ἀγαπῶν· ὃς δ᾽ ἂν ἀγαπᾷ, τοὺς ὀφθαλμοὺς ἀεὶ πρὸς αὐτὸν ἐστὶν ἐπιστρέφων, ὃν περ ἀγαπᾷ, ὃν ἐπιποθεῖ, ἐν ᾧ μελετᾷ, περὶ ὃν εὐφραίνεται, δι᾽ οὗ τρέφεται, ἐξ οὗ ἐκπιαίνεται.

Ὁ ταύτῃ γε τῷ Θεῷ καθωσιωμένος οὕτως ᾄδει, οὕτως ἀναγινώσκει, οὕτως ἐν ἁπάσαις αὐτοῦ ταῖς πράξεσι προνοητικῶς ἔχει καὶ περιεσκεμμένως, ὡς εἰ παρῆν ἀδιαλείπτως ὁ Θεὸς ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ, καθαπεροῦν τῷ ὄντι καὶ πάρεστιν· οὕτω προσεύχεται, ὡς εἴπερ ἀναληφθεὶς εἴη, καὶ παρεστηκὼς πρὸ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, ἔνθα χίλιαι χιλιάδες Θεῷ λειτουργοῦσι, καὶ μύριαι μυριάδες περιεστήκασιν. Ἣν δ᾽ ἂν ἄρα ψυχήν ποτε ἡ οὕτως ἔνθεος ἐπισκέψαιτο ἀγάπη, ταύτην ἀφυπνίζει καθεύδουσαν, καὶ κινεῖ, καὶ μαλθάσσει, καὶ τὴν καρδίαν αὐτῆς τραυματίζει, καὶ τὰ μὲν ἐπισκοτασθέντα ἐν αὐτῇ διαυγάζει, τὰ δὲ ἐμφραγέντα διανοίγει, τὰ δὲ ψυχρανθέντα διακαίει· καὶ χαλεπό-

τητα, καὶ ὀργιλότητα, καὶ ἀπλησίαν πᾶσαν αὐτῇ ἐνεγειρομένην διαπραΰνει, καὶ τὰς λοιπὰς δὲ τῶν μοχθηριῶν φυγαδεύει, τὰς τῆς σαρκὸς προσπαθείας καταπιέζει, τὰ ἤθη ἐπιδιορθοῖ, τὸ πνεῦμα μεταμορφοῖ καὶ ἀνακαινίζει, καί γε τὰς τῆς εὐολίσθου ἡλικίας ὁρμάς τε καὶ κουφοτέρας ἐνεργείας ἀναχαιτίζει. Ταῦτα δὴ πάντα ἐκτελεῖ ἡ ἀγάπη, ἕς τ' ἂν παρῇ· ἀποιχομένης δὲ, ἡ ψυχὴ οὕτω παρεῖσθαι ἄρχεται καὶ ἐξατονεῖν, ὡς ἂν εἴπερ ἀπὸ λέβητος τοῦ ἐκζέοντος, τὸ πῦρ ὑφέλοιο τὸ ὑποκαιόμενον.

ΚΕΦ. Κ.

Περὶ πεποιθήσεως ψυχῆς τῆς τὸν Θεὸν ἀγαπώσης.

Ὡς μέγα τι ἐστὶν ἡ ἀγάπη, δι' ἧς ἡ ψυχὴ πρόσεισι καθ' ἑαυτὴν τῷ Θεῷ πεποιθότως! τῷ Θεῷ προσκολλᾶται στεῤῥῶς, τὸν Θεὸν ἐπερωτᾷ συνήθως, καὶ περὶ παντὸς αἱρεῖται βουλεύεσθαι. Ψυχὴ ἡ Θεὸν ἀγαπῶσα, οὐδὲν ἕτερον ἔχει νοῆσαι, οὐδὲν φθέγξασθαι, τῶν λοιπῶν κατολιγωρεῖ, πρὸς πάντα ἀηδῶς διάκειται· ὅ,τι ποτ' ἂν μελετώῃ· ὅ,τι δ' ἂν φράζῃ, ἀγάπης τοῦτο γεῦσιν τε καὶ ὀσμὴν ἀποφέρει. Οὕτως ἡ τοῦ Θεοῦ ἀγάπη τὴν τοιάνδε ψυχὴν ἑαυτῇ περιεποιήσατο, καὶ ἐξῳκειώσατο! Ὁ τοίνυν θέλων τοῦ Θεοῦ ἔχειν ἐπίγνωσιν, τὸν Θεὸν ἀγαπάτω. Ὁ μὴ τὸν Θεὸν ἀγαπῶν, μάτην ἐπιλαμβάνει περὶ Θεοῦ ἀναγινώσκειν, μελετᾷν, ἀνακηρύττειν, προσεύχεσθαι. Ἡ τοῦ Θεοῦ ἀγάπη ἀγάπην τὴν ἐκ ψυχῆς τίκτει, καὶ ταύτην ἑαυτῇ παρασκευάζει ἐντείνεσθαι. Ἀγαπᾷ γὰρ τὸν Θεὸν, ἐφ' ᾧ ἀγαπᾶσθαι· ἀγαπῶσα δὲ, οὐδὲν ἀλλ' ἢ τοῦτο βούλεται, εὖ δὴ τοῦτο εἰδυῖα, ὅτι διὰ τῆς ἀγάπης καθίστανται μακάριοι οἱ σφᾶς αὐτοὺς ἀγαπήσαντες.

Ἡ ἀγαπῶσα ψυχὴ ταῖς ἄλλαις ἑαυτῆς ἀποτάσσεται ἐπιθυμίαις ἁπάσαις, ὅλη δ᾽ ἐπὶ τὴν ἀγάπην ἔγκειται μόνην, ὡς ἂν ἀγάπῃ τὴν ἀγάπην ἔχοι ἀντεπαμείβεσθαι· ὅλης δὲ οὕτως εἰς ἀγάπησιν τῆς ψυχῆς διαχωμένης, ἡλίκη τίς ἄρα ἐστὶ πρὸς τὴν ἑτέραν ἀένναον ἐκείνην πηγὴν αὐτῆς ἡ ἐπίῤῥοια; οὔκουν παρίσῳ τῇ δαψιλείᾳ συντρέχετον ἡ ἀγάπη καὶ ὁ ἀγαπῶν· ψυχὴ καὶ Θεὸς, κτίστης καὶ κτίσμα· ἀλλ᾽ εἴπερ ἄρα ἐξ ὅλης ἑαυτῆς ἡ ψυχὴ ἀγαπᾷ, οὐδὲν ἄπεστιν ἔνθα τὸ ὅλον ἐστί. Μηδὲν δεδιέτω ψυχὴ ἡ ἀγαπῶσα, ἡ μὴ ἀγαπῶσα φοβείσθω.

Ψυχὴ ἡ ἀληθῶς ἀγαπῶσα εὐχαῖς ἄγεται, ἐφέσεσιν ἕλκεται, ἀξιοπρεπείας οὐκ ἐλλογεῖ, πρὸς τὸ μεγαλεῖον ὀφθαλμοὺς διανοίας συμμύει, πρὸς τὸ ἐφῆδον ἀνοίγνυσιν, ἐπὶ τὸ σωτηριῶδες ἑαυτὴν ἀνατίθησι, καὶ πεποιθότως ἐν αὐτῷ διάγει. Διὰ τῆς ἀγάπης ἀποχωρεῖ πως ἡ ψυχὴ, καὶ τῶν σωματικῶν αἰσθήσεων ἀπεξίσταται, ὡς ἀναισθητεῖν ἑαυτῆς αἰσθανομένην τοῦ Θεοῦ. Τοῦτο δ᾽ ἐκτελεῖται ὁπηνίκα, ὑπὸ τῆς ἐν τῷ Θεῷ ἀνερμηνεύτου γλυκύτητος ἐπιθελγόμενος ὁ νοῦς, ἑαυτῷ πως ἑαυτὸν ὑποκλέπτει, ἢ μᾶλλον ἁρπάζεται, καὶ ἑαυτοῦ διεκπίπτει, ἵνα τοῦ Θεοῦ ἀπολαύσῃ ἐν ἀγαλλιάσει. Οὐδὲν οὕτως ἀγαλλιῶδες, εἰμὴ ἐν οὕτω βραχεῖ τελοῖτο. Ἡ ἀγάπη τὴν πρὸς Θεὸν μνηστεύει οἰκείωσιν· ἡ δὲ οἰκείωσις τὸ θάρσος, τὸ δὲ θάρσος τὴν γεῦσιν, ἡ δὲ γεῦσις τὴν πεῖναν. Ἡ ψυχὴ, ἧς ὁ θεῖος ἅπτεται ἔρως, οὐδὲν ἕτερον λογίζεσθαι δύναται, οὐδὲν ἐπιποθεῖν· ἀλλὰ συνεχὲς στενάζουσα λέγει. » Ὃν » τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως » ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. »



ΚΕΦ. ΚΑ.

Τί ὁ Θεὸς ὑπὲρ τȣ̃ ἀνθρώπȣ εἰργάσατο.

Ἐξ ἀγάπης ἦλθεν ὁ Θεὸς εἰς ἀνθρώπους, ἦλθεν ἐν ἀνθρώποις, ἐγένετο ἄνθρωπος· ἐξ ἀγάπης ὁ Θεὸς ὁ ἀόρατος ὅμοιος ἐγένετο τοῖς αὐτοῦ δούλοις· ἐξ ἀγάπης διὰ τὰς ἁμαρτίας ἡμῶν ἐτραυματίσθη. Παντελὴς καὶ στεῤῥά ἐστιν ἡ ἀνάπαυσις τοῖς ἀσθενέσι τε καὶ ἁμαρτωλοῖς ἐν τοῖς τραύμασι τοῖς τοῦ Σωτῆρος. Ἐν ἀσφαλεῖ κατοικῶν εἰμὶ ἔνθα μοι, δἰ ὧν ὑπέστη μωλώπων, τὰ σπλάγχνα ἠνέῳκται τοῦ ὑπὲρ ἐμοῦ παθόντος. Ὅ,τι ἂν ἐμοὶ παῤ ἐμοῦ ἐνδέοι, ἄρνυμαι ἐμαυτῷ ἀπὸ τῶν σπλάγχνων τῶν τοῦ Κυρίου μου· δαψιλῶς γὰρ ἐκεῖθεν ἀποῤῥεῖ τὰ ἐλέη, οὐδ' ἄπεισιν οἱ ὀχετοὶ δἰ ὧν ἐκρεύσειαν· διὰ τῶν τῆς, ἣν προσείληφε σαρκὸς, διατρήσεων διάδηλά μοι ἐστὶ τὰ τῆς καρδίας ἀπόκρυφα τῆς ἐκείνου· ἀποκεκάλυπται τὸ μέγα τῆς φιλανθρωπίας μυστήριον· ἠνέῳκται τὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ ἡμῶν σπλάγχνα, » ἐν οἷς ἐπεσκέψατο ἡμᾶς » ἀνατολὴ ἐξ ὕψους. »

Τὰ τοῦ Ἰησοῦ Χριστοῦ τραύματα ἔμπλεα ἐστὶν ἐλέους, ἔμπλεα οἴκτου, ἔμπλεα γλυκύτητος καὶ ἀγάπης. Ὤρυξαν χεῖρας αὐτοῦ καὶ πόδας, καὶ λόγχῃ αὐτοῦ τὴν πλευρὰν διένυξαν. Διὰ τούτων οὖν τῶν ὀπῶν ἔνεστί μοι γεύσασθαι καὶ ἰδεῖν, ὅσον χρηστὸς ἐστὶν ὁ Κύριος καὶ Θεός μου. » Ὅτι τῷ ὄντι χρηστὸς ἐστὶ, καὶ ἐπιεικὴς, » καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, πᾶσι » τοῖς ἐκζητοῦσιν αὐτὸν, καὶ διαφερόντως τοῖς ἀγαπῶσιν αὐτόν. » Περιούσιος ἡ ἐξαγορὰ ἡμῶν κατεβλήθη ἐν τοῖς τραύμασιν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Μέγα τὸ πλῆθος τῆς χρηστότητος, τὸ πλήρωμα τῆς χάριτος, καὶ τὸ ὑπερτελὲς τῆς ἰσχύος αὐτοῦ καὶ δυνάμεως.

ΚΕΦ. ΚΒ.

Περὶ ἀναμνήσεως τῶν μωλώπων τοῦ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριςȣ̃.

Ἐπειδάν μοι αἰσχρά τις προσβάλλει ἐνθύμησις, ἐπὶ τὰς τοῦ Χριστοῦ παραυτίκα πληγὰς ἀνατρέχω· ἐπειδὰν ἡ σάρξ με πιέζει, διὰ τῆς ἐπαναμνήσεως τῶν πληγῶν τοῦ Κυρίου μου ἐξανίσταμαι· ἐπειδάν μοι ὁ διάβολος ἐνέδρας παρασκευάζει, ἐπὶ τὰ ἐλεήμονα σπλάγχνα τοῦ Κυρίου μου καταφεύγω, καὶ ἀποχωρεῖ ἀπ' ἐμοῦ. Ἐὰν ἀκολασίας ἐκπύρωσις ἐνεγερθῇ ἐν τοῖς μέλεσί μου, διὰ τῆς μνήμης τῶν μωλώπων τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀποσβέννυται. Ἐφ' οἱασοῦν ἀντεπανισταμένης κατ' ἐμοῦ περιστάσεως οὐδὲν οὕτω δραστήριον φάρμακον εὗρον, ὡς τὰ τοῦ Χριστοῦ τραύματα· ἐν αὐτοῖς ἀσφαλῶς ἐγὼ καθεύδω, καὶ ἀδεῶς ἀναπαύομαι.

Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν· οὐδὲν οὕτω κατάπικρον ἕως θανάτου ἐστὶ, τὸ διὰ τοῦ θανάτου τοῦ Χριστοῦ μὴ ἐπιδεχόμενον ἄκεσιν· ἅπασα ἡ ἐμὴ ἐλπὶς ἐν τῷ θανάτῳ τοῦ Κυρίου μου κεῖται· ὁ θάνατος αὐτοῦ ἐστὶν ἡ ἐμὴ ἀξιομισθία· αὐτὸς ἡ καταφυγή μου, ἡ σωτηρία μου, ἡ πρὸς ζωὴν ἐξανάστασίς μου. Ἀξιομισθία δ' ἐμὴ, ἡ τοῦ Κυρίου μου ἐστὶν εὐσπλαγχνία, οὐδ' ἀνάξιος ἐγὼ μισθοῦ πάντῃ, ἐφ' ὅσον οὐκ ἄπεστι τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους ὁ Κύριος· καὶ εἴπερ οἱ οἰκτιρμοὶ τοῦ ἐμοῦ Κυρίου πολλοὶ, λίαν καὶ αὐτὸς εἰμὶ ἀξιόμισθος. Ὅσῳ εἰς τὸ σώζειν ἐκεῖνος ἐστὶ κραταιότερος, τοσούτῳ εἰς τὸ σωθῆναι ἐγὼ ἀσφαλέστερος.



ΚΕΦ. ΚΓ.

Ὅτι ἡ τῶν Χριςȣ̃ μωλώπων ἀνάμνησις φάρμακον ἐςὶ κατὰ πάσης ἀντιφερομένης ἐπηρείας δραςηριώτατον.

Ἥμαρτον ἁμαρτίαν μεγάλην, σύνοιδά τε ἐμαυτῷ πολλοῖς συνεχομένῳ ἐγκλήμασι, καὶ οὐδ᾽ οὕτως ἔμπης ἐν ἀπογνώσει καταπίπτω, εἰδὼς ὅτι ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ ὑπερεπλεόνασε καὶ ἡ χάρις· ὁ ἐπὶ τῇ συγγνώμῃ τῶν ἑαυτοῦ ἁμαρτημάτων ἀνελπίστως ἔχων, τὸν Θεὸν ἀπαναίνεται εἶναι οἰκτίρμονα. Ὕβριν Θεῷ προστρίβει μεγάλην, ὁ περὶ τὸ αὐτοῦ ἔλεος διαπιστῶν· ἀπόφησιν, ὅσον τὸ ἐφ᾽ ἑαυτῷ, τὴν ἐν τῷ Θεῷ ἀγάπην, καὶ τὴν ἀλήθειαν, καὶ τὴν δύναμιν, ἐν οἷς ἡ ἐλπίς μου πᾶσα ὑφίσταται· ἀμέλειτοι, ἐν τῇ ἀγαπήσει τῇ διὰ τῆς υἱοθετήσεως, ἐν τῇ ἀληθείᾳ τῇ κατὰ τὴν δοθεῖσαν ἐπαγγελίαν, καὶ ἐν τῇ δυνάμει τῇ ἐπὶ τῆς ἐκτελεσθείσης ἐξαγορᾶς. Γογγυζέτω δὴ ὅσον ἂν καὶ βούλοιτο, διαλογιζομένη ἡ ἐν ἐμοὶ ἀφροσύνη, λέγουσα· τίς γὰρ εἶ σύ; καὶ ἡλίκη τις ἡ δόξα ἐστὶν ἐκείνη; ἐπὶ τίσι δ᾽ ἀγαθοῖς ἔργοις πέποιθας αὐτῆς ἀπολαύσειν; Κᾀυτὸς θαῤῥούντως ἀποκρινοῦμαι· οἶδ᾽ ἐγὼ καλῶς τίνι πεπίστευκα· οἶδα ἡλίκῃ ὅσῃ τῇ ἀγαπήσει με υἱοθετῆσαι ηὐδόκησεν· οἶδ᾽ ὅτι ἀψευδής ἐστὶ τὴν ἐπαγγελίαν, δυνατὸς τὴν ἐπίδοσιν· ὅτι ἔξεστιν αὐτῷ ποιεῖν ὅσα καὶ βούλεται.

Οὐκ ἔχω φοβεῖσθαι διὰ τὸ τῶν ἐμῶν ἁμαρτιῶν πλῆθος, ἀναπολῶν τῇ διανοίᾳ τὸν τοῦ Κυρίου θάνατον, ὅτι τὰ ὑπ᾽ ἐμοῦ ἐξημαρτημένα ὑπερβάλλειν ἐκεῖνον οὐ δύναται. Οἱ ἧλοι, καὶ ἡ λόγχη κεκράγασί μοι, ὅτι ἀληθῶς τῷ Χριστῷ κατηλλάγην, ἐὰν αὐτὸν

ἀγαπήσω. Λογγῖνος τῇ αὐτοῦ λόγχῃ τὴν τοῦ Χριστοῦ πλευρὰν διήνοιξέ μοι, κἀγὼ εἰσέδυν, καὶ ἀσφαλῶς ἐνταῦθα ἐναναπαύομαι. Ὁ φοβούμενος ἀγαπησάτω· ὅτι ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον. Οὐδὲν οὕτως ἰσχυρὸν ἐστὶν, οὐδ᾽ οὕτω δραστήριον κατὰ τῆς φλογὸς τῆς ἀκολασίας φάρμακον, ὡς ὁ τοῦ Σωτῆρος τοῦ ἐμοῦ θάνατος. Ἐξέτεινε τοὺς αὐτοῦ βραχίονας ἐπὶ τοῦ σταυροῦ, καὶ τὰς αὐτοῦ χεῖρας ἐφήπλωσεν, ἑτοίμως ἔχων τοὺς ἁμαρτωλοὺς προσιόντας ἐναγκαλίσασθαι· ἐν ταῖς τοῦ ἐμοῦ σωτῆρος ἀγκάλαις καὶ ζῆν ἐθέλω, καὶ θανεῖν ἐφίεμαι· αὐτόθι ἐν ἀσφαλείᾳ θαῤῥαλέως ᾄσομαι· »Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ ἔυφρα» νας τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ.» Ἔκλινεν ὁ Σωτὴρ τὴν κεφαλὴν αὐτοῦ ἐν τῷ θνήσκειν, ὡς καταφιλήσων οὓς περ ἠγάπησε. Τοσάκις δ᾽ αὐτοὶ τὸν Θεὸν καταφιλοῦμεν, ὁσάκις διὰ τῆς πρὸς αὐτὸν ἀγάπης κατανυσσόμεθα.

ΚΕΦ. ΚΔ.

Ψυχὴ μελέτην ποιεμένη τὴν Χριστοῦ ἀγάπην.

Ψυχή μου, ἡ κατ᾽ εἰκόνα τοῦ Θεοῦ διακοσμηθεῖσα, ἡ τῷ τοῦ Χριστοῦ αἵματι ἐξαγορασθεῖσα, ἡ τῇ πίστει μνηστευθεῖσα, τῷ Πνεύματι προικισθεῖσα, ἀρεταῖς ἐπαγλαϊσθεῖσα, Ἀγγέλοις συγκαταταχθεῖσα, φίλει τὸν σὲ τοσοῦτον φιλήσαντα· πρόσεχε τῷ σοὶ προσανέχοντι· ζήτει τὸν σὲ ζητοῦντα· ἀγάπα τὸν σὲ ἀγαπήσαντα, καὶ σὲ ἀγαπῆσαι προφθάσαντα, καὶ παραίτιον δὲ ὄντα καὶ τῆς σῆς ἀγαπήσεως. Αὐτὸς γάρ σοι καὶ ὁ ἆθλος ἐστὶ, καὶ τὸ ἆθλον· αὐτὸς ὁ καρπὸς, αὐτὸς ἡ ἀπόλαυσις, αὐτὸς ὁ τέρμων·

μελέτω σοι ἐκείνου, ᾧ δὴ μέλει καὶ σοῦ. Ἐνασχολοῦ περὶ τὸν σὲ προσκαλοῦντα· μετὰ τοῦ καθαροῦ καθαρὰ, μετὰ τοῦ ἁγίου ἁγία. Οἵα περ ἂν αὐτὴ τῷ Θεῷ παραστῇς, τοιοῦτον εἰκὸς καὶ τὸν Θεὸν σοὶ παραστήσεσθαι. Ὁ χρηστὸς ὢν καὶ ἐπιεικὴς καὶ πολυέλεος, χρηστοὺς καὶ ἐπιεικεῖς ὡσαύτως καὶ πραεῖς, καὶ ταπεινοὺς καὶ φιλελεήμονας ἀπαιτεῖ τοὺς ὄντας αὐτοῦ· ἀγάπησον τὸν ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος ἐξαγαγόντα σε.

Ὑπὲρ πάντας τοὺς φίλους σου ἑλοῦ φίλον ἔχειν, τὸν, ἐπειδὰν σοι ἅπαντα ὑφαιρεθείη, μόνον σοι τὴν πίστιν τηρήσοντα. Ἐν ἡμέρᾳ τοῦ ἐνταφιασμοῦ σου, ἐπειδὰν ἅπαντες οἱ σοὶ φίλοι ἀπὸ σοῦ ἀποστήσωνται, αὐτὸς οὔ σε ἐγκαταλείψει, ἀλλ' ἀπὸ τῶν κατὰ σοῦ βρυχομένων, καὶ κατάβρωμα θέσθαι ἑτοίμων φυλάξει σε, καὶ διὰ χώρας ἀγνοουμένης ὁδηγήσει σε, καὶ ἐπὶ τὰς πλατείας τῆς ὑπερκειμένης Σιὼν ἄγει σε· κἀκεῖ μετὰ τῶν Ἀγγέλων ἐνώπιον τῆς αὐτοῦ μεγαλωσύνης σε στήσει, ἔνθα τὸ Ἀγγελικὸν ἐκεῖνο ἀκούσεις ᾆσμα· Ἅγιος, ἅγιος, ἅγιος κτ. Ἐκεῖ ᾠδὴ εὐφροσύνης, φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας, φωνὴ εὐχαριστίας τε καὶ αἰνέσεως· ἐκεῖ τὸ ἀλληλούϊα ἠχεῖ ἀϊδίως. Ἐκεῖ ὁ σωρὸς ὁ τῆς εὐδαιμονίας, ἡ ὑπερέχουσα δόξα, ἡ ὑπεράφθονος χαρμοσύνη, καὶ τὰ ἀγαθὰ πάντα.

Ὦ ψυχὴ, στέναξον θερμῶς, πόθησον σφοδρῶς, ἵν' ἐπὶ τὴν ὑπερκόσμιον ἐκείνην πόλιν δυνηθῇς ἐφικέσθαι, περὶ ἧς ἐλαλήθη τὰ οὕτω δεδοξασμένα· ἐν ᾗ τῶν εὐφραινομένων πάντων ἡ κατοικία ἐστί. Δι' ἀγάπης ἐπ' αὐτὴν ἀναβῆναι δυνήσῃ· οὐδὲν δυσχερὲς τῷ ἀγαπῶντι, οὐδὲν ἀδύνατον. Ψυχὴ ἡ ἀγαπῶσα συνεχῶς ἀναβαίνει, καὶ διαθέει συνήθως τῆς ἐπουρανίου Ἱερουσαλὴμ τὰς πλατείας, ἐντυγχάνουσα τοῖς ἐν αὐτῇ Πατριάρχαις τε καὶ Προφήταις, ἀσπαζομένη τοὺς Ἀποστόλους, θαυμάζουσα τοὺς στρατοὺς τῶν Μαρτύρων τε καὶ Ὁμολογητῶν, τοὺς χοροὺς θεωμένη τοὺς τῶν

Παρθένων. Ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτοῖς, οὐ παύονταί μοι ὑπαγορεύειν τὸ ἀγαπᾶν τὸν Κύριον καὶ Θεόν μου.

ΚΕΦ. ΚΕ.

Οὐδὲν, πλὴν ἤ τῶν ἀγαθῶν τὸ ἀκρότατον οἷον τε ἐστὶ τῇ ψυχῇ ἐξαρκέσαι.

Ἡ ἀνθρώπου καρδία, ἡ μὴ τῷ πόθῳ τῆς αἰωνιότητος κατεστηριγμένη, οὐδέ ποτε ἀτρέμας ἵστασθαι ἔχει· εὐστροφωτέρα δὲ οὖσα εὐστροφίας ἁπάσης, ἀφ' ἑτέρου ἐφ' ἕτερον ἀεὶ μεταβαίνει, ἀνάπαυσιν ἐπιζητοῦσα, ἔνθα οὐκ ἔστιν. Ἀλλὰ γὰρ ἐν τούτοις τοῖς μεταπίπτουσι καὶ παρερχομένοις, ἐν οἷς αὐτῆς αἱ προσπάθειαι εἰσὶ κατακώχιμοι, ἀνάπαυσιν ἀληθινὴν εὑρέσθαι οὐ δύναται, ἅτε δὴ τηλικαύτης μετέχουσα τῆς ἀξίας, ἡλίκη μηδενὶ ἑτέρῳ, ἢ τῷ ἀκροτάτῳ τῶν ἀγαθῶν, πεφύκοι ἂν ἐξαρκεῖσθαι· τοσαύτης γὰρ αὐτῇ μέτεστιν ἐλευθερίας, ὡς ὑπὸ μηδενὸς ἔχειν ἐξ ἀνάγκης παραβιάζεσθαι· οὗ δὴ χάριν καὶ ἑκάστῳ ἡ θέλησις τῆς ἰδίας, ἤτοι κατακρίσεως, ἢ σωτηρίας πρόξενος γίγνεται· ἔνθεν τοι οὐδ' ἐστὶν ὅ,τι ἂν ὑπό τινος τῷ Θεῷ προσενεχθείη πλουσιώτερον τῆς ἑαυτοῦ ἀγαθῆς θελήσεως. Ἡ ἀγαθὴ θέλησις Θεὸν μὲν πρὸς ἡμᾶς ἐστὶν ἀνακαλουμένη, ἡμᾶς δὲ πρὸς Θεὸν ἐπιστρέφουσά τε καὶ διευθύνουσα. Διὰ τῆς ἀγαθῆς οὖν θελήσεως Θεὸν ἀγαπῶμεν, Θεὸν πρὸ παντὸς αἱρούμεθα, πρὸς Θεὸν ἀνατρέχομεν, εἰς Θεὸν ἐφικνούμεθα, καὶ αὐτὸν ἐπικτώμεθα.

Ὢ τῆς ἀγαθῆς θελήσεως! δι' ἧς κατ' εἰκόνα τοῦ Θεοῦ διαμορ-

μορφούμεθα, καὶ ὅμοιοι αὐτῷ καθιστάμεθα! Οὕτω δ᾽ ἐπέραστος ἐστὶ τῷ Θεῷ ἡ ἀγαθὴ θέλησις, ὡς αὐτὸν, ἐν ᾗ ἄν τινι καρδίᾳ μὴ αὕτη παρῇ, ἐνοικεῖν μηδέ ποτε βούλεσθαι. Ἡ ἀγαθὴ θέλησις τὴν τῆς τοῦ ὑψίστου μεγαλωσύνης θεαρχικὴν τριάδα ἐπιῤῥέπειν ποιεῖ πρὸς αὐτὴν ἐπιστρέφουσα. Ἡ μὲν γὰρ σοφία εἰς ἐπίγνωσιν ἀληθείας αὐτὴν φωτίζει· ἡ δὲ ἀγάπη εἰς πόθον χρηστότητος διακαίει· καὶ Θεὸς, ὁ Πατὴρ τῶν ἁπάντων, διασώζει ἐν αὐτῇ ὃ ἐποίησεν ἔργον, ὡς ἂν μὴ ἀπόληται.

ΚΕΦ. Κϛ΄.

Τί ἐςὶν ἡ τῆς ἀληθείας ἐπίγνωσις.

Τί δ᾽ ἄρα ἡ τῆς ἀληθείας ἐστὶν ἐπίγνωσις; πρῶτον τὸ σεαυτὸν ἐπιγινώσκειν, καὶ τὸ εἶναι, ὅ περ εἶναι σὲ δέον, σπούδαζε, καὶ ὅ δεῖ σε ἐπανορθοῦν, ἐπανόρθου· ἔπειτα γινώσκειν καὶ ἀγαπᾶν τὸν σὸν κτίστην. Τοῦτο γὰρ ἐστὶ τὸ πᾶν ἀγαθὸν τῷ ἀνθρώπῳ. Ὅρα τοίνυν, ὡς ἄφατος ἐστὶν ἡ τῆς πρὸς ἡμᾶς εὐσπλαγχνίας τοῦ Θεοῦ ἀγάπη. Ἐκ τοῦ μηδενὸς ἡμᾶς, μηδαμῶς ὄντας παρήγαγε, καὶ πᾶν ὅ,τι περ ἔχομεν, ἡμῖν ἐχαρίσατο. Ἐπειδὴ δὲ πλεῖον ἠγαπήκαμεν τὸ δοθὲν, ἢ τὸν δεδωκότα, τὸ κτισθὲν, ἢ τὸν κτίσαντα, εἰς παγίδα τὴν τοῦ διαβόλου περιπεπτώκαμεν, καὶ δοῦλοι τούτῳ κατέστημεν. Θεὸς δὲ κινηθεὶς ὑπ᾽ ἐλέους, ἐξαπέστειλε μὲν τὸν Υἱὸν αὐτοῦ ἐξαγοράσαι τοὺς δούλους, ἀπέστειλε δὲ καὶ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῦ υἱοθετῆσαι αὐτούς· καὶ τὸν μὲν Υἱὸν ἔδωκεν εἰς τιμὴν τῆς ἐξαγορᾶς, τὸ δὲ Πνεῦμα, οἷον τῆς καταλλαγῆς προνόμιόν τε καὶ γέρας· τελευταῖον δ᾽ ἑαυτὸν ὅλον ὡς κλῆρον τῆς υἱοθετήσεως ταμιεύει.



Οὕτως ἀπειράγαθός τε ὢν καὶ ἀπειρεύσπλαγχνος ὁ Θεὸς, οὐχ ὅπως τὰ αὐτοῦ, ἀλλὰ καὶ ἑαυτὸν ἐπέδωκε χαρισάμενος ἵνα τὸν ἄνθρωπον, οὐ μόνον ἑαυτῷ, ἀλλὰ καὶ τῷ ἀνθρώπῳ αὐτῷ ἀποῤῥύσηται. Ἐφ' ᾧ δ' οἱ ἄνθρωποι ἐκ Θεοῦ γεννηθῶσι, πρῶτον ἐξ ἀνθρώπου ἐγεννήθη Θεός. Τίς οὕτως ἀπηνὴς καὶ σιδήρεος, ὃν οὐκ ἂν ἐκμαλάξειεν ἡ τοῦ Θεοῦ ἀγάπη, ἡ οὕτως ἀγαπῆσαι τὸν ἄνθρωπον φθάσασα; ἡ ἀγάπη, φημὶ, ἡ οὕτω κραταιὰ, δι' ἧς ἄνθρωπος ὁ Θεὸς χάριν τοῦ ἀνθρώπου γενέσθαι ἠξίωσε; καὶ τίς δ' ἂν τοῦ λοιποῦ μισήσειεν, οὗ τὴν φύσιν τε καὶ μορφὴν ἐπιδέρκεται ἐπὶ τῆς τοῦ Θεοῦ ἀνθρωπότητος; πάντως δή που ὁ μισῶν ἐκεῖνον, μισεῖ τὸν Θεὸν, καὶ οὕτως ἀπόλλυσιν ὅ,τι ἂν καὶ ἐργάζοιτο.

Θεὸς γὰρ τοῦ ἀνθρώπου ἕνεκα ἐγένετο ἄνθρωπος, ἵνα ᾖ ῥύστης ὁ κτίστης· ἵν' ἐξ ἑαυτοῦ ὁ ἄνθρωπος ἐξαγορασθείη· καὶ μὲν δὴ, καὶ ἵν' ἐν πλείονι τῇ οἰκειότητι ὑπὸ τοῦ ἀνθρώπου ἀγαπηθείη. Θεὸς ἐν ἀνθρώπου μορφῇ ἐπέφανεν· καὶ ἵνα τέως καὶ ἑκατέρα τῶν ἐν ἀνθρώπῳ αἰσθήσεων τῆς μακαριότητος τύχοι, τοῦ μὲν ὀφθαλμοῦ τῆς καρδίας κατευφραινομένου ἐν τῇ τοῦ θεανθρώπου θεότητι, τοῦ δὲ τοῦ σώματος, ἐν τῇ προσληφθείσῃ ὑπ' αὐτοῦ ἀνθρωπότητι. Ὅπως ἂν ἡ δημιουργηθεῖσα ὑπ' αὐτοῦ ἀνθρωπίνη φύσις εἰσελευσομένη τε καὶ ἐξελευσομένη, τὴν νομὴν ἐν αὐτῷ εἴη εὑρίσκουσα.



ΚΕΦ. ΚΖ.

Τί δή ποτε ή τοῦ Ἁγίου Πνεύματος ἀποςολὴ ἐν ἡμῖν ἐνεργάζεται.

Καὶ γὰρ ἡμῶν ὁ Σωτὴρ ἐγεννήθη ἡμῖν, ἐσταύρωταί τε καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν, ἵνα τῷ αὐτοῦ θανάτῳ τὸν ἡμέτερον θάνατον ἐξολέσῃ. Ἐπεὶ δὲ ἄρα ὁ βότρυς ὁ τῆς αὐτοῦ σαρκὸς, ἐπὶ τὸν τοῦ Σταυροῦ ληνὸν ἤχθη, κἀξ αὐτοῦ πατηθέντος τὸ γλεῦκος ἤρξατο ἀποβλύζειν τὸ θεῖον, ἐπέμφθη δὴ τὸ πανάγιον Πνεῦμα, δι' οὗ τὰ σκεύη τῶν καρδιῶν παρασκευασθείη, καὶ ὁ νέος οἶνος εἰς ἀσκοὺς νέους ἐμβληθείη, πρῶτον μὲν ἵνα τῶν καρδιῶν ἐκκεκαθαρμένων, τὸ ἐγχεόμενον μὴ μιαίνοιτο· ἔπειτα δὲ καὶ συνεπιδεδεμένων, τὸ ἐγχυθὲν μὴ ἐκρέον ἀπόλοιτο· κεκαθαρμένων μὲν ἀπὸ τῆς περὶ τὴν ἀνομίαν καθηδυπαθήσεως, συνεπιδεδεμένων δὲ κατὰ τῆς περὶ τὰ μάταια ἐπιτέρψεως. Οὐ γὰρ ἐξῆν τὸ ἀγαθὸν εἰσελθεῖν, μὴ πρότερον τοῦ κακοῦ ἐξελθόντος. Ἡ μὲν γὰρ περὶ τὴν ἀνομίαν ἡδυπάθεια καταμολύνει, ἡ δὲ περὶ τὴν ματαιότητα τέρψις ἀπεκχέει· ἡ μὲν τὸ σκεῦος ῥυπαρὸν, ἡ δὲ αὐτὸ κλειθριῶδες καὶ ὑποῤῥέον καθίστησιν.

Τέρψις μὲν ἐστὶν ἀνομίας, ὅτε ἡ ἁμαρτία ἐστὶ τὸ φιλουμένον· τέρψις δὲ ματαιότητος, ὅτε τὰ παρερχόμενα ἐν ἀγαπητοῖς τάσσεται. Ἀπόθου τοιγαροῦν τὸ φαῦλον, ἵνα τὸ ἐσθλὸν καταλαβεῖν δυνηθῇς· ἐξέμεσον τὴν πικρότητα, ἵνα γλυκύτητος ἐμπλησθῇς· τὸ Πνεῦμα τὸ ἅγιον καὶ χαρὰ ἐστὶ, καὶ ἀγάπη· ἀπόῤῥιψον τὸ τοῦ διαβόλου πνεῦμα, καὶ τὸ τοῦ παρόντος αἰῶνος, ἵνα λάβῃς τὸ Πνεῦμα τὸ τοῦ Θεοῦ· τὸ μὲν τοῦ διαβόλου χαρὰν ἐμποιεῖ ἀνομίας, τὸ δὲ τοῦ αἰῶνος, χαρὰν ματαιότητος· αἱ δὲ τέρψεις αὗται, πο-


νηραί τε εἰσὶ καὶ φαῦλαι· ἡ μὲν γὰρ τὸ ἔγκλημα ἐστὶν ἀπογεννῶσα· ἡ δὲ, τὸ παραίτιον τοῦ ἐγκλήματος· ἥξει δὲ τὸ τοῦ Θεοῦ Πνεῦμα, τῶν πονηρῶν ἀπεληλαμένων πνευμάτων, καὶ εἰς τὴν σκηνὴν εἰσελεύσεται τῆς καρδίας, καὶ τέρψιν ἐναπεργάσεται ἀγαθὴν, καὶ ἀγάπην ἀγαθὴν, δι' ἧς ἐξελαύνεται ἥ τε τοῦ κόσμου ἀγάπη, καὶ ἡ τοῦ ἀνομήματος. Ἡ ἀγάπη ἡ τοῦ κόσμου θέλγει τε καὶ ἐξαπατᾷ· ἡ τοῦ ἀνομήματος μολύνει καὶ θανατοῖ. Ἡ ἀγάπη ἡ τοῦ Θεοῦ φωτίζει μὲν τὸν νοῦν, ἁγνίζει δὲ τὸ συνειδὸς, τὴν δὲ ψυχὴν κατευφραίνει, καὶ τὸν Θεὸν αὐτῇ παρόντα ἐναποδεικνῦσα ἐμφαίνει.

ΚΕΦ. ΚΗ.

Ὁποῖον τȣ̃ τὸν Θεὸν ἀγαπῶντος τὸ πολίτευμα.

Ὁ ἀγαπῶν τὸν Θεὸν ἀδιαλείπτως διαλογίζεται, πότε ἄρα πρὸς τὸν Θεὸν ἥξει, πότε τὸν κόσμον καταλείψει, πότε τὴν διαφθορὰν τῆς σαρκὸς διαφεύξεται, ὥστε τὴν ἀληθινὴν εἰρήνην εὑρεῖν. Διηνεκῶς ἑαυτοῦ τὴν καρδίαν καὶ τὸν πόθον ἐπὶ τὰ ἄνω ἐξαίρει· αὐτοῦ καθημένου, βαδίζοντος, σχολάζοντος, ἢ περί τι ἐνασχολουμένου, ἡ καρδία οὐδέ ποτε ἀπὸ τοῦ Θεοῦ ἀφίσταται. Ἅπαντας οὗτος εἰς ἀγάπην Θεοῦ ἐποτρύνει, ἅπασι τὴν ἀγάπην τὴν τοῦ Θεοῦ παραγγέλλει· καὶ ὅσῳ μὲν ἡ τοῦ Θεοῦ ἀγάπη γλυκεῖα, ὅσῳ δὲ ἡ τοῦ αἰῶνος τούτου μοχθηρά τε ἐστὶ καὶ κατάπικρος, δι' ὧν φρονεῖ τε, καὶ λέγει, καὶ πράττει, δείκνυσι.

Καταγελᾷ ὁ τοιοῦτος τῆς δόξης τοῦ παρόντος αἰῶνος, ἐκμυκτηρίζει τὴν περὶ τοῦτον σπουδήν τε καὶ μέριμναν, καὶ ὅσης ἄρα ἐστὶν ἀνοίας καὶ ἀφροσύνης τὸ τοῖς παρερχομένοις ἐπιθαῤῥεῖν τε καὶ




πεποιθέναι, πρόδηλον ἵστησι. Καὶ θαυμάζει μὲν τῆς τῶν προστετηκότων τοῖς τοιούτοις πωρώσεως, θαυμάζει δὲ πῶς τοῖς οὕτως ἀστάτοις τε καὶ πτωσίμοις οὐχὶ πάντες τὸ χαῖρε φράζουσιν. Ἅπασι δὲ ἡδὺ εἶναι ἡγεῖται, ἐφ᾽ ᾧ αὐτὸς ἥδεται· ἅπασι δ᾽ ἀρέσκειν, ὅ περ αὐτὸς ἀσπάζεται· τοῖς πᾶσι δὲ κατάδηλον εἶναι, ὅ περ αὐτὸς ἐπίσταται. Ἐνδελεχῶς γὰρ τὸν Θεὸν αὐτοῦ ἀναθεωρεῖ, ὑπὸ δὲ τῆς τοιᾶσδε θεωρίας ὡς ἥδιστα διατίθεται· τοσοῦτον εὐδαιμονέστερος ἑαυτοῦ καθιστάμενος, ὅσον ἂν ἀναθεωροίη ἐνδελεχέστερον. Ἡδὺ γὰρ ἀεὶ ἐστὶ τὸ ἀναπεμπάζεσθαι ὅ καθηδύνει φιλούμενόν τε καὶ ἐπαινούμενον.

ΚΕΦ. ΚΘ.

Τίς ἡ τῆς καρδίας ἀληθινὴ ἐστὶν ἀνάπαυσις.

Ἀληθὴς τῷ ὄντι καρδίας ἐστὶν ἀνάπαυσις ἡ τῆς ἐν ὁλοκλήρῳ τῷ πόθῳ τῇ τοῦ Θεοῦ ἀγάπῃ προσπεπηγυίας, καὶ μηδὲν ἕτερον προσεφιεμένης, ἀλλ᾽ ἐν ᾧ κατέχει μακαρίᾳ τινὶ γλυκύτητι κατατερπομένης, κἂν τῷ τέρπεσθαι φαιδρυνομένης. Ἐὰν γὰρ ἐντεῦθεν ὑπὸ ματαίας προλήψεως, ἐξ ἀσχολίας τῆς περί τινα ἄλλα κατὰ περίστασιν ἐπιόντα, ὁπωσοῦν ἐκπερισπασθείη, αὐτίκα μάλα ἐπανακάμψαι τάχιστα σπεύδει, ὑπερορίαν ἄντικρυς ἡγουμένη τὸ ἀλλοθίπου ἢ ἐνταῦθα προσδιατρίβειν. Ὥσπερ γὰρ οὐδ᾽ ἀκαρὲς μεσιτεύει τοῦ χρόνου, ἐν ᾧ ἄνθρωπος οὐκ ἀπολαύει, ἢ οὐ πειρᾶται τῆς Θείας χρηστότητος, οὕτως οὐδ᾽ ἀκαρὲς ἐμφιλοχωρεῖν δέον, καθ᾽ ὅ τοῦ Θεοῦ παρόντος αὐτῷ μὴ μιμνήσκοιτο.

Διό περ οὐ κούφης τινὸς πλημμελείας καθίσταται ἔνοχος, ὁ, ἐν ᾧ διὰ προσευχῆς ἐντυγχάνει Θεῷ, τῆς παρουσίας ἄφνω ἀντι-



περισπώμενος τῆς τούτου, ὡς μηδ' ὁρῶντος δῆθεν, μηδὲ ἀκούοντος· τουτὶ δὲ συμβαίνει ὁπηνίκα τις ταῖς ἰδίαις ἑαυτοῦ καὶ ἀκαίροις διενθυμήσεσι κατακολουθῶν, ὁποιονοῦν τι τῶν ἐν τοῖς κτίσμασιν εὐτελέστατον, ὑφ' οὗ ῥᾷστα ἡ διάνοια ἀντιπεριέλκεται, πρότερόν πως τίθησι τοῦ Θεοῦ, πυκνότερον δηλονότι αὐτὸ ἐπαναπολῶν, ἢ τὸν Θεὸν αὐτὸν, ὃν ἀδιαλείπτως ὀφείλει ἀναπεμπάζεσθαι ὡς κτίστην, προσκυνεῖν ὡς λυτρωτὴν, ἀπεκδέχεσθαι ὡς σωτῆρα, φοβεῖσθαι ὡς δικαστήν.

ΚΕΦ. Λ.

Ἅπαν ὅ,τι ἀπὸ τοῦ Θεοῦ ἀντιμεθελκόμενον ἐστὶ τὴν τοῦ νοῦ θεωρίαν, φευκτὸν πάντῃ ἐστὶ καὶ ἐπάρατον.

„Ὦ φίλε τοῦ κόσμου, πρόνοιαν ποιοῦ τῶν τοῦ νόμου,
„Ἣν τρίβον μοχθηρὰν ἐπιβαίνεις, ἐπ' ὀλέθρῳ σῷ ἐκπεραίνεις.

Φεῦγε τοίνυν, ἄνθρωπε, πρὸς βραχὺ τὰς σὰς ἀσχολίας, καὶ ἀποκρύβηθι μικρὸν ὅσον ὅσον ἀπὸ τῶν ταραχωδῶν σου διαλογισμῶν τε καὶ ἐνθυμήσεων. Ἀπόρριψον νῦν τὰς φορτικάς σου μερίμνας, ἐν δευτέρῳ τίθεσο τὰς ἐπιπόνους καὶ ἀχθηράς σου διατάσεις· σχόλασον ἐπὶ ποσὸν τῷ Θεῷ σου, καὶ μικρὸν ἐν αὐτῷ ἐφησύχασον. Εἴσελθε εἰς τὸ ταμεῖον τῆς ψυχῆς σου· ἀπέκκλεισον πάντα, παρεκτὸς τοῦ Θεοῦ, καὶ τῶν ὅσα τείνει πρὸς αὐτοῦ ἐκζήτησιν· καὶ κλείσας τὴν θύραν σου ζήτει αὐτόν· καὶ δὴ τότε λεγέτω πρὸς αὐτὸν ὅλη σου ἡ καρδία· »Ἐξεζήτησα τὸ πρόσωπόν σου· τὸ πρόσω- » πόν σου, Κύριε, ζητήσω. »

Εἶα δὴ, Κύριε ὁ Θεός μου! σὺ νῦν δίδαξον τὴν ἐμὴν καρδίαν,

ὅπου τε, καὶ ὅπως ἐκζητήσει σε· ὅπου τε, καὶ ὅπως εὑρήσει σε. Κύριε, ἣν μὴ ὧδε παρείης, ὅποι ποτὲ ζητήσαιμί σε ἀπόντα; εἰ δὲ πανταχοῦ εἶ, ἵνα τί οὐχ εὑρίσκω παρόντα σε; ἀλλ᾽ ἢ που φῶς αὐτὸς οἰκῶν εἶ τὸ ἀπρόσιτον· πῶς οὖν πρὸς φῶς τὸ μηδαμῆ προσιτὸν αὐτὸς προσελεύσομαι; ἢ τίς ἔσται ὁ ὁδηγήσων με, καὶ εἰς αὐτό με εἰσάξων, ὡς ἂν ἐν αὐτῷ ὄψωμαί σε; Εἶτα δ᾽ ἐν τίσι ποτὲ τεκμηρίοις, καὶ ὑπὸ οἵῳ δὴ τῷ προσώπῳ ἐκζητήσω σε; οὐδέ ποτέ σε κατεῖδον ἑωρακὼς, Κύριε ὁ Θεός μου. Οὐδέ ποτε τὸ πρόσωπόν σου ἐπέγνων. Τί δράσει, ὑπερύψιστε Κύριε; τί ποτε ῥέξει ὁ οὕτως ἀπὸ σοῦ μακρυνθεὶς ἐξόριστος; τί ποιήσει ὁ δοῦλός σου, ὁ ὑπὸ μὲν τῆς περὶ σὲ ἀγαπήσεως ἀδημονιῶν, ἀπὸ δὲ τῆς σῆς ὄψεως πορρωτάτω ἀπεληλαμένος; ἰδοὺ δὴ, ἐπιποθεῖ μὲν ἰδεῖν σε, καὶ τὸ πρόσωπόν σου μακρὰν ἀπ᾽ αὐτοῦ ἀφέστηκε· προσελθεῖν σοι ἐφίεται, καὶ ἀπροσπέλαστόν σου ἐστὶ τὸ σκήνωμα· εὑρεῖν σε γλίχεται, καὶ οὐκ οἶδεν ἔνθα σε ἂν ἐκζητήσειε· σοῦ ἱμείρεται, καὶ ἀγνοεῖ τὸ σὸν πρόσωπον.

ΚΕΦ. ΛΑ.

Ὅτι ὁ ἄνθρωπος διὰ τὴν ἁμαρτίαν ἐστέρηται μὲν τοῦ Θεὸν ἔχειν ὁρᾶν, εὕρατο δὲ τὴν ταλαιπωρίαν καὶ ἀθλιότητα.

Κύριε, σὺ εἶ ὁ Κύριός μου καὶ ὁ Θεός μου, καὶ οὐδέ ποτέ σε ἑώρακα. Σὺ ἔπλασάς με καὶ ἀνέπλασας, καὶ τὰ ἀγαθά σου πάντα ἐδωρήσω μοι, καὶ οὐδέ ποτέ σε ἐθεασάμην, οὐδέ σε ἐπέγνων! τελευταῖον πεποίημαι ἵνα σὲ βλέπω, καὶ οὔπω ἐποίησα τὸ οὗ περ ἕνεκα πεποίημαι. Ὦ τῆς τοῦ ἀνθρώπου ἐλεεινῆς κληρουχίας, τοῦ

ἀπολωλεκότος τὸ δἰ ὅ περ ἐγένετο ! Ὦ τοῦ δεινοῦ καὶ χαλεποῦ πτώματος ! Φεῦ, τί ἀπώλεσε, καὶ τί ἔυρατο ; τί αὐτῷ ἀπῴχετο, καὶ τί ἀπελείφθη ; ἀπώλεσε μὲν τὴν μακαριότητα, δἰ ἥν ἐγένετο, εὗρε δὲ τὴν ἀθλιότητα, δἰ ἥν οὐ γέγονεν. Ἀπῴχετο αὐτῷ ἐκεῖνο, οὗ χωρίς, ἔυδαιμον οὐδέν· ὑπελείφθη δ᾽ αὐτῷ, ὅ περ οὐδὲν ἐστὶ καθ᾽ ἑαυτὸ, εἰμὴ ἀθλιότης· ἤσθιε δὴ τὸ τηνικαῦτα ἄνθρωπος ἄρτον Ἀγγέλων, οὗ νῦν γε λιμώττει. Ἐσθίει τὰ νῦν ἄρτον ταλαιπωρίας, ὄν κατ᾽ ἐκεῖνο οὐκ ᾔδει.

Ὦ Κύριε, ἕως πότε σὺ ἐπιλανθάνῃ εἰς τέλος ; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν ; πότε ἐφ᾽ ἡμᾶς ἐπιβλέψεις, καὶ ἐπακούσεις ἡμῶν ; πόπε φωτιεῖς τοὺς ὀφθαλμοὺς ἡμῶν, καὶ τὸ πρόσωπόν σου ἡμῖν ἐπιδείξεις ; πότε αὐτὸς σαυτὸν ἡμῖν ἀποδώσεις; Ἐπίβλεψον δὴ, Κύριε, καὶ ἐπάκουσον ἡμῶν, καὶ φώτισον ἡμᾶς, καὶ σεαυτὸν ἡμῖν δεῖξον, καὶ ἀπόδος ἡμῖν σεαυτὸν ἵνα εὖ ἡμῖν γένηται τοῖς σοῦ ἄνευ οὕτω πονήρως διακειμένοις. Ἀνακάλεσον ἡμᾶς, ἀντιλαβοῦ ἡμῶν, ἐκλιπαρῶ σε, Δέσποτα, θερμῶς ἱκετεύων ! ἐπικράνθη ἡ καρδία μου ἐπὶ τῇ τοιᾷδε ἑαυτῆς κατερημώσει· γλύκανον αὐτὴν διὰ τῆς σῆς παρακλήσεως ! Ἐκλιπαρῶ σε, Δέσποτα ! πεινῶν ἠρξάμην αἰτεῖσθαί σε, μὴ ἀπὸ σοῦ νῆστις ἀπολειφθείην ! λιμώττων προσῆλθον, μὴ ἄσιτος ἀπέλθοιμι ! τῷ πλουσίῳ προσῆλθον ὁ πένης, ὁ ἐλεεινὸς τῷ ἐλεήμονι, μὴ ἀποβληθείην κενὸς καὶ ἐξουθενημένος.

Κατεκάμφθην, Κύριε, οὐδ᾽ ἔχω, εἰμὴ κάτω βλέπειν· ἀνέγειρόν με, ὡς ἄν δυναίμην ἄνω θεᾶσθαι, ἤ ἀνατείνεσθαι. Αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· περιέσχον με καὶ κατεκάλυψάν με, καὶ ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ· ἐξελίξας με ἀνακάλυψον, καὶ ἀποφόρτισόν με, μὴ τὸ φρέαρ πλατύνῃ τὸ στόμα αὐτοῦ κατ᾽ ἐμοῦ. Δίδαξόν με τοῦ ἐκζητεῖν σε, καὶ ἐπίφανόν μοι σεαυτὸν ἐκζητοῦντι σε. Ὅτι οὐδὲ ζητεῖν οἶδα, ἐὰν σὺ μὴ διδάξῃς, οὐδ᾽ εὑρεῖν, εἰμὴ σὺ σαυτὸν ἀναδείξῃς. Ζητήσω σε ποθῶν, ποθήσω σε ζητῶν· ἀγαπῶν εὑρήσω· εὑρὼν ἀγαπήσω σε.

ΚΕΦ. ΛΒ.

Περὶ τῆς τȣ̃ Θεȣ̃ ἀγαθότητος.

Ὁμολογῶ, Κύριε, καὶ ἐυχαριστῶ σοι, ὅτι κατὰ τὴν σὴν ταύτην εἰκόνα ἐποίησάς με, ἵνα σοῦ μνημονεύοιμι, σὲ διανοοίμην, σὲ ἀγαπῴην· ἀλλ' οὕτως ἡ εἰκὼν ἅυτη ἡ ἐν ἐμοὶ τῇ τῶν ἐλαττωμάτων μου λύμῃ ἐξίτηλος γέγονεν, οὕτως ἀπημαύρωσα τῇ τῶν ἁμαρτημάτων λιγνύϊ, ὡς μηδὲ ποιεῖν ἔχειν τὸ οὗ περ ἕνεκα πεποίηται, ἐὰν μὴ σὺ ταύτην ἀνακαινίσαις τε καὶ ἀναμορφώσαις. Οὐκ ἐκπειράζων, Κύριε, εἰσδῦναι πειρῶμαι τὴν περὶ σὲ ἄβυσσον· οὐ γὰρ ὅλως ἐπιτολμῶ τὴν ἐμὴν διάνοιαν αὐτῇ παραβάλλειν αἱρεῖσθαι· ποθῶ μόνον τὴν ἐν σοὶ ἀλήθειαν ἐκ μέρους νοῆσαι, ἣν πιστεύει τε καὶ ἀγαπᾷ ἡ καρδία μου. Οὐ γὰρ συνιέναι θέλω ἐφ' ᾧ πιστεῦσαι, ἀλλὰ πιστεύω ἐφ' ᾧ συνιέναι. Οὐκοῦν, Κύριε, αὐτὸς ὁ διδοὺς σύνεσιν εἰς πίστιν, δός μοι τοσοῦτον συνιέναι, ὅσον μοι συντελεῖν ἐπίστασαι. Αὐτὸς γὰρ εἶ, ὡς πιστεύομεν, αὐτὸς δὲ διδάσκεις, ὅ πιστεύομεν· πιστεύομεν δὲ εἶναι σέ τι, οὗ μηδὲν μεῖζον, μηδέν τε κρεῖττον ἐπινοηθῆναι δύναται. Τί τοίνυν εἶ, Κύριε ὁ Θεὸς, οὗ μεῖζόν τι, οὐδὲ κρεῖττον μηδὲν ἂν νοηθείη; τί δή ποτε, ἀλλ' ἢ τῶν ἀγαθῶν τὸ ἀκρότατον; τὸ μόνον μὲν ἀφ' ἑαυτοῦ ὑφεστὼς, τὰ δ' ἄλλα πάντα ἐκ τοῦ μηδενὸς ὑποστῆσαν; Ὃ γὰρ οὐκ ἔστι τοῦτο, ἧττον ἐκείνου ἐστὶν, οὗ μηδὲν μεῖζον νοεῖσθαι δύναται. Ἀλλὰ τουτὶ περὶ σοῦ νοηθῆναι ἀδύνατον. Τί ἄρα ἀγαθὸν ἐνδεῖ τῷ ἀκροτάτῳ τῶν ἀγαθῶν, δι' οὗ ἀγαθὸν ἅπαν ὑφέστηκεν; Αὐτὸς ἄρα εἶ δίκαιος, ἀληθινὸς, μακάριος, καὶ πᾶν ὅ,τιοῦν ἄμεινον εἶναι ἐστὶν, ἢ μὴ εἶναι.

Ἀλλὰ πῶς ἄρα τῶν φαύλων φείδῃ, ὁ ὅλως ἐς τὸ ἀκρότατον δί-

καιος ὤν, ἢ ὅτι ἡ σὴ ἀγαθότης ἐστὶν ἀκατανόητος; λανθάνει δὴ τοῦτο ἐν τῷ φωτὶ τῷ ἀπροσίτῳ ὅ περ οἰκεῖς· πάντως γὰρ ἐν τῷ ἀβυσσώδει καὶ ὑπερκρυφαίῳ βυθῷ τῆς σῆς ἀγαθοσύνης λανθάνουσα ἐστὶν ἡ πηγὴ, ἐξ ἧς ὁ τῆς ἐν σοὶ εὐσπλαγχνίας ποταμὸς ἀπονάει· ὅλως τε γὰρ καὶ εἰς τὸ ἀκρότατον δίκαιος ὤν, καὶ τοῖς πονηροῖς ὅμως ἐπιεικὴς ὑπάρχεις, διὰ δὴ τοῦτο, ὅτι καὶ ὅλως, καὶ ἐς ἄκρον ἀγαθὸς εἶ· καὶ γὰρ ἧττον ἀγαθὸς ἂν εἴης, εἰμὴ ὑπῆρχες ἀγαθὸς καὶ τοῖς φαύλοις. Κρείσσων γὰρ ὁ καὶ τοῖς ἀγαθοῖς καὶ τοῖς φαύλοις ἅμα ἀγαθὸς ὤν, τοῦ τοῖς ἀγαθοῖς μόνον ἀγαθοῦ ὄντος· καὶ κρείσσων δὲ ὁ τοῖς πονηροῖς τῷ καὶ συγγινώσκειν, καὶ ποινὴν ἐπιτάσσειν ἀγαθὸς ὤν, ἢ ὁ τῷ κολάζειν αὐτοὺς μόνον. Διὰ τοῦτο τοίνυν οἰκτίρμων εἶ, ὅτι καὶ ὅλως, καὶ ἐς ἄκρον ἀγαθὸς εἶ.

ΚΕΦ. ΛΓ.

Περὶ τῆς παντέρπνου ἀπολαύσεως τοῦ Θεοῦ.

Ὦ ἄπειρος ἀγαθότης, ἡ ταύτῃ γε πᾶσαν ἔννοιαν ὑπερπαίουσα, ἐλθέτω ἐπ᾽ ἐμὲ ἡ σὴ εὐσπλαγχνία, ἡ ἐκ τοσούτου πλούτου χρηστότητος ἐκπηγάζουσα· ἐπιῤῥευσάτω καὶ ἐπ᾽ ἐμὲ ἀπὸ σοῦ ἐκπροῤῥέουσα· φεῖσαι μου ὡς οἰκτίρμων, μὴ ἐκδικήσῃς ὡς δίκαιος. Ἔγειραι δὴ νῦν ἡ ψυχή μου, καὶ ὅλην σου ὕψωσον τὴν διάνοιαν, καὶ ἐννόησον ὅσον ἂν δύναιο, ἡλίκον ἆρα καὶ οἷον τὸ ἀγαθὸν, ὅ περ ἐστὶν ὁ Θεός.

Εἰ γὰρ τὰ ἀγαθὰ ἑκάστοις τερπνά τε ἐστὶ καὶ ἡδέα, σκόπει δὴ ἀτενῶς, ὅσον ἡδὺ καὶ τερπνὸν ἐκεῖνο, τὸ συμπάντων τῶν ἀγαθῶν τὴν ἡδύτητα περιέχον, καὶ οὐχ οἵων ἐπὶ τῶν κτισμάτων διὰ

πείρας εἰλήφαμεν , τοσούτῳ δὲ διαφέρουσαν , ὅσῳ περ ὁ κτίστης διαφέρων ἐστὶ τοῦ κτίσματος. Εἰ γὰρ ἀγαθόν τι ἐστὶν ἡ ζωὴ ἡ κτισθεῖσα, ὁπόσον ἀγαθὸν ἡ ζωὴ ἡ δημιουργός τε καὶ κτίστις ; Εἴπερ ἡδεῖα ἡ κατασκευασθεῖσα, ὁπόσον ἡδεῖα ἡ σωτηρία , ἡ πᾶσαν σωτηρίαν παρασκευάσασα ; Εἴπερ ἡ σοφία ἐράσμιόν τι χρῆμα ἐστὶν ἐν μελέτῃ γινομένη τῇ τῶν γινώσκεσθαι δυναμένων , ὁπόσον ἐπέραστον ἡ σοφία, ἡ ἐκ τοῦ μηδενὸς τὰ πάντα παραγαγοῦσα καὶ ὑποστήσασα ; τελευταῖον · εἰ πολλαὶ καὶ μεγάλαι εἰσὶν ἐπὶ τῶν τερπνοποιῶν πραγμάτων αἱ τέρψεις, ὁποία τε δὴ καὶ ἡλίκη ἔσται ἡ τερπνότης ἐν τῷ τὰ τερπνὰ ταῦτα δημιουργήσαντι ; Βαβαὶ ! τῷ τοῦ ἀγαθοῦ τούτου ἀπολαύσοντι ! Τίποτ' ἂρ αὐτῷ ἔσται ; τί αὐτῷ οὐκ ἔσται ; πάντως, ὅ,τι ἂν οὗτος μὴ θέλοι, αὐτῷ οὐκ ἔσται. Ἐκεῖ γὰρ τὰ ἀγαθὰ ἅπαντα αὐτῷ ἔσται , καὶ τὰ ψυχῆς καὶ τὰ σώματος » ἃ ὀφθαλμὸς οὐκ εἶδε , καὶ οὖς οὐκ ἤκουσε , καὶ ἐπὶ » καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. »

ΚΕΦ. ΛΔ.

Τοῦ ἄκρου τῶν ἀγαθῶν ἐπορεκτέον.

Τί τοίνυν διὰ πολλῶν ἀλάλησαι, ὦ ἀνθρωπάριον , ζητῶν ἀγαθὰ καὶ τῇ σῇ ψυχῇ καὶ τῷ σώματι ; ἓν ἀγαθὸν ἀγάπα , τὸ ἐν ᾧ τὰ ἀγαθὰ πάντα , καὶ ἐξαρκεῖ σοι. Τὸ ἁπλοῦν ἀγαθὸν ἐπιπόθει , ὅ περ ἐστὶ πᾶν τὸ ἀγαθὸν , καὶ ἅλις ἔχει σοι. Τί γὰρ ἀγαπᾷς ἡ σάρξ μου ; τί ἐπιθυμεῖς ἡ ψυχή μου ; αὐτόθι ἐστὶ πᾶν ὅ,τι ἀγαπῶσα τυγχάνεις · αὐτόθι ἐστὶ πᾶν οὗ περ ἐφίῃ. Εἴ σ' ἐπιτέρπει τὸ κάλλος , οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος · εἰ τὸ τάχος , εἰ τὸ σθένος , εἰ τὸ ἐλευθεριάζον τοῦ σώματος , ᾧ μηδέν τι ἂν εἴη τὸ ἀντιβαῖνον καὶ προσιστάμενον , ἔσονται ὡς οἱ Ἄγγελοι τοῦ

Θεοῦ· » Σπείρεται γὰρ σῶμα ψυχικὸν, ἐγείρεται δὲ σῶμα πνευ-
» ματικὸν· τῇ δυνάμει πάντως, οὐχὶ τῇ φύσει. »

Εἴπερ ἡ ζωὴ ἡ ἐν εὐεξίᾳ μακροημερεύουσα, ἐκεῖ ἔσται ἡ ὑγειαίνουσα αἰωνιότης, καὶ ἡ διαιωνίζουσα ὑγίεια· » ὅτι δίκαιοι εἰς » τὸν αἰῶνα ζῶσι, καὶ ἡ σωτηρία ἡ τῶν δικαίων παρὰ Κυρίου. » Εἴπερ ὁ χορτασμὸς ὁ εἰς κόρον, χορτασθήσονται οἱ δίκαιοι ἐν τῷ ὀφθῆναι αὐτοῖς τὴν τοῦ Κυρίου δόξαν. » Εἴπερ ἡ ὡσεὶ διὰ κώμου » φαιδρότης καὶ εὐφροσύνη, μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴνου » τοῦ Θεοῦ. Εἴπερ ἡ μελῳδία, ἐκεῖ οἱ Ἄγγελοι, οἱ τῷ Θεῷ ἀλή-» κτως τὸν αἶνον προσᾴδοντες· » εἴπερ ἡ ὁποιαδηποτοῦν ἄλλη, μηδαμῶς μὲν ἐναγὴς, εὐαγὴς δὲ πάντῃ καὶ ἁγνοτάτη τρυφή τε καὶ τέρψις, ἐκεῖ ἀπὸ τοῦ χειμάῤῥου τῆς αὐτοῦ τρυφῆς ποτιεῖ αὐτοὺς ὁ Κύριος. Εἴπερ ἡ σοφία, αὐτὴ ἡ τοῦ Θεοῦ σοφία ἑαυτὴν αὐτοῖς ἐμφανιεῖ. Εἴπερ ἡ φιλία, τὸν Θεὸν αὐτὸν ἐκεῖνοι φιλήσουσι μᾶλλον ἢ ἑαυτούς· καὶ ἀλλήλους δὲ, ὥσπερ ἑαυτούς· καὶ μὲν δὴ καὶ Θεὸς φιλήσει αὐτοὺς πλέον ἢ αὐτοὶ ἑαυτούς· ὅτι κἀκεῖνοι αὐτὸν, καὶ ἀλλήλους δι᾽ αὐτόν· καὶ αὐτὸς ἑαυτὸν, κἀκείνους δι᾽ ἑαυτόν. Εἰ δέ γε ἡ ὁμόνοια καὶ ὁμοφροσύνη, ἐκείνοις ἅπασιν ἡ θέλησις ἔσται μία· οὐδὲ γὰρ ἄλλη τις αὐτοῖς ἔσται, εἰμὴ ἡ τοῦ Θεοῦ θέλησις ἡ ὑπερτάτη.

Εἰ δὲ τὸ κατὰ τὸ δύνασθαι σθένος, πανσθενεῖς ἔσονται ἐν τῇ ἰδίᾳ βουλήσει, ὡς Θεὸς ἐν τῇ ἰδίᾳ αὐτοῦ· καθάπερ γὰρ ὁ Θεὸς δυνήσεται καθ᾽ ἑαυτὸν ὃ βουλήσεται, οὕτως ἐκεῖνοι δυνήσονται ὅ περ ἂν βουληθεῖεν δι᾽ ἐκεῖνον. Ἐπεὶ ὥσπερ ἐκεῖνοι οὐδὲν ἕτερον βουλήσονται, παρ᾽ ὃ βουλήσεται ἐκεῖνος, οὕτως ἐκεῖνος βουλήσεται, ὅ ἂν βουληθεῖεν ἐκεῖνοι· ὃ δ᾽ ἂν ἐκεῖνοι βουληθεῖεν, οὐ μὴ δυνήσεται μὴ εἶναι. Ἐὰν δὲ ἡ τιμὴ καὶ ὁ πλοῦτος, ὁ Θεὸς τοὺς ἀγαθοὺς αὐτοῦ καὶ πιστοὺς θεράποντας ἐπὶ πολλῶν ἀγαθῶν καταστήσει· ἀλλά γε καὶ υἱοὶ Θεοῦ αὐτοὶ κληθήσονται, καὶ Θεοί· καὶ κληρονόμοι μὲν ἔσονται Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.

Ἐὰν δὲ ἡ ἔμπεδός τε ἀσφάλεια καὶ βεβαία, οὕτως ἀστεμφῶς τε καὶ ἀτρεκῶς ἕξουσι, τοῦ μηδαμῆ μηδέ ποτε τὸ ἀγαθὸν ἐκεῖνο ἀπ' αὐτῶν μὴ ἀπέσεσθαι, ὡς ἔχουσι βεβαίως, ὅτι οὐδέ ποτε αὐτοὶ ἑκόντες αὐτὸ ἀπολέσουσι· καὶ ὅτι τοῦτο, ὁ φιλήσας αὐτοὺς Θεὸς ἀπὸ τῶν φιλούντων αὐτὸν ἀντανελεῖται οὐδέ ποτε· οὐδ' ἕτερόν τι τοῦ Θεοῦ ἰσχυρότερον, Θεόν τε κἀκείνους διαχωρίσει. Ὁποία δ' οὖν ἄρα, καὶ ὅση ἡ χαρά τε καὶ τέρψις, οἷς τὸ τοιοῦτόν τε καὶ τηλικοῦτον ἀγαθὸν περίεστιν;

ΚΕΦ. ΛΕ.

Περὶ τῆς ἀμοιβαίας ἀγαπήσεως τῶν ἐν Οὐρανοῖς ἁγίων.

Ὦ καρδία ἡ τοῦ ἀνθρώπου, καρδία ἐνδεής τε καὶ ἐξηπορημένη, καρδία ἡ συμφορῶν τε καὶ θλίψεων πολλῶν γευσαμένη, μᾶλλον δὲ ἡ ὑποβρύχιος ταῖς ἀθλιότησι γενομένη, ὅσον ἂν εὐφρανθείης ἐν περιουσίᾳ δαψιλεῖ καταστᾶσα τῶν εἰρημένων ἁπάντων! Ἐπερώτησον τὰ ἐν σοὶ μυχαίτατα, εἰ χωρεῖν ἔχοιεν τὴν ἐν τοσαύτῃ μακαριότητι χαρὰν ἑαυτῶν καὶ τέρψιν; ἢ που καὶ γὰρ, εἴτις ἕτερος, ὃν ἴσα σεαυτῷ ἀγαπῴης, τῆς αὐτῆς κοινωνοίη εὐδαιμονίας, ἐπιδιπλασιασθείη ἂν ἡ ἐν σοὶ θυμηδία τε καὶ τέρψις· οὐδὲν γὰρ ἧττον ἐπ' ἐκείνῳ, ἢ ἐπὶ σοὶ αὐτῷ ἐφησθείης. Ἐὰν δὲ δύω, ἢ τρεῖς, ἢ πολλῷ γε πλείους τοῦ αὐτοῦ τύχοιεν, τοσοῦτον ἂν ὑπὲρ ἑνὸς ἑκάστου ἐκείνων, ὅσον ὑπὲρ σεαυτοῦ εὐφρανθείης, ἕκαστον ὡς σεαυτὸν ἀγαπῶν. Τί οὖν ἄρα ἔσται ἐπὶ τῆς ἐντελοῦς ἐκείνης ἀγάπης τῶν ἀναριθμήτων Ἀγγέλων τε καὶ ἀνθρώπων, ἔνθα οὐδεὶς τὸν ἕτερον ἔλαττον ἤ περ ἑαυτὸν ἀγαπήσει; Οὐ δὲ γὰρ ἄλλως

ἐκεῖ ἕκαστος ἀμφὶ ἑκάστῳ τῶν ἄλλων , ἢ αὐτὸς περὶ ἑαυτῷ ἰδίᾳ ἐπιχαρήσεται.

Εἴπερ οὖν ἡ ἀνθρώπου καρδία τὴν ἐπὶ τοσούτῳ ἑαυτῆς ἀγαθῷ ἰδίαν χαρὰν χωρῆσαι μόλις δυνήσεται, πῶς ἂν τὰς τοσαύτας, καὶ τῶν τοσούτων χαρὰς καὶ ἀγαλιάσεις χωρήσειε; τῷ ὄντι δὲ, ἐπείπερ ἕκαστος, ὅσῳ τινὰ ἕτερον ἀγαπῶν τυγχάνει, τοσούτῳ ἐπὶ τῷ ἀγαθῷ τῷ ἐκείνου χαίρει. Ὃν τρόπον ἐν τῇ λήξει ἐκείνῃ τῇ μακαρίᾳ καὶ τρισευδαίμονι, τὸν Θεὸν ἕκαστος ἀσυγκρίτως πλεῖον ἢ ἑαυτὸν ἀγαπήσει, σύν τε δ' ἑαυτῷ καὶ τοὺς λοιποὺς ἀπαξάπαντας· τὸν αὐτὸν τρόπον ἀπαραβλήτως μᾶλλον ἐπαγαλλιάσεται ἐπὶ τῇ τοῦ Θεοῦ μακαριότητι, ἤ περ ἐπὶ τῇ ἰδίᾳ ἑαυτοῦ, καὶ τῇ τῶν ἄλλων συμπάντων τῶν μεθ' ἑαυτοῦ. Εἰ δ' οὕτω διατελέσουσι τὸν Θεὸν ἀγαπήσοντες ἐν ὅλῃ τῇ καρδίᾳ, ἐν ὅλῃ τῇ διανοίᾳ, ἐν ὅλῃ τῇ ψυχῇ, ὡς μέν τοιγε μηδὲ τὴν καρδίαν ὅλην, μηδὲ τὴν διάνοιαν ὅλην, μηδὲ τὴν ψυχὴν ὅλην ἱκανῶς ἔχειν πρὸς τὸ ὑπερέχον τῆς τοιαύτης ἀγαπήσεως· πάντως δή που καὶ οὕτω χαίροντες ἔσονται ἐξ ὅλης τῆς καρδίας, ἐξ ὅλης τῆς διανοίας, ἐξ ὅλης τῆς ἑαυτῶν ψυχῆς· ὥστε γε μὴν μηδὲ τὴν καρδίαν ὅλην, μηδὲ τὴν διάνοιαν ὅλην, μηδὲ τὴν ψυχὴν αὐτῶν ὅλην ἐπαρκῶς ἔχειν τῷ πληρώματι τῆς ἀγαλλιάσεως.



ΚΕΦ. Λς.

Περὶ τῆς ἐν τῇ ζωῇ τῇ αἰωνίῳ πληρεστάτης ἀγαλλιάσεως.

Ὁ Κύριός μου καὶ ὁ Θεός μου, ἡ ἐλπίς μου, καὶ ἡ χαρὰ τῆς καρδίας μου· εἰπὲ τῇ ψυχῇ μου, εἰ αὕτη ἐστὶν ἡ χαρὰ, περὶ ἧς διὰ τοῦ σοῦ Υἱοῦ ἡμῖν ἔφης. » Αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ » ὑμῶν ᾖ πεπληρωμένη » Εὗρον καὶ γὰρ χαράν τινα πλήρη τε καὶ ὑπερπλήρη· πλήρους καὶ γὰρ γενομένης μου τῆς καρδίας, πλήρους τῆς διανοίας, πλήρους τῆς ψυχῆς, πλήρους ὁλοσχεροῦς τοῦ ἀνθρώπου, προσέτι δὴ, τῆς χαρᾶς ἐκείνης ὑπερεπέκεινα, ἐκ περιουσίας χαρὰ ὑπερέσται. Οὔκουν ἄρα ἡ χαρὰ ἐκείνη εἰς τοὺς χαίροντας εἰσελεύσεται ὅλη· ἀμέλειτοι, αὐτοὶ οἱ χαίροντες εἰσὶν, οἱ εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτῶν ὅλοι εἰσελευσόμενοι.

Εἰπὲ, Κύριε, εἰπὲ τῷ σῷ δούλῳ, ἔνδον ἐν τῇ καρδίᾳ μου, εἰ αὕτη ἐστὶν ἡ χαρὰ, εἰς ἣν οἱ δοῦλοι σου εἰσελεύσονται, οἱ εἰς τὴν χαρὰν τοῦ αὐτῶν Κυρίου εἰσελευσόμενοι; » ἀλλὰ γὰρ ᾗ που, » ἣν χαρήσονται οἱ ἐκλεκτοί σου χαρὰν, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε » οὖς ἤκουσεν, οὔτ᾽ ἐπὶ ἀνθρώπου καρδίαν αὕτη ἀνέβη· » Τοιγαροῦν οὔπω, Κύριε, συνῆκα, οὐδ᾽ εἴρηκα ὅσον οἱ οὕς περ ἐξελέξω χαρήσονται. Πάντως δ᾽ οὖν τοσοῦτον χαρήσονται, ὅσον ἂν ἀγαπήσωσι· τοσοῦτον δ᾽ ἀγαπήσουσιν, ὅσον ἂν σε ἐπιγνώσωνται, Κύριε· πόσον δὲ ἄρα ἐπιγνώσονταί γε καὶ ἀγαπήσουσιν; ἀληθῶς τοῦτο, οὔτ᾽ ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτ᾽ ἐπὶ καρδίαν ἀνθρώπου ἐν τῷδε τῷ βίῳ ἀνέβη, ὅσον ἐν ἐκείνῳ τῷ μετὰ τοῦτον ἐπιγνώσονταί σε καὶ ἀγαπήσουσι.



Δέομαί σου, Κύριε ὁ Θεός μου, γένοιτό μοι τὸ ἐν τῷ παρόντι βίῳ σὲ μὲν γινώσκειν, σὲ δ' ἀγαπᾷν, ἐν σοὶ δὲ χαίρειν· κἂν μὴ ἐν τούτῳ δύνωμαι πεπληρωμένως, ἀλλ' ἵνα γοῦν ἀφ' ἡμέρας εἰς ἡμέραν ἐπιδοίην, ἕως ἂν ἐκεῖνο περιγένοιτό μοι τὸ πλῆρες. Ἐπιδιδοίη μοι ἐνταῦθα ἡ σοῦ ἐπίγνωσις, ἵν' ἐκεῖ γένηται πλήρης. Αὔξοι ἐν ἐμοὶ ὧδε ἡ σὴ ἄυτη ἀγάπη, ἵν' ἡ ἐκεῖσε ᾖ πλήρης. Ὥστε δὴ καὶ τὴν ἐμὴν χαρὰν ὧδε μὲν εἶναι τῇ ἐλπίδι μεγάλην, ἐκεῖ δ' ἐν σοὶ πλήρη ἔσεσθαι τῇ ἀπολαύσει. Θεὸς ὁ ἀληθινὸς! λαβεῖν αἰτοῦμαι τοῦθ' ὅ αὐτὸς ἦσθα ἐπαγγελλόμενος: ἵνα ἡ χαρὰ ἡ ἐμὴ ᾖ πεπληρωμένη. Μελετάτω ἐν αὐτῇ τὸ ἀπ' ἐντεῦθεν ἡ ψυχή μου· λαλείτω περὶ αὐτῆς τὸ ἐντεῦθεν ἡ γλῶσσά μου· ἀγαπάτω αὐτὴν ἡ καρδία μου, διαλεγέσθω τὸ στόμα μου, πεινάτω αὐτὴν ἡ ψυχή μου, δεψάτω αὐτὴν ἡ σάρξ μου, ἐπιποθείτω αὐτὴν ἡ ὁλοσχερὴς οὐσίωσίς μου, ἄχρις οὗ εἰσέλθω εἰς τὴν χαρὰν τοῦ Κυρίου μου, ἔνθα διαμενῶ εἰς αἰῶνας.

Τέλος τοῦ Ἐγχειριδίου τοῦ περὶ τῆς Χριστοῦ θεωρίας.



ΤΟΥ

ΑΥΤΟΥ

ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΤΟ

περὶ συντριβῆς καρδίας.

ΚΕΦ. Α.

Ὅτι ἡ κατάνυξις γεννᾶται ἐκ τῆς τῶν περὶ ἡμας αὐτὲς περισκέψεως.

Οὐδὲν τοῦ θανάτου βεβαιότερον, οὐδὲν τῆς ὥρας τοῦ θανάτου ἀδηλότερον. Ἐννοήσωμεν τοίνυν, ὡς βραχυτελὴς ἡμῶν ὁ βίος, ὡς ὀλισθηρὰ ἡ τοῦ βίου ὁδὸς, ὡς ἀναπόδραστον καὶ βέβαιον τὸ τοῦ βίου τέρμα, ὡς ἀβέβαιόν τε καὶ ἄδηλον τὸ πότε ἥξει. Ἐννοήσωμεν, ὅσων ἐστὶ πικροτήτων ἀνάμεστον· πᾶν εἴ τι γλυκερὸν, ἢ θυμῆρες, ἐν τῇ τρίβῳ τῆς ζωῆς ταύτης ἁπάντων ἡμῖν προσπαίζει, ὅσον ἀπατηλόν τε καὶ ὕποπτον· ὡς ἄστατόν τε καὶ παροδικὸν, ἅπαν ὅ,τι ὁ ἔρως τοῦ τῆ δε βίου ὠδίνει, ἅπαν ὅ περ ἡ φαντασία, καὶ τὸ κάλλος τὸ πρόσκαιρον ὑπισχνεῖται· σκεψώμεθα δ' ἐπὶ τούτοις, καὶ ὅση τις ἡ ἐπὶ τῆς ἐν οὐρανοῖς πατρίδος ἔσται τρυφὴ καὶ γλυκύτης, καὶ ὡς ἔνι περιεσκεμμένως ἐπισταθμήσαντες παρα-

βάλλωμεν, ὅθεν τε πεπτώκαμεν, καὶ ἔνθα κείμεθα· τί ἀπωλέσαμεν, καὶ τί εὕρομεν, ὡς ἂν ἑκατέρωθεν συνήσωμεν, ὅσον ἡμᾶς δέον ἐπὶ τῆς ἐξορίας ταύτης ἀπολοφύρεσθαι. Ταύτῃ τοι γὰρ καὶ Σολομὼν ἔφη «Ὁ προστιθεὶς γνῶσιν προσθήσει ἄλγημα·» ὅσῳ γὰρ μᾶλλον ἐν περινοήσει τῶν ἰδίων κακῶν πρόεισιν ἄνθρωπος, τοσούτῳ πλέον ἐνάγεται ἐπιστενάζειν καὶ ἐποδύρεσθαι· ἡ μὲν γὰρ μελέτη ἀπογεννᾷ τὴν ἐπίγνωσιν, ἡ δ᾽ ἐπίγνωσις τὴν κατάνυξιν, ἡ δὲ κατάνυξις τὴν συντριβήν, ἡ δὲ συντριβὴ συνίστησι τὴν προσευχήν. Διὰ τῆς συνεχοῦς οὖν μελέτης πρὸς ἐπίγνωσιν τὴν ἑαυτοῦ ὁ ἄνθρωπος καταυγάζεται· ἐκ δὲ τῆς τῶν ἰδίων κακῶν διασκέψεως ἡ καρδία ὑπὸ τῶν ἐνδομυχούντων ἐν αὐτῇ δεινῶν ἐπιπλήττεται.

Ὦ τάλας ἐγώ! ὅπως ἀγαπᾷν ὤφειλον τὸν Θεόν μου! τὸν Θεόν, τὸν ποιήσαντά με μὴ ὄντα, τὸν ἀπολωλότα με ἐπαναρυσάμενον! ἐγὼ μὲν τὴν ἀρχὴν τὸ μηδὲν ἤμην, ὁ δὲ ἐκ τοῦ μηδενός με παρήγαγε. Παρήγαγε δέ με οὔκουν φυτὸν εἶναι, οὐ πτηνόν, οὐκ ἄλλοτι τῶν ἀλόγων· ἀλλ᾽ ἄνθρωπόν με πεφυκέναι θελήσας, καὶ ζῆν παρέσχε μοι, καὶ αἰσθάνεσθαι, καὶ διαλογίζεσθαι· κἀγὼ μὲν αὐτὸς ἀπολώλειν, ὁ δὲ κατέβη ἐπὶ τὸν θνητὸν ὁ ἀθάνατος, καὶ παθεῖν, καὶ θανεῖν κατεδέξατο, καὶ τοῦ θανάτου κρατήσας, εἰς τὸ πρότερον εἶναι με ἀνεκάλεσεν· οὕτως ἡ αὐτοῦ χάρις τε καὶ χρηστότης ἐς ἀεὶ προφθάσασα ἐμοῦ ἀντελάβετο. Ἀτὰρ καὶ ἐκ πολλῶν κινδύνων ὁ Σωτήρ μου πολλάκις με ἀπερρύσατο· πλανώμενον ἐπανήγαγεν, ἀσυνετοῦντα δὲ ἐξεπαίδευσεν, ἁμαρτάνοντα ὑπέμνησεν, ἀθυμοῦντα παρεκάλεσεν, ἀπογνωσθέντα ἐπεστήριξε, πεσόντα ἀνήγειρεν, ἑστηκότα ἐπικατέσχεν, ἐρχόμενον ὡδήγησεν, ἐλθόντα προσήκατο. Ταῦτα, καὶ πολλῷ δ᾽ ἔτι πλείονα ἀπειργάσατο ἐν ἐμοὶ ὁ Θεός μου, περὶ ὧν ἡδύ μοι ἀεὶ ἔσται λέγειν, ἀεὶ διενθυμεῖσθαι, ἀεὶ εὐχαριστεῖν· ὡς ἂν ὑπὲρ τῶν εὐεργετημάτων αὐτοῦ πάντων αἰνεῖν τε αὐτὸν διὰ παντὸς ἔχοιμι καὶ ἀγαπᾷν. Ἐπὶ γὰρ τούτοις ἅπασι τί ποτ᾽ ἂν αὐτῷ ἀνταποδοίην ἐγώ;

οὐδὲν ἔχω, εἰμὴ μόνον τὸ αὐτὸν ἀγαπᾷν. Οὐδὲ γὰρ ἄμεινον ἄλλως, οὐδὲ μᾶλλον ἂν προσηκόντως, ἢ δι' ἀγάπης ἀνταποδοίη τις, ὅ περ ἀγαπηθεὶς ἀπηνέγκατο.

Σκέψαι δὴ, ἄνθρωπε, τί ποτέ σοι ἦν, καὶ τί σοι γέγονε· καὶ στάθμησον, ὅσης ἄξιος ἐστὶν ἀγαπήσεως ὁ ταῦτα σοι ἐναπεργασάμενος. Βλέπε τὴν ἐν σοὶ ἀνάγκην, καὶ τὴν ἐξ αὐτοῦ περὶ σὲ ἀγαθότητα· καὶ σκόπει, ὡς ἂν χάριτας αὐτῷ ἀποδῷς, καὶ ὅσον εἶ προσοφείλων τῇ ἐκείνου ἀγάπῃ τε καὶ χρηστότητι· ἐν ζόφῳ ἦσθα, ἐν ὀλισθηρῷ ἐχώρεις, ἐς τὸ κάταντες ἔῤῥων ἐπὶ χάσματος μὴ ἐπιτρέποντος νόστον. Ἀστάθμητόν τι βάρος, οἷον μολύβδινον, ἀπηρτημένον τοῦ σοῦ τραχήλου καθεῖλκε σε, καὶ φορτίον δ' ἔτι ἀβάστακτον ἐπιθλίβον ὕπερθεν ἐπικατεπίεζεν· ἐχθροὶ δέ σε μηδαμῶς ὁρώμενοι, πείραις παντοίαις ἐπικατήπειγον· ὁ δὲ ἁπάσης ἐπικουρίας ὑπῆρχες ἔρημος, οὐδ' ᾔδεις, ὡς οὕτω καὶ συλληφθεὶς καὶ κισσηθεὶς ἀνέκαθεν. Ναὶ δή που, ἐν σκότει ἤμην· οὐδὲν γὰρ, οὐδ' αὐτὸν ἐμὲ εἰδὼς ἐγίνωσκον ὅλως. Ἔβαινον δ' ἐπ' ὀλισθηρῷ χωρίῳ, ὅτι καὶ ἀσθενὴς ἐν πτώματι ἁμαρτίας διῆγον. Καὶ ἐπὶ τὸ κάταντες δὲ κατεφερόμην, ὅτι πρὸς βάραθρον τὸ τοῦ Ἅδου κατέσπα με τὸ βάρος τῆς προγονικῆς παραπτώσεως ἐπιβρίθον μοι. Οἱ δ' ἀντιπολεμοῦντές μοι δαίμονες ἐπέκειντό μοι σφοδρῶς, ἵνα με καὶ δι' ἄλλων ἁμαρτημάτων πλείονας ἔτι κατακρίσεως ποιήσωσιν ἔνοχον. Οὕτως ὁποιασοῦν ἐπιβοηθήσεως ἀμοιροῦντι ἐπέλαμψας ἐπ' ἐμοὶ ὁ Θεός μου· ὑπέδειξάς μοι τὸν καθέλκοντα μόλυβδον, καὶ τὸ ἐπιβαροῦν ἄχθος ἀπέστησας ἀπ' ἐμοῦ, καὶ τοὺς προσεπικατεπείγοντας δυσμενεῖς ἀπεκρούσω· τὴν μὲν γὰρ ἁμαρτίαν, ἐν ᾗ συνελήφθην, καὶ ἐν ᾗ ἐκίσσησέ με ἡ μήτηρ μου, καὶ τὴν ἐξ αὐτῆς ἐνοχὴν ἐξήλειψας· τὰ δὲ πονηρὰ πνεύματα τοῦ πρὸς βίαν τῇ ψυχῇ μου ἐπηρεάζειν ἀπήλασας· χριστιανὸν δὲ ἐξειργάσω ἀποκαλεῖσθαί με τῷ σῷ ὀνόματι, δι' οὗ κἀγώ σοι ὁμολογῶ, καὶ αὐτός με ἐπιγινώσκεις, ἕνα ὄντα κἀμὲ τῶν οὓς ἐξηγόρασας. Ἀνήγειράς με τοιγαροῦν, καὶ ἀνύψωσας πρὸς τὴν σὴν ἐπί-

γνωσιν καὶ ἀγάπην ἐποίησάς με τῇ σωτηρίᾳ ἐπιθαῤῥεῖν τῆς ἐμῆς ψυχῆς, ὑπὲρ ἧς τὴν σαυτοῦ ψυχὴν αὐτὸς ἔθου· ἵνα δὲ σοὶ παρακολουθήσω, τὴν σὴν δόξαν προσεπηγγείλω μοι. Καὶ νῦν δὴ, καί τοι μὴ ἀκολουθοῦντα, οὐχ ὅπως παρήνεσας, ἀλλὰ καὶ πλεῖστα τῶν ἀπηγορευμένων ἐπιτολμήσαντα, ἰδοὺ προσέτι με περιμένεις, ἵν' ἐγὼ μὲν σοὶ παρακολουθήσω, αὐτὸς δέ μοι παράσχῃς ὅσα ὑπέσχου μοι.

ΚΕΦ. Β.

Ὅτι ἑαυτοὺς ὅλους, καὶ ἔτι, Θεῷ προσοφείλομεν.

Ἀναλόγισαι δὴ ἡ ψυχή μου, καὶ πάντα τὰ ἐντός μου προσέχετε, ὅσον τῷ Θεῷ ἐποφείλει ἡ ὅλη ἐμὴ οὐσίωσις. Πάντως δή που, Κύριε, ἐπειδὴ αὐτός εἶ ὁ ποιήσας με, ὁλοσχερῆ ἐγὼ ἐμαυτὸν τῇ σῇ ἀγάπῃ ὀφείλω· μᾶλλον δὲ, τοσούτῳ πλεῖον ἢ ἐμαυτὸν, τῇ ἀγάπῃ σου προσοφείλω, ὅσῳ αὐτὸς μείζων ὑπάρχεις ἐμοῦ, ὑπὲρ οὗ σαυτὸν ἔδωκας, καὶ ᾧ σαυτὸν ἐπιδώσειν προσεπηγγείλω. Τοιγαροῦν, Κύριε, δέομαί σου, ποίησον ἵνα δι' ἀγαπήσεως γεύσωμαι, ᾧ δι' ἐπιγνώσεως ἑστιαθήσομαι! ἵν' ἐκ διαθέσεως πόθου αἴσθωμαι, οὗ ὑπαισθάνομαι ἐκ διανοήσεως. Πλεῖον ἐγώ σοι, ἢ ὅλον ἐμαυτὸν ἐποφείλω· ἀλλ' οὔτε πλεῖον ἔχω, οὐδ' αὐτὸ τοῦθ' ὅ περ ἔχω, ἀπ' ἐμαυτοῦ ὅλον ἐπιδοῦναί σοι δύναμαι. Αὐτός με σὺ, Κύριε, πρὸς τὴν σὴν ἀγάπησιν ἕλξαι· ἐπεὶ καὶ τοῦθ' ὅ περ εἰμὶ, σόν ἐστιν ὅλον· τὸ ἄρα σὸν ὑπάρχον τῇ καταστάσει, σὸν εἶναι ποίησον καὶ τῇ ἀγαπήσει. Ἰδοὺ, Κύριε, ἡ καρδία μου ἐνώπιόν σου ἐστί· καὶ πειρᾶται μὲν προσελθεῖν σοὶ, ἀλλὰ καθ' ἑαυτὴν οὐ δύναται· σὺ ποίησον, ὅ αὕτη ἐκτελέσαι οὐ σθένει. Τῆς Παστάδος

τῆς σῆς ἀγάπης ἐντός με γενέσθαι σὺ καταξίωσον. Αἰτῶ, ζητῶ, κρούω· ὁ ποιῶν με αἰτεῖν, ποίησόν με λαβεῖν· δίδως τὸ ζητεῖν, ἐπίδος τὸ εὑρεῖν· διδάσκεις με κρούειν· ἄνοιξον τῷ κρούοντι. Τίνι δίδως, εἰ ἀπαναίνῃ τῷ αἰτοῦντι; τίς εὑρήσει, εἴπερ ὁ ζητῶν ἐμματαιάζει; τίνι ἀνοίγεις, εἰ τῷ κρούοντι ἐπιζυγοῖς; τί τῷ μὴ ἱκέτῃ παρέχεις, εἰ τὴν σὴν ἀγάπησιν ἀπονεύεις τῷ ἐκλιπαροῦντι; Παρὰ σοῦ ἔστι μοι τὸ τυχεῖν· τὴν ἐμὴν ψυχὴν ἐθέλω σοὶ προσκολλᾶσθαι. Ὑπεράγαθε Κύριε, τὴν ἀγάπην τὴν σὴν λιμώττουσα ἡ ψυχή μου ἐξέλιπεν, ἀνάψυξον αὐτήν· ἐπαναῤῥωσάτω αὐτὴν τὸ σὸν φίλτρον, ἐκλιπανάτω αὐτὴν ὁ σὸς πόθος, πιανάτω αὐτὴν ὁ σὸς ἔρως, ἐμπλησάτω με, ἐπικαταλαβέτω με ὅλον, ὅλον ἐπικατασχέτω με. Οἶδα, Κύριε, οἶδά τε καὶ ὁμολογῶ, ὅτι οὐκ ἄξιος τῆς σῆς ἀγάπης εἰμὶ ἐγώ· ἀλλ' ἦ που ἄξιόν τε καὶ δίκαιον ἐστὶν, ἵνα σοὶ δουλεύῃ τὸ πλάσμα σου. Δὸς οὖν μοι, Κύριε, ὅθεν σὺ ἄξιος, καὶ οὕτως ἄξιος ἔσομαι κἀγὼ, ὅθεν ὑπάρχω ἀνάξιος· ποίησον, ᾧ δὴ τρόπῳ ἐθέλεις, ἀπὸ [illegible]ρτάνειν με παύσασθαι, ἵν', ὃν τρόπον ὀφείλω, δ[illegible] σοὶ [illegible]μι· χάρισαί μοι οὕτω τὸν ἐμὸν βίον διατηρῆσαι, [illegible] ἀπευθῦναι, καὶ ἐκπερᾶναι, ὥστε κοιμηθῆναι με ἐν εἰρήνῃ, καὶ ἐν σοὶ καθηρεμῆσαι. Παράσχου δέ μοι ἐπὶ τοῦ τέλους τὸ παρὰ σοὶ ὑπνῶσαι ἐν ἀναπαύσει, ἀναπαυθῆναι ἐν ἀσφαλείᾳ, καὶ ἀσφαλείας ἀπολαῦσαι τῆς ἐν τῇ αἰωνιότητι. Ἀμήν.

ΚΕΦ. Γ.

Ὁ περὶ Θεὸν πόθος.

Κύριε Ἰησοῦ Χριστὲ, ὁ λυτρωτής μου, τὸ ἔλεός μου, ἡ σωτηρία μου, σὲ ἀνυμνῶ, σοὶ εὐχαριστῶ. Ἡ σή με, Κύριε, ἀγαθότης

ἐποίησεν, ἡ σὴ μὲ φιλανθρωπία τοῦ προγονικοῦ ἁμαρτήματος ἀπεκάθηρεν, ἡ σὴ μακροθυμία, καὶ μετὰ τὴν κάθαρσιν ἐκείνην ἐν ἄλλοις ἁμαρτημάτων ῥυπώμασιν ἐγκαλινδουμένου, ἐς τόδε ἠνέσχετο, καὶ διεθρέψατο, καὶ περιέμεινε. Κύριε, ὁ Θεός μου, ὁ πλάστης μου, ὁ ἐμὸς ἀντιλήπτωρ, σὲ διψῶ, σὲ πεινῶ, σὲ ποθῶ, πρὸς σὲ στενάζω, σοῦ καθιμείρομαι. Ἐπιεικέστατε, πρᾳότατε, γαληνότατε, σὲ βούλομαι, σὲ ζητῶ, ἐπὶ σοὶ ἐλπίζω. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, εἰμὴ ἐπὶ σοὶ τῇ μόνῃ ἐμῇ εὐφροσύνῃ. Ἄγε δὴ, Δέσποτα, ἐμφάνηθί μοι, καὶ παρακληθήσομαι· ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθήσομαι· πάρεσό μοι καὶ ἐμπλησθήσεται ἡ ἐπιθυμία μου· ἀποκάλυψόν μοι τὴν δόξαν σου, καὶ ἐντελὴς ἔσται ἡ χαρά μου. Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου; Πότε ἥξεις ὁ ἐμὸς παρακλήτωρ, ὃν ἀπεκδέχομαι; Ὦ... εἴ ποτε δὴ ἐπόψομαι τὴν χαράν μου, ἣν ἐπιθυμῶν ἐπεθύμησα! Ὦ... εἴ ποτε χορτασθήσομαι ἐν τῷ ὀφθῆναι μοι τὴν δόξαν τὴν αὐτοῦ, ἣν διατελῶ πεινῶν! Ὦ... εἴ ποτε μεθυσθήσομαι ἀπὸ πιότητος οἴκου σου, πρὸς ἣν ἐπιστενάζω! Ὦ... εἴ ποτε ποτιεῖς με ἀπὸ τοῦ χειμάῤῥου τῆς τρυφῆς σου, ἧς τῷ δίψει συνέχομαι! Παράσχου μοι, Κύριε, ἐπὶ τῆς ὑπερορίας μου ταύτης ἄρτον θλίψεως καὶ δακρύων, οὗ τυγχάνω λιμώττων, τοῦ βελτίονός μοι ἐσομένου περιουσίας ἁπάσης, καὶ παντοίων τρυφῶν τε καὶ τέρψεων. Ἔστω μοι τέως, Κύριε, ἄρτος τὰ δάκρυά μου ἡμέρας τε καὶ νυκτὸς, ἕως οὗ ῥηθῇ μοι, ἰδοὺ ὁ Θεός σου· ἕως οὗ ἀκούσωμαι, ἰδοὺ ὁ Νυμφίος σου· Ποίμανόν με, Κύριε, τὸ μεταξὺ τοῦτο, ἐν ὀλολυγαῖς μου· ἀνάψυξόν με ἐν ὀδύναις μου.



ΚΕΦ. Δ.

Ἡ ἐκ φαύλης τε καὶ μοχθηρᾶς συνειδήσεως Ἀθλιότης.

Ὁ Θεός μου, οἷον ἐποίησάς με; οἷος δ' ὑπῆρχον; οἷον αὐτὸς μ' ἐποίησας; οἷον δ' ἐμαυτὸν αὖθις ἐποίησα διαστρέψας; Ἐν γὰρ ἀνομίαις συνελήφθην τε καὶ ἐγεννήθην, ὁ δέ με ἀπέπλυνας· αὐτὸς μὲν αὖ καθηγίασάς με, ἐγὼ δὲ χείροσιν ἔτι καὶ βαρυτέροις ἐν ἁμαρτήμασιν ἐμαυτὸν ἐβεβήλωσά τε καὶ κατεμόλυνα. Ἐν ἀναγκαίοις δὴ τότε ἄκων γεννηθεὶς ἐγενόμην, ἐν ἑκουσίοις δ' ἔπειτα αὐτὸς ἐνεκαλινδήθην. Οἴ μοι τῷ ἀθλίῳ τε καὶ παναθλίῳ· Πανάθλιος γὰρ ὁ ὑπὸ τῆς ἰδίας ἑαυτοῦ στρεβλούμενος συνειδήσεως, ἣν ἀποδρᾶναι οὐκ ἔχει· πανάθλιος, ὃν ἀπεκδέχεται δίκη, ἣν παρεκκλῖναι οὐ δύναται. Ὡς λίαν ἐλεεινὸς ὁ καθιστάμενος αὐτὸς ἑαυτῷ φρίκης πρόξενος· πολλῷ δ' ἔτι ἐλεεινότερος, ὅς αἰωνίου θανάτου φθάσας προϋπαισθάνεται. Ὡς σφόδρα τάλας ὁ ἐνδελεχῶς ὑποπτήσσων τὰ ἐπὶ τῆς ἰδίας συμφορᾶς δείματα· πολλῷ δὲ ταλάντερος, ὃν ἀτελεύτητοι βασανιοῦσιν αἱ ὑπὲρ τῶν ἀνομιῶν τῶν αὐτῷ ὀδύναι. Δεινὸν τόδε, καὶ δεινὸν τόδε, ἀλλὰ τὸ μὲν ἧττον, τὸ δέ μοι μᾶλλον· τὸ γεμὴν εἰς Θεὸν ἐξαμαρτεῖν, ὡς λίαν πικρὸν ἐστὶν ἀεὶ, καὶ χαλεπόν τε καὶ πάνδεινον. Ὦ ἁμαρτάδες, ὡς μὲν ῥάστας ἔχετε τὰς εἰσόδους, ὡς δὲ δυσχερεῖς καὶ δυσπαλεῖς τὰς ἐξόδους! προτρέπουσαι γὰρ ἐπιθέλγετε, πείσασαι δὲ, τὴν ψυχὴν τιτρώσκετε ἄχρι θανάτου· οὓς δ' ἂν ὑπαγάγοιτε ἁμαρτήσαντας, ἐν τίσιν, οἷον ἀσκοῖς, οὐχὶ τελευταῖον ἐγκατακλείσασαι φορμοραφεῖτε; σύνετε δὴ οἱ ἐν ἁμαρτήμασι περιπίπτοντες, ὅσον κακὸν ἐστὶ καὶ κατάπικρον τὸ ἐγκαταλείπειν Θεόν· περιπεσόντες δὲ,

ἀνανήψατε, ἐπιστράφητε, καὶ μηκέτι ἁμαρτάνετε, ὅλως (φημὶ) μηδόλως. Δεινὸν γὰρ τῷ ὄντι, καὶ πικρότατον· ἐκ πείρας φθέγγομαι· ἐν αὐτῷ γε τούτῳ εἰμί. Ἤτοι γὰρ ἐνδελεχεῖς ἀνίαι προσταλαιπωρήσουσί μοι τον βίον ὅλον, ἐν μεταγνώσει ἐπωδύνῳ ἀδιαλείπτως στρεφόμενον, ἢ γοῦν αἱ περιοδυνίαι αὗται διαιωνίζουσαι, τὴν τὰς δικαίας τέως κολάσεις ὑποστησομένην ψυχήν μου κατατρυχήσουσι. Πάντως δή που δεινὸν καὶ κατάπικρον τούτων ἑκάτερον. Ῥῦσαι με, Κύριε, ἐξ ἀμφοτέρων!

Πρὸ πάντων, ὦ ψυχή, ταύτην τὴν οἷον τῶν ἀρετῶν οὖσαν μητέρα καθυποβάλλω σοι· πρόσεχε δή, ἐν τῷ ἐπαναμιμνήσκεσθαι τῶν κακῶν σου, μή ποτε ταῖς τοῦ διαβόλου παγίσιν ὁπωσοῦν ἄλλως ἐγκύρσῃς, ὅ συμβαίνει πολλοῖς ἔχουσιν ἀπαραφυλάκτως· οἵ, ἐν ᾧ τὰς ἑαυτῶν ἀνομίας πρὸ ὀφθαλμῶν τῆς διανοίας ἐπανακαλοῦσι, διὰ τῆς τοιαύτης ἐπαναμνήσεως ἐπὶ τὴν ἐξ αὐτῶν τῶν πονηρευμάτων προσεγγινομένην αὐτοῖς ἡδονὴν ἀφρόνως ἐμπεριπίπτουσι· τὰ πλεῖστα γὰρ καὶ αὐτὸς, ἐπειδὰν (κατά τινα δῆθεν χρείαν) προσλαλῆσαι τινὶ ἐνάρξωμαι, αὐτίκα δὴ εἰς καταλαλιὰν καταφέρομαι· ἢ γοῦν περί τινος ἀνοήτως διόμνυμαι· ἢ ὑπὸ περιεργείας ἀπειροκάλου ἁλίσκομαι, ἢ πονηρῶν τινων διενθυμήσεων αἰσχρότητας, καὶ ἀθεμίτους τε καὶ ἀναιδεῖς ἔσθ' ἃς κινήσεις ἐντὸς ἐμοῦ ἐνεγειρομένας ὑφίσταμαι. Οὐαί μοι τῆς τηλικαύτης ἕνεκα ἀθλιότητος! οὐαὶ τῆς τοσαύτης μου ἀπωλείας! ὁπότε γὰρ τῶν μὲν ὄπισθεν ἐθέλω ἐπιλαθέσθαι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτείνεσθαι, οὐκ οἶδ' ἐξ ὁποίας μου ἐλεεινότητος, ἐπὶ τὰ μάταια καὶ ἐπιβλαβῆ συνορῶ ἐμαυτὸν ἐπολισθαίνοντα· καὶ ὥσπερ εἴτις ἐπισκήψειέ μοι θάνατος αἴφνης, ἢ, ὡσανεὶ κύων τις λυσσαλέος ἐφορμήσειέ μοι, ὅς οὐδὲ παιόμενος τοῦ σπαράττειν τὸν προστυχόντα ἀπόσχοιτο, οὕτω μου τὴν ψυχὴν διατιτραίνει ἡ τῆς σαρκὸς ἡδυπάθεια, ὥστε με ἀντὶ τῆς ἐξ ἀρετῶν εὐοσμίας, ἀφορήτου τινὸς καὶ μιαρωτάτης δυσωδίας, τῆς ἐκ τῶν ἐμῶν ἐλαττωμάτων, προσεπαισθάνεσθαι. Ὁμολογῶ σοι, γλυκύτατε Ἰησοῦ, Κύριέ μου, καὶ ἀνεκπετάννυμι

καταθριαμβεύων ἐνώπιόν σου ἁπάσας μου τὰς ἀνομίας, ἃς ἐνδομυχούσας μου τῇ ψυχῇ περιφέρω. Ἕνδεκα δὲ κακὰ, ἐναριθμούμενα ἐν ἐμοὶ, ἐστὶ τάδε· ἡ Ὀργιλότης· ἡ Ἀπληστία· ἡ Θεῷ νεμεσητὴ, καὶ τοῖς Ἁγίοις ἅπασιν ἐπιστυγὴς Διχόνοια, καὶ Διχοφροσύνη· ἡ Ἀγανάκτησίς τε, καὶ Ἀδημονία· ἡ Μνησικακία· ἡ Ἀκηδία· ἡ Λαιμαργία· ὁ Διογογγυσμὸς· ἡ Τρυφῆς τε καὶ σπατάλης ἐπιθυμία· ἡ τῆς σαρκὸς ἡδυπάθεια· καὶ ὁ χειμὼν ὁ τῆς ἀκολασίας. Καὶ πλεῖστα δὲ προσέτι παραπλήσια τούτοις, οἷς ἐπηρεάζεται καὶ παθαίνεται, σπαράττεταί τε καὶ διασπᾶται ἡ δειλαία καὶ ἀλιτρώδης ψυχή μου. Φεῦ, ὅσῳ ἀνεκτότερον σεσηπὼς κύων ἀπόζει τοῖς προσεγγίζουσιν, ἢ Θεῷ ἡ ἐμὴ ψυχὴ ἡ πολυαμάρτητος! ὅσον τῷ Θεῷ αὕτη μᾶλλον βδελυρὰ καὶ ἐπιστυγὴς, ἢ ἐκεῖνος ἀνθρώποις δυσάντητος! Ὦ ψυχὴ, δένδρον ἄκαρπον, ποῦ εἰσὶν οἱ καρποί σου; τὸ γοῦν τοιοῦτον δένδρον ἀξίνης τε καὶ πυρὸς ἐστὶν ἄξιον, ἐκκόπτεσθαι δέον καὶ καίεσθαι· τίνες οἱ σοὶ καρποὶ ὦ ψυχή; ἄκανθαι δὴ νύττουσαι, καὶ ἁμαρτίαι ἐμπικραίνουσαι· αἳ ὄφελόν σε οὕτω τιτρώσκοιεν, ὥστε ἐπιθράξαι· οὕτω δ' ἐμπικράνοιεν, ὥστε γενέσθαι ἐξίτηλοι. Μικρὸν ἴσως εἶναι ἡγῇ τὸ ἁμάρτημα· ἀλλ' οἴ μοι! οὐχὶ πᾶσα ἁμαρτία εἰς Θεὸν ἐστὶν ὕβρις δι' ἀθετήσεως; ἡ δὲ εἰς Θεὸν ὕβρις, ὅσον κακόν; καὶ τολμήσειέ τις ἄρα εἰς Θεὸν ἐξαμαρτήσας, μικρὸν ἡγήσασθαι τὸ ἁμαρτηθέν; Ἰησοῦ, ἀπειράγαθε Κύριε, ἵνα τί ἐκ τοῦ οὐρανοῦ κατελήλυθας; τί ἐν τῷ κόσμῳ κατεληλυθὼς ἐξειργάσω; εἰς τί θανάτῳ σαυτὸν παρέδωκας, ἢ εἰς σωτηρίαν τὴν τῶν ἁμαρτωλῶν, ὧν πρῶτος εἰμὶ ἐγώ;



ΚΕΦ. Ε.

Ἐπίκλησις τȣ̃ Θείȣ Ἐλέȣς.

Ἀλλ' ἀνάπνευσον ὁ ἁμαρτωλὸς, ἀνάπνευσον, μὴ ἀπογνῷς· ἔλπισον ἐπ' αὐτὸν, ὃν ἐν δίκῃ πεφόβησαι· ἐπὶ τὸν αὐτὸν πρόσφυγε, ἀφ' οὗ ἀφρόνως ἀπέφυγες. Αὐτὸν ἐκεῖνον ἐπικαλέσθητι φορτικῶς, ὅν παρώξυνας ὑπεροπτικῶς. Ναὶ, ὁ ἐμὸς Ἰησοῦς ὁ πανεύσπλαγχνος, ἕνεκεν τοῦ ὀνόματός σου με πρόσδεξαι· ποίησόν μοι κατὰ τὸ ὄνομά σου, ὦ Ἰησοῦ μου! Ἐπιλάθου τοῦ ὑπερόπτου τοῦ σὲ παροξύναντος, καὶ ἔπιδε ἐπὶ τὸν ἐλεεινὸν, τὸν ἐπικαλούμενόν σου τὸ γλυκὺ ὄνομα! Τὸ ὄνομα τὸ τερπνοποιὸν, τὸ ὄνομα τὸ ψυχαγωγοῦν τὸν ἐξαμαρτήσαντα, τὸ ὄνομα τὸ τῆς μακαρίας ἐλπίδος· τί γάρ ἐστιν ἸΗΣΟΥΣ; τί, ἀλλ' ἢ ΣΩΤΗΡ; Τοιγαροῦν ἕνεκεν σεαυτοῦ, γενοῦ μοι Ἰησοῦς, Σωτὴρ ἐλεήμων! μὴ, Κύριε, μὴ οὕτω πρόσχῃς τῇ ἐν ἐμοὶ μοχθηρίᾳ, ὥστε ἐπιλησθῆναι τῆς σῆς χρηστότητος. Ἀπειράγαθε Κύριε! εἰ ἐγὼ εἰργασάμην, δι' ὃ καταδικάσαι με ἐν δίκῃ ἔχεις, μὴ τοι αὐτὸς ἀπέθου, ὅθεν διασώζειν φιλεῖς; εἰ τῆς ἐν ἁγνείᾳ ὀρθότητος ἐμαυτὸν ἐγὼ ἀπεστέρησα, μὴ τὴν εἰς τὸ οἰκτείρειν ῥοπὴν τὴν ἐν σοὶ ἀντανεῖλον; Ἀληθῶς τὸ ἐν ἐμοὶ συνειδὸς τῆς ἐσχάτης ἄξιον εἶναι ὁμολογεῖ καταχρίσεως, οὐδ' ἡ ἐμὴ μεταμέλεια ἐξαρκοῦσα ἐστὶ πρὸς ἱκανοποίησιν, ἀλλὰ πάντως ἡ ἐν σοὶ εὐσπλαγχνία πάντα ὑπέρκειται καὶ ὑπερβάλλει ἃ σοὶ προσέκρουσα. Αὐτὸς τοίνυν, Δέσποτα, φεῖσαί μου, ὅς ὑπάρχεις ἡ σωτηρία· καὶ ὁ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ μὴ θέλων, οἴκτειρόν μου τὴν ψυχὴν τὴν φιλαμαρτήμονα. Λῦσον τὰ δεσμὰ ταύτης, θεράπευσον αὐτῆς τὰ τραύματα! Ἰδοὺ ἐγὼ, Κύριε πανοικτίρμον, κατέναντι τὴν ψυχήν μου παρίστημι, τοῖς τῶν ἀρετῶν νεύροις

παραλελυμένην, τὴν ἐν σειραῖς παραπτωμάτων πεπεδημένην, τὴν ὑπὸ τῷ φορτίῳ τῶν ἀμπλακημάτων βεβαρυμένην, τὴν ἐν ῥύποις παντοίων ἀθετημάτων κατεσπιλωμένην, τὴν τοῖς τραύμασι τοῖς παρὰ τῶν δαιμόνων κατεσπαραγμένην, τὴν ἐν οὐλαῖς ἀνομημάτων δεινῶς ὑπομοιδῶσαν τε καὶ ἀποδωδυῖαν· καί γε τοῖς τοιούτοις καὶ ἄλλοις κακοῖς χαλεπωτάτοις (ἅ περ αὐτὸς ἄμεινον, ἢ ἐγὼ, καθορᾷς) περιεστοιχισμένην, συνειλιγμένην, συγκεχωσμένην, καταπιεζομένην, τῆς δὲ ἐξ ἀγαθοῦ παντὸς ἐπικουφίσεώς τε καὶ ἀναψυχῆς ἀμοιροῦσαν. Ἰδοὺ ὅση ἡ στενοχωροῦσα με ἐστὶν ἀθλιότης! Φθάσον, ἀντιλαβοῦ, βοήθησον, ὦ εὐσπλαγχνία ἡ διὰ πάντων διήκουσα, ἡ ἐφαπλουμένη ἐφ' ἅπαντας!

Οἴ μοι τῷ ἀθλίῳ! οἴ μοι τῷ τρισαθλίῳ! τῷ πάντοτε, καὶ ἁπανταχοῦ, καὶ ἐν ἅπασι παναθλίῳ! ὅση τις ἐστὶν ἡ τοῦ ἐλεεινοῦ ἀνθρώπου αἰχμαλωσία! ἐὰν μὲν κακῶς τυγχάνοι βιοῦν, ἀναπέπταται αὐτῷ τῆς καταδικασίας τὸ βῆμα, ἐὰν δὲ καλῶς μὲν βιοῦν δοκοίη, περὶ δὲ τὴν ἰδίαν φυλακὴν ἔχων ἀπερισκέπτως, καὶ μάτην ἑαυτῷ ἐπιθαῤῥῶν καὶ βρενθυόμενος, παραῤῥυῇ πως ἐκκλίνας, πάλιν τῷ τρισαθλίῳ παρὰ πόδας ὁ θάνατος ἥξει, καὶ ἡ ψῆφος ἐφέψεται ἡ τέλος μὴ ἔξουσα.

Ἐχθροὶ δὲ τοῦ ταλαιπώρου ἀνθρώπου εἰσίν· ὑπερηφανία, κενοδοξία, βασκανία, κτ. ὑφ' ὧν ὁ δείλαιος ἐπηρεάζεται καὶ παρενοχλεῖται· καὶ εἰμὴ τὸ ἐκ τοῦ Θεοῦ ἔλεος φθάσαν αὐτῷ ἐπαμύνῃ, ἕως θανάτου τὰ πολλὰ τραυματίζεται. Ῥῦσαί με, Κύριε, ἀπὸ τῶν πολεμίων τούτων, ἀφ' ὧν οὐκ ἰσχύω ἐμαυτὸν αὐτὸς ἀπαλλάξαι· διέφθαρται γὰρ καὶ ἐξετράπη ἡ καρδία μου, καὶ πρὸς μὲν τὸ ἐπὶ τοῖς ὑπ' ἐμοῦ προεξημαρτημένοις θρηνεῖν, λιθώδης τις κατέστη καὶ αὐχμηρά· πρὸς δὲ τὸ ἐπεγκειμένοις αὐτοῖς καὶ προσβάλλουσιν ἀντέχειν, ἁπαλὴ καὶ πηλώδης· καὶ τοῖς μὲν ματαίοις ἐπιχειρεῖν καὶ ἐπιβλαβέσιν, ὀξυκίνητός τε ἐστὶ καὶ ἀκάμαντος,

τοῖς δὲ σωτηριώδεσι προσέχειν τε καὶ ἐμμελετᾶν, ἀνορέκτως ἔχουσα ἐστὶ καὶ ἀκινήτως. Διέστραπταί πως ἡ ψυχή μου καὶ ἀπεκακύνθη· ἐκτραχηλισθῆναι γὰρ, καὶ ἐν μοχθηρίαις ἐγκατακυλισθῆναι πάνυ εὐχερής ἐστὶ καὶ ἑτοίμη, τῆς δὲ ἰδίας σωτηρίας ἐπιμνησθῆναι πάνυ δυσχερής τε καὶ ὀκναλέα. Μακρὸν τὸ ἕκαστα καταλέγειν· Γαστριμαργίαν, ὑπνηλότητα, ἐλαφρίαν, ἀπληστίαν, κενοσπουδίαν, καταλαλιὰν, ἀπείθειαν, καί τ' ἄλλα τῶν ἐλαττωμάτων, ὑφ' ὧν ἄθυρμα καθημερινὸν ἡ τάλαινά μου ψυχὴ καθισταμένη διασπᾶται, καὶ καταπατεῖται, καὶ ἀπόλλυται. Λύτρωσαι αὐτὴν, Κύριε· ἀποφόρτισον ἁμαρτημάτων ὄγκῳ πιεζουμένην· ἀπόλυσον σειραῖς πλημμελημάτων συνδεσμουμένην· ἀπάλλαξον ἐν ἄρκυσιν παραπτωμάτων σαγηνευθεῖσαν· ἔγειρον κάτω κειμένην· ἄνεχε παραφερομένην· κατάφραξον ἐν πνευματικοῖς ὅπλοις τοῖς τῶν ἀρετῶν οὖσαν ἄοπλον· σκέπε τε καὶ φρούρει ἐν πολέμῳ γυμναζομένην, ἐκπολέμησον τὸν ταύτης πολέμιον. Ἰησοῦ πανάγαθε, ἴδε τὴν ταπείνωσίν » μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου· » βοηθός μου γενοῦ, μὴ ἐγκαταλίποις με, μηδέ με ἀποσκορακί» σαις, ἀλλὰ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου. Ἐπιμαρτυρείτω ἡ ψυχή μου, ἐφ' οἷς ἐξομολογεῖται τὸ στόμα μου. Βοήθησόν μοι, πανεύσπλαγχνε Κύριε, μακρόθυμε, καὶ πανοικτίρμον, ὑπὲρ ὃ ἐννοῆσαι αὐτὸς δύναμαι, ἵν' οὕτως αὐτὸ τοῦτο (τὴν σὴν δηλονότι βοήθειαν) ἔχοιμι ἐπαισθέσθαι, ὡς ἐλπίζειν προάγομαι.



ΚΕΦ. ϛʹ.

Ἁμαρτωλȣ̃ ὁ κίνδυνος ὅσος.

Ὦ τὰμὰ ἁμαρτήματα, ὡς μεγάλα ἐστὲ, ὡς πλεῖστα ἐστέ. Ὁ κρίνων δὲ φρικτῶς ἐστὶν ἀκριβὴς, κἂν μὴ ἐπίσης αὐστηρὸς ὑπάρχοι. Αὐτοῦ γοῦν, οὐ μετρίως ἐμοὶ παροξυνθέντος, σφόδρα τε κατ᾽ ἐμοῦ παροργισθέντος, ἡ ψῆφος ἐστὶν ἀπαράτρεπτος, ἡ εἱρκτὴ ἀναπόδραστος, αἱ ποιναὶ ἀδιάλειπτοί τε καὶ ἄκρατοι, οἱ βασανισταὶ φοβεροὶ, ἀνηλεεῖς, μηδέ ποτε ἀποκάμνοντες, μηδέ ποτε κατοικτείροντες· τὸν οὖν ὑπεύθυνον ὁ φόβος ἐκθράττει, τὸ συνειδὸς συνταράττει, οἱ λογισμοὶ ἀπελέγχουσι· διαφυγεῖν οὐκ ἔστιν. Ἰδοὺ ἐς ὅσον κινδύνου περίειμι ὁ ἄθλιος, εἰμὴ παρ᾽ ὅσον οὐκ ἀδιαλείπτως ἐς ἀεὶ τόδε τυγχάνω διανοούμενος· καθ᾽ ὃ καὶ τοσούτῳ ἀθλιώτερός τε εἰμὶ καὶ ἐλεεινότερος, ὅτι καὶ ἐπιλαθέσθαι οὐ δύναμαι. · ἀεὶ γὰρ ὁ Θεὸς καθορᾷ ἐμέ τε καὶ τὰ ἐμὰ ἀνομήματα· ἀεί μοι ἡ ἀπότομος προδιαγγέλλεται ψῆφος· ἀεί μοι διήνοιξε φάρυγγα ὁ ᾅδης, καὶ καταπιεῖν ζητεῖ με, καὶ τὰ ἐν αὐτῷ κολαστήρια ἕτοιμα ἐστίν· ἀεὶ δ᾽ ἐμπαράσκευοι οἱ τὴν ἐλεεινήν μου ψυχὴν ἐπιβουλεύοντες ἀοράτως ἐκεῖ διαρπάσασθαι. Οὕτως ἐν ᾧ ἀγρυπνῶν εἰμὶ, οὕτως ἐν ᾧ καθεύδων, οὕτως ἡνίκα γελῶ, ἤ πως χαίρω· οὕτως ἐπειδὰν ἐπαλαζονεύομαι, ἢ ἄλλων καταφρυάττομαι· οὕτως ὅτε ἐποργίζομαι, ἢ ἀνιῶμαι· οὕτως ἔτι καὶ ὅτε τὰς σωματικὰς τρυφὰς καὶ ἀπολαύσεις αἱροῦμαι τε καὶ ἀσπάζομαι· καὶ ἵνα συνελὼν εἴπω, οὕτως ἀεί τε καὶ πανταχοῦ ἔχων διάκειμαι. Αἴ, Αἴ μοι τῷ ἀθλίῳ! Ποῦ εἰμὶ; ποῦ νῦν εἰμὶ; οὐ γὰρ οἶδ᾽ ὅπου ἐν ἀσφαλεῖ ὢν εἰμί.



ΚΕΦ. Ζ.

Τοῖς ἁμαρτωλοῖς δεσμὰ, καὶ εἱρκτὴ, καὶ ζόφος.

Οὐαί μοι τῷ οἰκτρῷ! τί δράσω; Οἴ μοι! ὡς ἐπὶ πολὺ ἐξατονεῖ μου ὁ νοῦς! ἡλίκη ἀναλγησίᾳ κατεσκλήρυται ἡ καρδία μου! ὁποίᾳ δὴ ἀποναρκώσει ἐπιβέβυσται ἡ ψυχή μου! τί τὸ οὕτω με ἀνακόπτον; τί τὸ οὕτω μου τὸν αὐχένα καταπιέζον; Βούλεται, Δέσποτα, βούλεται ἡ ψυχή μου τὸ πρόσωπον αὐτῆς ὡς σὲ ἀνατεῖναι· ἀλλὰ ὁλκῇ τινι μολυβδίνῃ ἀχθοφοροῦσα καταβαρεῖται. Ἐπείγεται μὲν τοῦ φόρτου ἑαυτὴν ἀπαλλάξαι, ἀλλ᾽ ἁλύσεσι σιδηραῖς περισφίγγεται· ἀποπειρᾶται μὲν εἴπως ἐστιν αὐτῇ τῆς εἱρκτῆς ἐξιέναι, ἀλλ᾽ ἡ εἱρκτὴ ἐν ᾗ ἐγκαθεῖρκται ἐστὶ χαλκίνη. Ἐφίεται πρὸς σὲ τὰς ὄψεις ἐπαφιέναι, ἀλλ᾽ ἐν ἀχλύϊ ζοφερωτάτῃ ἐπισκοτεῖται. Τίνα δὴ ταῦτα ἐστὶν, ὁ Θεός μου, τὰ οὕτω τὴν ἐμὴν ψυχὴν ἐπιζοφοῦντα καὶ καταβαρύνοντα, τὰ οὕτως αὐτὴν ἐγκαθειργνύοντα καὶ καταδεσμοῦντα; αὗται δῆθεν αἱ ἀνομίαι μου εἰσί· μᾶλλον δὲ, αἱ ἀνομίαι μου αὐταὶ εἰσὶ πάντως. Ἡ τῆς σαρκὸς ἐμπάθεια ἐπεμώρανέ μοι τὴν τῆς πνευματικῆς ἡδύτητα γεύσεως· ἡ ἐπὶ τὰ χαμερπῆ καὶ χαμαίζηλα ἔντασις κατέκαμψέ μου τὴν διάνοιαν ἀπὸ τῆς ἐπὶ τὰ ὑπέρτερα ἀνατάσεως· ὁ περὶ τὰ γήϊνα ἔρως ἀπέσβεσεν ἐν ἐμοὶ τὴν ἐκ τῶν Οὐρανίων τερπνότητα· ἡ τῶν φαυλοτέρων κατάχρησις ἐξίτηλόν μοι πεποίηκε τὴν τῶν ἀληθινῶν ἀγαθῶν ἐπαίσθησιν· τῶν μὲν τοιούτων καλῶν ἀπεμακρύνθην, περὶ δὲ τάδε τὰ ἀβέλτερά τε καὶ πονηρὰ κατησχόλημαι. Ἐκείνων μὲν ἀποκλεισθεὶς, ἐν τούτοις δὲ περισχεθεὶς· ἐκείνων ἐκκυλισθεὶς, ἐν τούτοις ἐγκαλινδούμενος.

Ἐντεῦθεν ἐμοὶ καὶ ἡ εἱρκτὴ, καὶ τὰ δεσμά· ἐντεῦθεν μοι καὶ ἡ ζόφωσις, καὶ τὰ ἄχθη. Οὐαί μοι, ὅτι ἐγγύς ἐστὶ τῆς ὀργῆς ἡ ἡμέρα· ἐγγύς ἐστὶ, φημὶ· ἀγνοουμένη, αἰφνίδιος ἥκει· καὶ τάχα ἡ σήμερον ἔσται.

ΚΕΦ. Η.

Ὅτι ὁ ἁμαρτωλὸς τυφλὸς ἐςὶν ὀφθαλμὲς ἔχων.

Πρὸς αὐτὰς ὑμᾶς εἰμὶ προσδιαλεγόμενος τὰς ἐμαυτοῦ ἁμαρτίας. Ἆρ᾽ οὖν, ὦ αὗται, τοσαύτην ἐμέλλετέ μοι τὴν ἄτην ἐπιμνηστεύσειν, ὅτε μου τὴν ψυχὴν τῇ παρ᾽ ὑμῶν κατεποτίζετε γλυκερότητι; ἡνίκα οὕτω προσηνῶς καὶ ἡδέως τὴν ἐμὴν καρδίαν προσεπεχρίετε, τί με τὰ τοιαῦτα ἐκρύπτετε; ἵνα τί με προὐδώκατε; Καί τοιγε οὐχ ὑμεῖς αἱ ἐμαὶ ἁμαρτάδες με προὔδοσθε, ἀλλ᾽ αὐτὸς ἐμαυτὸν φέρων παρέδωκα ὑμῖν ἑκοντὶ ἐμπιστεύσας. Οὐχ ὑμεῖς με ἐξηπατήκατε, ἀλλ᾽ αὐτὸς ἐμαυτὸν, ὁ κατ᾽ ἐμαυτοῦ ὑμᾶς προελόμενός τε καὶ ἀσπασάμενος. Οἴ μοι! ἵνα τί πίστιν πρὸς ὑμᾶς ἔσχον; καὶ πῶς ὑμῖν ἐμαυτὸν ἐνεπίστευσα; ἀλλ᾽ οὔτ᾽ ἔσχον, οὔτ᾽ ἐνεπίστευσα· ὀφθαλμοὺς δ᾽ ἔχων, καὶ ἐκτυφλωθεὶς, οὐκ οἶδ᾽ ὅπως, ἐμαυτὸν ὑμῖν ἀφρονέστατα παρεθέμην· ὀφθαλμοὺς μὲν ἔχων, ὅτι ὑμᾶς ἐπεγίγνωσκον, καὶ τὰ δεινὰ ὅσα ὑμῖν παρέπεται, ᾔδειν· ἐκτυφλωθεὶς δέ πως, ἐπεὶ ἀφ᾽ ὑμῶν οὐκ ἐφυλαξάμην, οὐδ᾽ ἀπεσχόμην. Φεῦ, ὦ ἁμαρτία, ὄνομα φοβερὸν, χρῆμα στυγερὸν, κακὸν ἀπαράβλητον! τυφλὸς οὐχ ὁρᾷ τὸν βόθυνον ἐς ὃν ἐμπίπτει. Ἄφρων εἶναι ποιητέον ἡγεῖται, ὃ καὶ ποιῆσαι τολμᾷ. Ὁ τὴν ἁμαρτίαν ἐκτελῶν ἑκουσίως, αὐτὸς καὶ βλέπων, καὶ γινώσκων, κατὰ

τοῦ κρημνοῦ κυβιστῆ. Ὁ μὲν θάνατος, καὶ τὰ παντοῖα τῶν κολαστηρίων, κολαστήρια μὲν ἐστιν, αἰσχρὰ δ' οὐκ ἔστι· διατεταγμένα γὰρ ἐστίν· ἡ δ' ἁμαρτία καὶ αἶσχος καθ' ἑαυτὴν ἴδιον φέρει, καὶ ἀθλιότητα καθ' ἑαυτῆς προμνηστεύει καὶ ἐπισπᾶται, τὴν εἰς αἰῶνα παρέψεσθαι μέλλουσαν. Βέλτιον δὲ ἂν εἴη κολαστήριον ἑλέσθαι διαιωνίζον μὲν, αἶσχος δὲ μηδαμῶς συνεπισύρον αἰώνιον, ἢ ἁμαρτίαν, τὴν ἅμα συν τῇ αἰσχρότητι καὶ ὀδύνας ἀτελευτήτους ἐπισυνάπτουσαν. Πάντως γὰρ δή που, ταλαίπωρε ἄνθρωπε, μόνη ἡ ἐν τῷ ἁμαρτάνειν αἰσχρότης φευκτέα μᾶλλον, ἢ ὁποιάδηποτοῦν κόλασις, ὁπόσον ἂν εἴποις, χαλεπωτάτη. Ἐν γὰρ τῷ ἁμαρτάνειν ἐκ διαστροφῆς παναισχίστης, σεαυτὸν τίθης πρότερον ὁπωσοῦν τοῦ σὲ κτίσαντος· τοῦ δὲ τοιούτου τί γένοιτ' ἂν ἀθεσμότερον; ἐν δὲ τῷ φέρειν τὰς ἐπὶ τῷ προημαρτηκέναι ποινὰς καὶ κολάσεις τάξει τινὶ παγκάλῳ καθυπάγεται τῷ πεποιηκότι τὸ ποίημα, οὗ δή που οὐδὲν δικαιότερον. Ὦ ἄνθρωπε, οἷ περ ἄρ ἡ ἐν σοὶ ἀπῴχετο ἀνθρωπότης; ὅποι δ' ὁ ἐν σοὶ ἐξῴκειλε λόγος; οὐκ ἀκούσας δὴ προὐδιδάχθης, ὅτι « πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν » δοῦλος ἐστὶ τῆς ἁμαρτίας; » ὁ δὲ, τὴν ἁμαρτίαν ποιῆσαι προήρησαι. Ὦ τῆς, πρὸς τὸ ἐν γνώσει ἐξαμαρτάνειν αἱρεῖσθαι, παραλόγου τε καὶ ἀτοπωτάτης παρανοίας τε καὶ θρασύτητος! Ἤδεις πνεῦμα πεφυκὼς πορευόμενον, καὶ οὐκ ἐπιστρέφον· καὶ σεαυτὸν » εἰς ἄβυσσον ἐνέβαλες φέρων, τὴν μηδὲ διέξοδον ἔχουσαν, » μηδὲ πυθμένα! »



ΚΕΦ. Θ.

Περὶ τῆς τριττῆς Ἀβύσσȣ.

Ἄβυσσός τις ἐστὶ τῷ ὄντι τῶν ἀνομιῶν μου τὸ πλῆθος, ὅτι καὶ βάρει καὶ βάθει ἀπερίληπτοι ἅυται εἰσὶ, καὶ ἀνεπιλόγιστοι, καὶ ἀριθμῷ, καὶ μέτρῳ. Ὦ Ἀβύσσου Ἄβυσσον ἐπικαλουμένης! Ὤ μοι, ὅτι καὶ αἱ ἁμαρτίαι μου, καὶ αἱ κολάσεις, ὧν ἐπ' αυταῖς ἔνοχος εἰμὶ, ἄβυσσοι εἰσὶν, ἄπειραί τε οὖσαι καὶ ἀκαταμέτρητοι! Ἀλλ' ἔστι (Φεῦ!) καὶ τρίτη τις ἐπ' αὐταῖς Ἄβυσσος ἄλλη, καὶ ἅυτη γε ὡς λίαν φρικώδης· » τὰ κρίματά σου (Κύριε) Ἄβυσσος » πολλή» ἄδηλα γὰρ αὐτὰ καὶ κρύφια, καὶ πᾶσαν ἀνθρωπίνην κατάληψιν ὑπερβαίνοντα. » Οὐαὶ ἐπὶ τῷ Οὐαὶ, φόβος ἐπὶ φόβῳ, » ἄλγος ἐπ' ἄλγει. Ἄβυσσος Ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν » καταῤῥακτῶν σου. » Ἡ γὰρ Ἄβυσσος ἡ τῆς ἁμαρτίας τῆς τῶν κολάσεων ἔνοχος ἐστὶν Ἀβύσσου, ἣν προδιαγγέλλει καὶ προδιαθεσπίζει τὰ τοῦ Θεοῦ κρίματα. Ἄβυσσος μὲν τῶν θείων κριμάτων, ἄνωθεν ἐμοῦ. Ἄβυσσος τῶν ἐν ᾅδου κολάσεων, κάτωθεν ἐμοῦ. Ἄβυσσος δὲ καὶ ἡ τῶν ἁμαρτημάτων τῶν ἐντὸς ἐμοῦ. Καὶ φοβοῦμαι λίαν καὶ τρέμω, μὴ ἡ ὑπὲρ ἐμὲ Ἄβυσσος ἐκραγεῖσα τε καὶ καταῤῥοχθήσασα, ἐμέ τε αὐτὸν, καὶ τὴν Ἄβυσσον τὴν ἐν ἐμοὶ, ἐπὶ τὴν κάτωθεν ἐμοῦ ὑπαναπεπταμένην Ἄβυσσον κατασπάσασα, ὑποβρύχιόν με καταποντώσειεν· ἔνθα δὴ αἱ μὲν κολάσεις τὰς ἐμὰς οὐδέ ποτε ἀπεξαλείψουσιν ἁμαρτίας, αἱ δ' ἁμαρτίαι αἱ ἐν ἐμοί, ἐπικαθέξουσι τὰς κολάσεις. Ὦ τάλας ἐγὼ! τίνι ἐξήμαρτον; » Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προ-

» σώπου σου πού φύγω ; » Πάντως δή που, καί μή καλώς άπό σοῦ με φυγόντα, καί τῆς ἐμῆς ἀξιοκατακρίτου Ἀβύσσου ἐντὸς ἐμαυτὸν κατακρύψαντα, πάντως κἀκεῖσε σύ μ' ἐπιδέρκῃ. Τίς γάρ καί νῦν, (εἰμὴ σύ γε ;) ἐπὶ τὸ ἀντερείσασθαι, καὶ μὴ ἐνδοῦναι παντελῶς τοῖς κακοῖς μου, ἀλλὰ γνωσιμαχῆσαι τε καὶ μεταμεληθῆναι, τὴν ψυχήν μου κινήσας ἐνήγαγε ; Πανάγαθε Κύριε, σὺ εἶ ὁ κρούσας τῇ ψυχῇ μου ἐπὶ τοῦ παρόντος, καὶ ταύτην ἀφυπνίσας ἐν τῇ τῶν ἑαυτῆς παραπτωμάτων Ἀβύσσῳ, ὡς ἐν κλίνῃ καθεύδουσαν· σὺ συνέσεισας ἐπιναρκῶσαν, σὺ ἐπέσπερξας καταραστωνευομένην τε καὶ ἀμελοῦσαν, σὺ μεταγνῶναι καὶ ἐναηδῆσαι οἷς περ ἐνήδετο, καὶ ἀνιαθῆναι ἐφ' οἷς ἐνετρύφα, ἐποίησας. Ἀπειράγαθε Κύριε, ἅπαντα ταῦτα ἐν Ἀβύσσῳ σὺ ἔδρασας· τοιγαροῦν ἐπάκουσόν μου τοῦ ἐξ Ἀβύσσου τῆς τῶν ἀνομιῶν μου πρὸς σὲ νῦν κράζοντος. Τὰς ἀνομίας μου ἀπὸ σοῦ, ὦ πανοικτίρμον, οὐκ ἀποκρύπτω· ἐνώπιόν σου οὐκ ἀπολογοῦμαι· ἀλλ' ἀνακαλύπτω αὐτὰς παῤῥησίᾳ. Οὐκ ἐμοί γε συνηγορῶν, ἐμαυτοῦ δὲ κατηγορῶν, κατέναντί σου παρίσταμαι. Ἐγὼ ὁ ἔνοχος, ἐγὼ αὐτὸς καὶ ὁ κατήγορος ἐμαυτοῦ ὑπάρχω. Μὴ σύ γε ἐξελέγξῃς με ὁ κτίστης μου. Μόνος ἤρκεσα ἐξαμαρτῆσαι, μόνος ἀρκέσω ἐμαυτοῦ καὶ καταιτιάσασθαι, μόνος καὶ ἀπελέγξαι ἐμαυτὸν, μόνος μετανοῆσαι.



ΚΕΦ. Ι.

Διάθεσις μετανοῦντος.

Ἀλλ' ὅθεν ἆρα ἐμοὶ, ὦ Θεέ μου, ὁπόθεν τῶν τοσούτων παραπτωμάτων ἡ ἐπανόρθωσις, ὁπόθεν μοι τῶν τηλικούτων ἀθεμιτουργιῶν τε καὶ αἰσχροτήτων ἡ πρὸς σέ μου ἱκανοποίησις; Κατάβαλε τοίνυν σαυτὸν, ὦ οἰκτρὸν ἀνθρωπάριον, εἰς βάθος ταπεινωθεὶς ἀθυμίας ἀμέτρου, ὁ σεαυτὸν ἑκὼν καταῤῥάξας ἐπὶ τὸ τῆς ἀνομίας φρικῶδες βάραθρον· κέχωσο, ἄθλιε, ὑπὸ ὄγκῳ φοβερᾶς λύπης, ὁ εἰς τὸν βόρβορον τῆς ἐν Ἅδου δυσωδίας χαίρων τε καὶ ἄσμενος ἐκτραχηλισθείς· περιείλισο, ταλαίπωρε, ἐν φοβερῷ ζόφῳ ὀλοφυρμοῦ ἀπαραμυθήτου, ὁ ἐθελήμως ἐγκυβιστήσας ἐν οὕτω φοβερῷ τῷ χάσματι· ἐγκατακεκύλισο ἐν περιδινήσει ἀφορήτου πικρίας, ὁ ἐντρυφήσας ἐν τῇ κυλίστρᾳ τῆς αἰσχρουργίας καὶ βδελυρότητος. Φόβος τε καὶ τρόμος, ἐκδειματώσεις ἐπιφέρουσαι φρίκην, ὀδῦναι παραμυθίαν οὐκ ἔχουσαι, ἐπαθροίσθητε δὴ κατ' ἐμοῦ· ἐπιδράμετέ μοι, ἐπιβρίσατε, ἐπιδράξασθε, ἐπιθράξατε, ἐπικατάσχετε, δίκαιον ἐστὶ, δίκαιον ἐστὶ, στρεβλοῦτε τὸν ἔνοχον, ἐπαμύνατε τῷ Θεῷ. Προεπαισθέσθω ὁ πόρνος τῶν τοῦ Ἅδου κολαστηρίων, ὧν ἐστὶν ἄξιος· προαπογευσάσθω, ὧν περ ἑαυτῷ προητοίμασε· προπιέτω τὸ δέπας, ὃ παρεσκεύασε· προδιεθισθήτω, ὃ πείσεται. Οὐ θέλω παραμυθίαν, οὐ ῥῶσιν, οὐκ εὐφροσύνην, οὐ θυμηδίαν ὁποιανοῦν, ἢ φαιδρότητα· οὐ θέλω ὑμᾶς οὐδ' ἐκδέχομαι, ἣν μὴ διὰ προηγηθείσης συγγνώμης, ὧν περ ἐξήμαρτον, ἐπανέλθητε. Μακρὰν ἀπόστητέ μου πρὸ τοῦ θανάτου, εἰμὴ πρὸ τοῦ θανάτου

ὑμᾶς ἡ τῶν ἐμοὶ ἐπταισμένων ἐπανακαλέσηται ἄφεσις. Οὐκ ἔστι μὴ κλαῦσαι τὸν ἁμαρτήσαντα, ἤτοι ἐν τῷ παρόντι βίῳ, ἢ ἐν τῷ μέλλοντι. Ἔστω μοι τοίνυν ἡ μετάνοια πικρὸς ἐν τούτῳ συνοδοιπόρος. Ἄλγος διηνεκές με κατατρεχέτω, καὶ ἀκόρεστον, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ἀθυμία καὶ λύπη, καὶ ὀλοφυρμὸς ἄπαυστος, ἔστωσαν οἱ δήμιοι καὶ βασανισταὶ, καὶ τῆς νεότητός μου, καὶ τοῦ γήρους μου. Εἴθε ὄφελον οὕτω μοι εἴη, ὡς εὔχομαι καὶ ἐπιποθῶ, ἵν' οὕτω μοι γένηται! Εἰ γὰρ ἄξιος οὐκ εἰμὶ πρὸς οὐρανὸν τοὺς ὀφθαλμοὺς ἐπᾶραι τοῦ δέεσθαι ἐνώπιον τοῦ τοῦ Κυρίου καὶ Θεοῦ μου, ἀλλὰ πάντως οὐκ ἀνάξιος εἰμὶ τοῦ κλαίειν, καὶ ἐν ὀδυρμοῖς δακρύων αὐτούς μου τοὺς ὀφθαλμοὺς ἀποσβέσαι. Εἰ δὴ συγκέχυταί μου ὁ νοῦς ὑπὸ αἰσχύνης τοῦ ἐμοῦ συνειδότος, ἀλλ' ἔστιν εὔλογον ἐπιεικῶς τὸν νοῦν μου τοῦτον ὑπὸ τοῦ τῆς λύπης τε καὶ τῆς θρηνώδους ἀθυμίας λαίλαπος δεινῶς συγχεῖσθαι καὶ ἐκταράττεσθαι. Καὶ εἰ καταπτήσσει ἐνώπιον τοῦ Κυρίου καὶ Θεοῦ αὐτοῦ παραστῆναι, δίκαιον καὶ πρὸ ὀφθαλμῶν ἀεὶ ἔχειν τὰ τῆς μοχθηρίας τῆς ἑαυτοῦ κολαστήρια.

Ἀλλ' ἀνάπνευσον ποτὲ ὁ ἁμαρτωλὸς, ἀνάπνευσον δὴ τέως, καὶ πρὸς Θεὸν αὐτὸν πρόσφυγε, ὃν παρεπίκρανας. Πρόσφυγε, φημὶ, ἀπὸ τοῦ ἐποργισθέντος μεταβὰς ἐπὶ τὸν ἐξιλασκόμενον.



ΚΕΦ. ΙΑ.

Ἱκετήριος ἐκδυσώπησις τῆς παρὰ τοῦ πανοικτίρμονος Θεοῦ εὐσπλαγχνίας.

Μνήσθητι ὁ δίκαιος ἅμα καὶ πανοικτίρμων Θεὸς, μνήσθητι ὅτι ἐλεήμων αὐτὸς ὑπάρχεις, καὶ πλάστης ἐμός· καὶ εἰ κριτὴς εἶ ἐπὶ τῷ δικάσαι τὸν πρὸς σὲ πταίσαντα, ἀλλὰ καὶ Κύριος εἶ τοῦ ἐπαμῦναι τῷ σῷ δούλῳ, καὶ κτίστης ὥστε διατηρῆσαι τῶν χειρῶν σου τὸ ἔργον, καὶ Θεὸς ὥστε διασῶσαι τὸν εἰς σὲ πιστεύοντα, καὶ σοὶ υἱοθετηθέντα διὰ τῆς τοῦ βαπτίσματος χάριτος. Μὴ τοίνυν, ὑπεράγαθε Κύριε, μὴ μόνης τῆς σῆς δικαιοσύνης μνησθῇς κατὰ τοῦ σοὶ ἁμαρτήσαντος, ἀλλὰ καὶ τῆς πρὸς τὸ σὸν πλάσμα χρηστότητός σου μνήσθητι· μὴ τῆς ὀργῆς σου μνησθῇς μόνον ἐπὶ τοῦ πταίστου, ἀλλὰ καὶ τοῦ πρὸς τὸν ἐλεεινὸν οἴκτου σου ἐπιμνήσθητι. Οἶδα μὲν ἐγὼ ἐκ συνειδήσεως, καὶ ὁμολογῶ, ὅτι κατακρίσεως ἄξιος εἰμὶ, οὔθ' ἡ ἐμὴ μεταμέλεια ἐξαρκεῖ μοι καθ' ἑαυτὴν πρὸς ἱκανοποίησιν.

Αὐτὸς τοίνυν, ὦ πανάγαθε Δέσποτα, ὅς ὑπάρχεις ἡ σωτηρία, αὐτὸς κατὰ σεαυτὸν σῶσον. Ὁ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ μηδαμῶς θέλων, φεῖσαί μου τῆς ψυχῆς τῆς πολυαμαρτήτου. Εἰς σὲ ἀνατίθημι τὴν ἅπασάν μου ἐλπίδα, σοὶ ὅλην παρατίθημι τὴν ψυχήν μου· φύλαττε αὐτὴν ἐν ᾧ καθεύδω· φρούρει αὐτὴν ἐν ᾧ ἀγρυπνῶ· καὶ ἐν ᾧ περί τι ὁποιονοῦν ἐργαζόμενος ἐνασχολοῦμαι, καὶ τότε σὺ αὐτῆς ἐπισκέπτου. Καὶ ἐν ᾧ δὲ ἐγὼ ταύτης ἐπιλανθάνομαι, μηδὲ τότε σὺ αὐτῆς ἐπιλάθου· ἁμαρτωλὸς εἰμὶ, ἐλεεινὸς

εἰμὶ, ἀλλ᾽ ὅτι ἔμαρτὸν ἀνιῶμαι, καὶ συνορῶν, ἐπιγινώσκω τὴν ἐμὴν ἀθλιότητα. Θεὲ Πανοικτίρμον, οἴκτειρόν με ταπεινωθέντα! τὸ ἁμαρτάνειν οὐδέν ἐστιν, ἀλλ᾽ ἡ εἰς Θεὸν ἐξυβρίζειν· ὅ περ ἀνθρώπῳ ποιεῖν οὐ θέμις, κἂν ἐπάναγκες ᾖ, πᾶν ὅ Θεὸς οὐκ ἐστὶν, ὀλέσθαι. Οἴ μοι δὴ, οἴ μοι! ἥμαρτον ἐγώ! Εἰς Θεὸν ἐξύβρισα· Θεὸν τὸν δυνάμενον πάντα παρώξυνα! Φεῦ ὁ ἁμαρτωλὸς τί ἐποίησα; τίνα δ᾽ οὐχὶ πονηρὰ διετέλεσα πράξας; Οὐαὶ τῷ τὰ κακὰ πράσσοντι· Οὐαὶ τῷ τῶν ἀγαθῶν ἀμελοῦντι· Οὐαί! Οὐαί! ᾗ ἐν παροργισμῷ αὐτοῦ ἐνσκήψει ἔμοι γε Θεὸς ὁ τὰ πάντα ἰσχύων; τΩ ἡ τοῦ παντοδυνάμου Θεοῦ ὀργὴ, πῶς ἂν ἐν ἐμοὶ χώραν ἕξῃς; Οὐκ ἔστιν ἐν ὅλῳ ἐμοὶ ὅ,τι ἂν ὑποστῇ σοῦ καὶ τετλαίῃ. Ὁ Θεὸς, ὁ Θεὸς, οὗ περ ἡ ἀγαθότης ἀνεξάντλητος, οὗ ἡ εὐσπλαγχνία ἀκένωτος, οὗ ἡ σοφία ὑπερτελὴς, οὗ τὸ κράτος ἐκπεραίνει ὅ ποι καὶ βούλεται, πόθεν ἀναπνεῦσαι ἂν ἔχοιμι ὁ διὰ τὰ ἐξημαρτημένα οὕτως ἀπεγνῶσθαι ἀναγκαζόμενος; Κἂν γὰρ ἐποργίζῃ τοῖς πταίουσιν, ἀλλὰ καὶ τὰ δέοντα φιλεῖς εὐμενῶς ὑποβάλλειν τοῖς δυσωποῦσί σε. Δίδαξόν με, Κύριε, ὅθεν μοι δέον ἐλπίσαι, ὅπως ἂν ἕξω καθικετεῦσαι. Καὶ γὰρ ἐθέλω μὲν, ἀλλὰ διὰ μὲν ἄνοιαν οὐκ οἶδα, διὰ δὲ τὴν περιοῦσαν ἐμοὶ σκληρότητα οὐ δύναμαι. Ταύτῃ τοι καὶ ἐπὶ τῇ ἀνομίᾳ μου ἐπαναγκάζομαι ἀπελπίζειν. Οἶδα τε γὰρ καὶ καθομολογῶ, ὅτι ἐπαξίως πάσχω, ὅ περ ἐθελουσίως εἱλόμην· καὶ ἐν δίκῃ οὐκ εἰσακούομαι, ὅτι οὐχ ὡς ὄφειλον ὑπήκουσα. Ναὶ, ἀπειράγαθε Δέσποτα, ἥμαρτον, ἐπλανήθην· ἀλλ᾽ οὐδὲ σὲ ἀπέστερξα, οὐδ᾽ ἀπογινώσκω τῆς σῆς ἀγαθότητος. Διὸ ποίησόν μοι κατὰ τὸ μέγα σου ἔλεος, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τέλος τοῦ περὶ συντριβῆς τῆς καρδίας.



ΤΟ

ΨΑΛΤΗΡΙΟΝ ΤΟΥ ΔΑΒΙΔ

ΤΟ ΥΠΟ ΤΟΥ

ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΤΗ ΙΔΙΑ ΕΑΥΤΟΥ ΜΗΤΡΙ ΣΥΝΕΠΙΤΜΗΘΕΝ.

Αὕτη ἡ ἐπιτομὴ τȣ͂ Δαβιτικȣ͂ Ψαλτηρίȣ, καὶ ἡ πρὸς τὴν ὑπεραγίαν Θεοτόκον ἱκέσιος δέησις εἰσὶν ἐξηρημένα ἐκ τῶν τεσσάρων βιβλίων τȣ͂

ΚΕΚΡΑΓΑΡΙΟΥ ΤΟΥ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ.



ΤΟ

ΨΑΛΤΗΡΙΟΝ,

τὸ ὑπὸ τȣ̃ ἱερȣ̃ Αὐγȣςίνȣ τῇ ἰδίᾳ αὐτȣ̃ μητρὶ συνεπιτμηθέν.

Θεὲ καὶ Κύριε παντοκράτορ, ὁ βασιλεὺς τῶν αἰώνων · μακάριος τῷ ὄντι ἐστὶν ὁ ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθησεν, ἀλλ' ἐν τῷ νόμῳ τῷ σῷ τὸ θέλημα αὐτοῦ ἐστηρίχθη, ἐν ᾧ μελετήσει ἡμέρας καὶ νυκτός · δίδαξόν με, Κύριε, τὸν ἁμαρτωλὸν ἐν ὅλῃ μου τῇ καρδίᾳ μετὰ φόβου καὶ τρόμου πιστῶς δουλεύειν σοι, καὶ σὲ ἐν ταπεινώσει ἐπικαλουμένου σύνες τῆς κραυγῆς μου · οὕτω δὲ τὰ ῥήματά μου ἐνώτισαι, πολυέλεε, ὡς καὶ ἡμαρτηκότα μὴ τῷ θυμῷ σου ἐλέγξαι με, μηδὲ τῇ ὀργῇ σου παιδεῦσαι με, μή ποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου ὁ πάλαι αὐτὴν ἐπιβουλεύων πολέμιος, μὴ ὄντος λυτρουμένου με μηδὲ σῴζοντος. Ἀλλὰ σὺ, Δέσποτα, οὗ τὸ μὲν ὄνομα ἐν πάσῃ τῇ γῇ θαυμαστὸν, ἡ δὲ μεγαλοπρέπεια ἐπήρθη ὑπεράνω τῶν οὐρανῶν, ἀπόστρεψον τὸν ἐχθραίνοντά μοι εἰς τὰ ὀπίσω, ὅπως ἂν ἀσθενήσῃ καὶ ἀπόληται ἀπὸ τοῦ προσώπου σου, μηδ' ἐν ταῖς πυριφλεγέσιν αὐτοῦ παγίσι κατισχύσῃ ποτὲ σαγηνεῦσαι τὴν ψυχήν μου, μηδ' ἐν πυρὶ, καὶ θείῳ, καὶ πνεύματι καταιγίδος συνελίξας ἁρπάσῃ με · ἐπὶ τῆς ταλαιπωρίας νῦν τοῦ πτωχοῦ, καὶ τοῦ στεναγμοῦ ἐμοῦ τοῦ πένητος διανάστηθι · ἐπίβλεψον, Κύριε, καὶ ἐπάκουσόν μου, ὅτι σὺ ὑπάρχεις ἡ ὁδηγία τῶν πλανομένων, καὶ ἡ τῶν ἀπορουμένων ἐλπίς ·

θός μοι, Κύριε ὁ Θεός μου, ἵνα πορεύωμαι ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, ὅπως ἂν ἡ χάρις ἡ παρὰ τοῦ σοῦ ἐλέους γένοιτό μοι ἡ ἐλπὶς τῆς κληρονομίας μου. Φύλαξόν με ὡς κόρην ὀφθαλμοῦ, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου σκέπασόν με· ὅτι σὺ εἶ ἡ ἰσχύς μου, Κύριε, καὶ ἡ καταφυγή μου, καὶ ὁ ῥύστης μου. Ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. Ἐξαπόστειλόν μοι βοήθειαν ἐξ ἁγίου σου, καὶ τὴν ἐπιθυμίαν τῆς ψυχῆς μου ἀπόδος μοι· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ὁδήγησόν με ἐπὶ τρίβους δικαιοσύνης, ὡς ἂν δυνηθείην ἀναβῆναι εἰς τὸ ὄρος τὸ ἅγιόν σου, καὶ στῆναι ἐν τόπῳ ἁγίῳ σου ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου, Κύριε, μὴ δὴ μνησθῇς· μηδὲ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με· ἀλλ' εὐμενῶς εἰσακούσαις μου ἐπικαλουμένου τὸ ὄνομά σου τὸ ἅγιον, καί μοι προσχοίης, καὶ ἐλεήσαις με· μηδὲ καταισχυνθείην, ὅτι ἐπὶ σοὶ ἤλπισα. Ἄφες τὴν ἀσέβειαν τῆς καρδίας μου. Γένοιτο τὸ ἔλεός σου ἐπ' ἐμὲ, καθάπερ ἤλπισα ἐπὶ σέ, καὶ ἐκ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαι με: εἰπὲ τῇ ψυχῇ μου σωτηρία σου εἰμὶ ἐγὼ, καὶ ὑπὸ τῇ σκέπῃ τῶν πτερύγων σου ἠλπικότι παράσχου μοι τὴν αἴτησιν τῆς ἐμῆς καρδίας, καὶ εἰς τὸ βοηθῆσαί μοι πρόσχες, Κύριε, Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου. Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ, τί ὑστερῶ ἐγώ. Ἐνώτισαι τὴν φωνὴν τῆς δεήσεώς μου, καὶ ἐξάγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος. Στῆσον ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνον τὰ διαβήματά μου. Ἐν ἡμέρᾳ πονηρᾷ ῥῦσαι με, Κύριε, ὅπως ἂν εἰσέλθω ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τ... οἴκου τοῦ Θεοῦ, ὅτι σὺ εἶ, ὁ Θεός μου, ἡ ἰσχὺς, καὶ τὸ κραταίωμά μου. Μὴ ἐκκλίνῃς τὰς τρίβους μου ἀπὸ τῆς ὁδοῦ σου, ἵνα ἀγαπήσω δικαιοσύνην, καὶ μισήσω βδελυξάμενος ἀνομίαν. Γενοῦ μοι καταφυγὴ

καὶ δύναμις, ὅτι σὺ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὁ πάντας διέπων εἰς τὸν αἰῶνα, ῥῦσαι μου τὴν ψυχὴν ἐκ χειρὸς Ἅδου, ὅταν λαμβάνῃ με· ὅτε δὲ ἄρα ἐμφανῶς ἥξῃς τοῦ διακρῖναι τὸν λαόν σου, ἐλέησόν με κατὰ τὸ μέγα σου ἔλεος. Καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτῖσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, ἵνα ἐν τῷ Παραδείσῳ σοῦ τοῦ Θεοῦ μου, ἐν ἐλαίῳ ἁγιωσύνης ὡσεὶ ἐλαία κατάκαρπος προσδεχθείην, κἀκεῖ ἀγαλλιάσωμαι σὺν Ἰσραὴλ εἰς τὸν αἰῶνα. Σῶσόν με ἐν τῷ ὀνόματί σου, Κύριε, καὶ ἐν τῇ δυνάμει σου ῥῦσαι με, μὴ ὑπερίδῃς τὴν δέησίν μου, ἀλλ' ἐλέησόν με. Ἐξαπόστειλον ἐξ οὐρανοῦ καὶ σῶσόν με. Δὸς εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. Σύντριψον τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν. Τὰς μύλας τῶν λεόντων σύνθλασον. Κύριε, σὺ εἶ ὁ Θεός μου, τὸ ἔλεός μου· σώσειέ με ἡ δεξιά σου, καὶ σκεπασθείην ὑπὸ τὴν σκιὰν τῶν πτερύγων σου, ὅταν μέλλῃς ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ἐπὶ σοὶ, Κύριε, πέποιθεν ἡ ψυχή μου, σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων· ὅτι πρὸς σὲ πᾶσα σάρξ ἥξει. Μὴ ἀποστήσῃς ἀπ' ἐμοῦ τὸ ἔλεός σου, ἀλλ' ἐπίφανον τὸ πρόσωπόν σου ἐπ' ἐμέ. Εὐόδωσόν με ὁ Θεὸς τῆς σωτηρίας μου. Μὴ καταπιέτω με βυθὸς, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Βοηθός μου καὶ ῥύστης μου γενοῦ, Κύριε, μὴ χρονίσῃς· ὅτι ἐπὶ σοὶ ἤλπισα, Κύριε, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Ὅτε κρινῇς τὸν λαόν σου, και οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, τότε μὴ ἀποστραφείην ἐγὼ ἀπὸ σοῦ τεταπεινωμένος, καὶ κατῃσχυμένος· ὅτι κριτὴς δίκαιος σὺ εἶ, τοῦτον ταπεινοῖς, καὶ τοῦτον ὑψοῖς. Φοβερὸς εἶ, Κύριε, ὁ ποιῶν θαυμάσια μόνος. Ὥσπερ διέθρεψας τὸν λαόν σου ἐν τῇ ἐρήμῳ, καὶ τὴν ἐπιθυμίαν αὐτοῦ οὐκ ἐστέρησας αὐτὸν, οὕτω κἀμὲ λιμώττοντα ἡ χάρις ἡ σὴ ἀναψύξειε, καὶ τὸ ἔλεός σου ταχὺ

προφθάσειν. Ὁ ἐμὸς ἀντιλήπτωρ, παράσχου μοι ἄρτον δακρύων, καὶ συντριβῆς πικρίας ἐν καιρῷ θλίψεως, καὶ δός μοι ἐκ πέτρας θηλάσαι τὸ μέλι τῆς σῆς χρηστότητος. Ὁ Θεὸς ὁ διακρίνων ἐν μέσῳ πάντας δικαίους τε καὶ ἀδίκους, ὁ μόνος ὕψιστος ἐν πᾶσι τοῖς ἔθνεσιν, ἐλέησόν με, καὶ εὐλόγησόν με ὁ νομοθετήσας με. Ἄνες τὴν ἀσέβειαν τῆς καρδίας μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου, καὶ σῶσον ὁ Θεός μου τὸν δοῦλόν σου τὸν ἐλπίζοντα ἐπὶ σέ. Ὁ Θεὸς ὁ θεμελιώσας τὴν Ἐκκλησίαν σου ἐν ὄρεσι τοῖς ἁγίοις, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Ἀντιλαβέσθω μου δὴ ἡ χείρ σου! μὴ ἀποστραφήτω τεταπεινωμένος! ῥῦσαι με ἀπὸ παγίδος θηρευτῶν, καὶ ἀπὸ συμπτώματος παντοίου, καὶ ἀπὸ δαιμονίου μεσημβρινοῦ! ἵνα πεφυτευμένος ἐν τῷ οἴκῳ σου, Κύριε, ὡς φοίνιξ ἀνθήσω, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ ἀξιωθήσωμαι πληθυνθῆναι εἰς μακρότητα ἡμερῶν. Κύριε ὁ Θεός μου, γενοῦ μοι εἰς καταφυγήν, καὶ εἰς βοηθὸν ἐλπίδος μου· ὅτι Θεὸς εἶ, Κύριε, μέγας, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ἐπὰν δὲ ἔλθῃς κρῖναι πᾶσαν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ σου, τότε ἡ δεξιά σου, καὶ ὁ βραχίων σου ὁ ἅγιος ἀντιλάβοιτό μου, καὶ σῶσαι με. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἀξίωσόν με στῆναι ἐνώπιόν σου ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, διαπορευόμενον ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου σου. Μὴ κολληθείη μοι καρδία σκαμβὴ, ἀλλ᾽ εἶεν οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσαι αὐτοὺς μετ᾽ ἐμοῦ, πορευομένους ἐν ὁδῷ ἀμώμῳ, ἡνίκα ἐξολοθρεύσεις ἅπαντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι κλῖνον πρός με τὸ οὖς σου. Ἄφες πάσας τὰς ἀνομίας μου, ῥῦσαι ἀπὸ φθορᾶς τὴν ζωήν μου. Κόρεσον ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν μου! ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. Ὁ ἐξαγαγὼν τὸν λαόν σου ἐν ἀγαλλιάσει, καὶ τοὺς

ἐκλεκτούς σου ἐν εὐφροσύνῃ, ποίησόν με κρῖμα καὶ δικαιοσύνην φυλάσσειν ἐν παντὶ καιρῷ. Ἐξάγαγέ με ἐκ σκότους καὶ σκιᾶς θανάτου, ἵνα ἐν ἑτοίμῃ καρδίᾳ ᾄσωμαι καὶ ψαλῶ σοι. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν διὰ τοῦ ἐλέους σου ἕνεκεν τοῦ ὀνόματός σου, ἵνα ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, καὶ ἐν βουλῇ καὶ συναγωγῇ εὐθέων ἡ δικαιοσύνη μου μένῃ εἰς αἰῶνα αἰῶνος, καὶ ὑψωθῇ ἐν δόξῃ τὸ κέρας μου. Ἐπὰν δέ με ἐγερθῆναι κελεύσῃς τὸν πτωχὸν καὶ πένητα, ἀπὸ τῆς κοπρίας ὑψώσας, εὐλογήσει σε τὸ ἐντεῦθεν ἡ ψυχή μου ἕως τοῦ αἰῶνος εὐαρεστοῦσα ἐνώπιόν σου ἐν χώρᾳ ζώντων. Διάῤῥηξον τοίνυν τοὺς δεσμούς μου, καὶ στήριξόν με ἐν τῷ ἐλέει σου. Ἐπειδὰν δὲ ἐκ θλίψεως ἐπικαλέσωμαί σε, ἐπάκουσόν με εἰς πλατυσμόν. Νομοθέτησόν με, Κύριε, ὅπως ἂν ἐν σοὶ ζῶ, καὶ τὰς ὁδούς σου διὰ παντὸς ἐκζητήσω. Συνέτισόν με τοῦ ἐξερευνᾶν τὸν νόμον σου, καὶ φυλάττειν αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ἀναζήτησόν με, καὶ λύτρωσαι τὴν ψυχήν μου. Φύλαξον τὴν εἴσοδόν μου, καὶ τὴν ἔξοδόν μου, ἵνα ἑστῶτες ὦσιν οἱ πόδες μου ἐν τῷ οἴκῳ σου, ἐν ταῖς αὐλαῖς Ἱερουσαλήμ. Πρὸς σὲ, Κύριε, ἦρα τὴν ψυχήν μου καὶ τοὺς ὀφθαλμούς μου, πρὸς σὲ τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ· ῥῦσαι μου τὴν ψυχὴν ἐκ τῆς παγίδος τῶν θηρευόντων, ὅπως ἂν μὴ ἐν ἀνομίαις ἐκτείνω τὰς χεῖράς μου· πλήρωσον τὸ στόμα μου χαρᾶς, καὶ τὴν γλῶσσάν μου ἀγαλλιάσεως. Ἔμπλησον, Κύριε, τῶν ἀγαθῶν σου τὴν ἐπιθυμίαν μου. Εὐλόγησόν με ἐκ Σιὼν, ἵνα εἴδοιμι τὰ ἀγαθὰ Ἱερουσαλὴμ, καὶ πόῤῥω ἀνομίας ἀπόστησόν με. Γενηθήτω δὴ τὰ ὦτα σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου, τοῦ δούλου σου, Κύριε. Μὴ ὑψωθήτω ἡ καρδία μου ἐν ὑπερηφανείᾳ, μηδὲ μετεωρισθήτωσαν οἱ ὀφθαλμοί μου. Ἀλλ' εἴκω ταπεινοφρονῶν, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ὅπου εὐλογίαν ἐνετείλω, καὶ ζωὴν ἕως τοῦ αἰῶνος, ἐκεῖ ἐπαρῶ τὰς χεῖράς μου εἰς τὰ ἅγια. ἐκεῖ εὐλογήτω σὲ τὸν κρύοντα

τὸν λαόν σου, καὶ ἐκδυσωπούμενον ἐπὶ τοὺς δούλους σου. Θεὲ τῶν θεῶν, καὶ Κύριε τῶν Κυρίων, πρόσδεξαί με τὸν ἐν κλαυθμῷ εἰς ναὸν τὸν ἅγιόν σου, τὴν λατρείαν ἐν προσκυνήσει προσάγοντα· σύνες τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου, καὶ εἶδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. Ἐξελοῦ με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, καὶ ἀπὸ ἀνδρῶν ἀδίκων καὶ δολίων ῥῦσαι με. Ἐξάγαγε, Κύριε, ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Ταχὺ εἰσάκουσόν μου, Κύριε, μή ποτε ἐκλίποι τὸ πνεῦμά μου, ὅτι σὺ εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου, ἡ καταφυγή μου, ὁ ὑπερασπιστής μου καὶ ὁ ῥύστης μου. Ὅτι μέγας εἶ σὺ, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλοσύνης σου οὐκ ἔστι πέρας. Ἀνόρθωσόν με, Κύριε, κατεῤῥαγμένον, λῦσον με πεπεδημένον, φώτισον τετυφλωμένον ὁ οἰκοδομῶν Ἱερουσαλήμ. Ἐπὰν δὲ τοὺς μοχλοὺς τῶν πυλῶν σου ἐνισχύσῃς, εἴην καὶ αὐτὸς ἔνδοθι συνημμένος μετὰ τῶν υἱῶν σου. Καὶ ὥσπερ αἰνέσουσί σε οἱ Ἄγγελοί σου, καὶ πᾶσαι αἱ δυνάμεις σου ἐν τῇ βασιλείᾳ σου, οὕτω κἀγὼ ἐπὶ τῆς δόξης σου ἀγαλλόμενος ἐν τῷ χορῷ τῶν ἁγίων σου· αἰνοίην τε καὶ εὐλογοίην ἐν κυμβάλοις ἐμῶν χειλέων τὸ ὄνομά σου τὸ ὑπεράγιον, καὶ ὑπερένδοξον, καὶ ὑπερύμνητον, τὸ βασιλεῦον νῦν τε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



ΨΥΧΗΣ ΚΑΤΑΝΕΝΥΓΜΕΝΗΣ

ΙΚΕΣΙΟΣ ΔΕΗΣΙΣ

ΠΡΟΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

ΔΕΣΠΟΙΝΑ, ΔΕΣΠΟΙΝΑ Μῆτερ, ἁμαρτωλῶν ἡ Προστάτις·
Καταφυγή τε καὶ σκέπη τῶν ἐπὶ Σὲ πεποιθότων·
Λιμὴν τῶν χειμαζομένων ἐν τῷ τοῦ βίου πελάγει,
Καὶ ἄγκυρα τῶν ἐν ζάλαις, καὶ ῥύστης τῶν ἐν κινδύνοις·

Ἐκ βάθους μου τῆς καρδίας, ψυχῆς τε συντετριμμένης,
Ἐν ταπεινώσει, καὶ στεναγμοῖς, καὶ δακρύοις,
Πρὸς Σὲ τὴν μόνην ἐλπίδα ὁ ἄθλιος καταφεύγω,
Καὶ Σὲ μεσίτιν αἰροῦμαι πρὸν τὸν Υἱόν σου καὶ κτίστην.

Σύ μοι γενοῦ προστασία, μὴ δή μ᾽ ἐάσῃς ὀλέσθαι·
Ἱλέωσαι τὸν Υἱόν σου τὸν ἐπ᾽ ἐμοὶ ὀργισθέντα·
Τὴν ἀγανάκτησιν παῦσον, ἣν ἔχει πρός με δικαίως,
Ἐφ᾽ οἷς ἐξήμαρτον (τάλας!) ἐφ᾽ οἷς παρώξυνα τοῦτον.



Ἅπαν ἀθέμιτον ἔργον ἐτόλμησα ἐν τῷ βίῳ·
Καὶ λογισμοῖς τε, καὶ λόγοις, καὶ πράξεσιν ἀκαθάρτοις,
Ἐμόλυνά μου τὸ πνεῦμα, καὶ ὅλως κατεῤῥυπώθην·
Ἠμαύρωσά μου τὸ κάλλος, κατῄσχυνα τὴν εἰκόνα.

Φεῦ! καὶ κρουνοὶ τῶν ὀμμάτων ἐν ὀχετοῖς τῶν δακρύων,
Κἂν ῥέωσιν ἀεννάως, ὡς ποταμοί τε καὶ κρῆναι,
Τὸ δυσαπόνιπτον αἶσχος τῆς μιανθείσης ψυχῆς μου,
Πῶς ἀποσμήξουσιν ἆρα; Πῶς ἔξουσιν ἀποπλῦναι;

Οἴ μοι! κατάκριτος κεῖμαι, τὸν Δικαστὴν παροργίσας·
Οἴ μοι! τὴν γέενναν τρέμω, καὶ τὰς ποινὰς τὰς μελλούσας.
Τίς με τὸν δείλαιον σώσει τῆς φοβερᾶς καταδίκης;
Οὐδείς, πλὴν Σοῦ, Παναγία· ΔΕΣΠΟΙΝΑ, ΔΕΣΠΟΙΝΑ σῶσον!

ΤΕΛΟΣ.

